ΔΗΜΟΣ Ι. Π. ΜΕΣΟΛΟΓΓΙΟΥ
ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΛΑΜΑΪΚΗΣ ΣΧΟΛΗΣ
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13
ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.941
ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:

# ΕΥΡΙΠΙΔΗΣ.

[illegible]

# ΕΥΡΙΠΙΔΗΣ.

Α.Ε.22.941

## ΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ ΤΕ,
## ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ,

ΕΙΣ ΤΟΜΟΥΣ ΕΞ.

ΤΟΜΟΣ ΤΕΤΑΡΤΟΣ.



ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΑΙΓΙΝΗι,
ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1834.

# ΙΦΙΓΕΝΕΙΑ

## Η ΕΝ ΤΑΥΡΟΙΣ.

# ΥΠΟΘΕΣΙΣ.

Ὀρέστης, κατὰ χρησμὸν ἐλθὼν εἰς Ταύρους τῆς Σκυθίας μετὰ Πυλάδου, παρακινηθεὶς, τὸ παρ' αὐτοῖς τιμώμενον τῆς Ἀρτέμιδος ξόανον ὑφελέσθαι προηρεῖτο· προελθὼν δ' ἀπὸ τῆς νεὼς καὶ φανεὶς, ὑπὸ τῶν ἐντοπίων ἅμα τῷ φίλῳ συλληφθεὶς, ἀνήχθη κατὰ τὸν παρ' αὐτοῖς ἐθισμὸν, ὅπως τοῦ τῆς Ἀρτέμιδος ἱεροῦ σφάγιον γένωνται· τοὺς γὰρ καταπλεύσαντας ξένους ἀπέσφαττον.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ταύροις τῆς Σκυθίας· ὁ δὲ Χορὸς συνέστηκεν ἐξ Ἑλληνίδων γυναικῶν, θεραπαινίδων τῆς Ἰφιγενείας.

TA

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΙΦΙΓΕΝΕΙΑ.

ΟΡΕΣΤΗΣ.

ΠΥΛΑΔΗΣ.

ΧΟΡΟΣ Ἑλληνίδων γυναικῶν.

ΒΟΥΚΟΛΟΣ.

ΘΟΑΣ.

ΑΓΓΕΛΟΣ.

ΑΘΗΝΑ

# ΙΦΙΓΕΝΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

### ΙΦΙΓΕΝΕΙΑ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΧΟΡΟΣ.

ΙΦ. Πέλοψ ὁ Ταντάλειος, ἐς Πίσαν μολὼν
Θοαῖσιν ἵπποις, Οἰνομάου γαμεῖ κόρην,
Ἐξ ἧς Ἀτρεὺς ἔβλαστεν· Ἀτρέως δὲ παῖς
Μενέλαος Ἀγαμέμνων τε· τοῦ δ' ἔφυν ἐγὼ
Τῆς Τυνδαρείας θυγατρὸς Ἰφιγένεια παῖς,
Ἣν ἀμφὶ δίναις, ἃς θάμ' Εὔριπος πυκναῖς
Αὔραις ἑλίσσων, κυανέαν ἅλα στρέφει,

---

2. Οἰνομάου] Βασιλεὺς οὗτος Πίσης (πόλεως ἐν Ἤλιδι τῆς Πελοποννήσου) ἔχων θυγατέρα καλὴν τὴν Ἱπποδάμειαν. ἧς πολλοὶ ἦσαν μνηστῆρες· ὁ δὲ ἀγῶνα τοῦ γάμου προὔθηκεν αὐτοῖς, ὥστε λαβεῖν μὲν αὐτὴν τὸν νικήσαντα, τοὺς δὲ νικηθέντας ἀπολεσθῆναι· ἦν δ' ὁ ἀγὼν πρὸς τὸ ἅρμα αὐτοῦ ἁμιλλᾶσθαι δρόμῳ, λίαν ὂν κοῦφον, καὶ ὑπὸ ταχέων ἵππων ἑλκόμενον ἰσοταχῶς τοῖς ἀνέμοις, Μιρτύλου ἁρματηλατοῦντος· πολλῶν δὲ νικηθέντων, καὶ ἀπολεσθέντων, ἐλθὼν ὁ Πέλοψ καὶ ἀγωνισάμενος, νικᾷ· ἦν γὰρ αὐτῷ ἅρμα ἵπποις πτερωτοῖς παρὰ

# ΙΦΙΓΕΝΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

**ΙΦΙΓΕΝΕΙΑ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΧΟΡΟΣ.**

**ΙΦ.** ΠΕΛΟΨ ὁ Ταντάλου, ὑποπτέροις εἰς Πίσαν διφρεύσας ἵπποις, γάμῳ τὴν τοῦ Οἰνομάου συνηρμόσατο θυγατέρα· ἧς παῖς ἐγένετ' Ἀτρεύς· Ἀτρέως δ' αὖ Ἀγαμέμνων· τούτου δὲ καὶ Κλυταιμνήστρας τῆς Τυνδάρεω ἐγενόμην ἐγὼ Ἰφιγένεια· ἣν πατὴρ, ὡς ἐδόκει, ἔθυσεν ἕνεχ' Ἑλένης Ἀρτέμιδι κατὰ τὴν Αὐλίδα, ἔνθα Εὔριπος, παντοίας ἑλίσσων δίνας ταῖς τῶν ἀνέμων πνοαῖς,

Ποσειδῶνος δεδωρημένον· καὶ οὕτω τήν τε Ἱπποδάμειαν λαμβάνει, καὶ Μιρτύλον τὸν ἁρματηλάτην, Οἰνομάου καταπεσόντος ἀπὸ τοῦ ἅρματος, καὶ ἀποθανόντος· ἐλθόντων δ' αὐτῶν κατὰ τὸν τῆς Εὐβοίας Γεραστὸν, διαβληθέντα τὸν Μιρτύλον ἐπὶ μοιχίᾳ τῆς γυναικὸς, ἔῤῥιψεν αὐτὸν Πέλοψ ἀπὸ τοῦ πλοίου ἢ ἀπὸ τοῦ δίφρου εἰς τὴν θάλασσαν. ἴδε Ὀρεστ. στίχ· 982. 6. Ἣν ἀμφὶ δίναις] ἐν τῷ τῆς Αὐλίδος κόλπῳ· ἰστέον δὲ, ὅτι ἡ ἐν Ταύροις Ἰφιγένεια ἀκολουθία ἐστὶ τῆς προηγουμένης ἐν τῇ Αὐλίδι. διὸ προαναγνωστέα ἐκείνη.

Ἔσφαξεν Ἑλένης οὕνεχ', ὡς δοκεῖ πατὴρ
Ἀρτέμιδι κλειναῖς ἐν πτυχαῖσιν Αὐλίδος·
Ἐνταῦθα γὰρ δὴ χιλίων ναῶν στόλον
Ἑλληνικὸν συνήγαγ' Ἀγαμέμνων ἄναξ,
Τὸν καλλίνικον στέφανον Ἰλίου θέλων
Λαβεῖν Ἀχαιοὺς, τούς θ' ὑβρισθέντας γάμους
Ἑλένῃ μετελθεῖν, Μενέλεῳ χάριν φέρων.
Δεινῆς δ' ἀπλοίας πνευμάτων τ' οὐ τυγχάνων,
Ἐς ἔμπυρ' ἦλθε, καὶ λέγει Κάλχας τάδε·
Ὦ τῆσδ' ἀνάσσων Ἑλλάδος στρατηγίας,
Ἀγάμεμνον, οὐ μὴ ναῦς ἀφορμίσῃ χθονὸς,
Πρὶν ἂν κόρην σὴν Ἰφιγένειαν Ἄρτεμις
Λάβῃ σφαγεῖσαν· ὅ,τι γὰρ ἐνιαυτὸς τέκοι
Κάλλιστον, εὔξω φωσφόρῳ θύσειν θεᾷ.
Παῖδ' οὖν ἐν οἴκοις σὴ Κλυταιμνήστρα δάμαρ
Τίκτει, (τὸ καλλιστεῖον εἰς ἔμ' ἀναφέρων)
Ἥν χρή σε θῦσαι· καί μ' Ὀδυσσέως τέχναις
Μητρὸς παρείλοντ' ἐπὶ γάμοις Ἀχιλλέως.
Ἐλθοῦσα δ' Αὐλίδ' ἡ τάλαιν' ὑπὲρ πυρᾶς
Μεταρσία ληφθεῖσ' ἐκαινόμην ξίφει·
Ἀλλ' ἐξέκλεψεν, ἔλαφον ἀντιδοῦσα μου,
Ἄρτεμις Ἀχαιοῖς, διὰ δὲ λαμπρὸν αἰθέρα
Πέμψασά μ' ἐς τήνδ' ᾤκισεν ταύρων χθόνα,
Οὗ γῆς ἀνάσσει βαρβάροισι βάρβαρος
Θόας, ὃς ὠκὺν πόδα τιθεὶς ἴσον πτεροῖς,
Ἐς τοὔνομ' ἦλθε τόδε ποδωκείας χάριν.

15. Ἀπλοίας] σύνταξον πρὸς τὸ τυγχάνων· δὶς γὰρ τοῦτο ληπτέον. 16, Εἰς

ἀναστρέφει τὴν θάλασσαν· ἐνταῦθα γὰρ Ἀγαμέμνων χιλίων νεῶν ἀπὸ πάσης τῆς Ἑλλάδος συνήγειρε στόλον, ὅπως ἂν Τροίαν ἐξελόντες οἱ Ἕλληνες, καὶ δίκην Μενελάῳ λαβόντες, ἐφ᾽ οἷς ὑπὸ Πάριδος ὕβρισται, τοῦ ἁρπάσαντος τὴν Ἑλένην, τὸν καλλίνικον ἄραιντο στέφανον· ἀμηχάνου δὲ διὰ πολλοῦ κρατούσης ἀπλοίας, ἀπορῶν τοῖς ὅλοις οὑμὸς πατὴρ, ἔγνω χρήσεσθαι τῇ μαντείᾳ· ἔνθα Κάλχας ἀνεῖπε τάδε. Ἀγάμεμνον, ὁ τῆς δε τῆς τῶν Ἑλλήνων ἡγούμενος στρατιᾶς, ἴσθι ὡς οὐκ ἂν ἄλλως ἐξείησοι πρότερον ἀναχθῆναι ἐντεῦθεν, πρὶν ἢ Ἰφιγένειαν τὴν σαυτοῦ θυγατέρα σφάγιον Ἀρτέμιδι ἀποδοῦναι· οἶσθα γὰρ, οἷα ἔφθης εὐξάμενος τῇ θεῷ, τὸ κάλλιστον, ὧν φέρει ὁ ἐναυτὸς, τοῦτο προσοίσειν τῇ λαμπαδούχῳ ἐκείνῃ· χρὴ τοίνυν θῦσαι τὴν σεαυτοῦ θυγατέρα· (οὕτω γὰρ εις ἐμὲ τὸ καλλιστεῖον ἀνήνεγκεν.) Ἐντεῦθεν οὖν σκευωρίᾳ Ὀδυσσέως παρεῖλόν με τῆς μητρὸς, ὡς δῆθεν γάμῳ με Ἀχιλλεῖ συνοικήσουσαν· ἀλλ᾽ ἅμ᾽ ἐλθοῦσαν με εἰς Αὐλίδα, ἁρπασθεῖσαν ἐπὶ τὴν πυρὰν, ἀντὶ γάμου ὑπεδέξατο ξίφος· ἀλλ᾽ ἡ θεὸς, ἔλαφον ἀντιδοῦσα τοῖς Ἕλλησιν, ἀπέπεμψέ με ὑφελοῦσα διὰ τοῦ αἰθέρος εἰς τήνδε τῶν Ταύρων γῆν, ἔνθα βαρβάρων βάρβαρος ἄρχει Θόας· ὃς τῷ ὠκύπους ὡς μάλιστα εἶναι, ὅσα γε καὶ πτηνὸν, τῆς κλήσεως εἴληχε ταύτης. Ἐνταῦθα

ἔμπυρα ἦλθε] ἴδε Φοιν. 1270. 21. Εὔξω φωσφόρῳ] ἐν ἄλλοις, ηὔξω· φωσφόρος δὲ ἡ Ἄρτεμις· ἥτις ἐν οὐρανῷ μὲν καλεῖται Σελήνη· ἐν γῇ δὲ τοῦτ᾽ αὐτὸ Ἄρτεμις, και ἐν Ἅδου, Ἑκάτη. 27. Ἔλαφον] ἴδε Ἰφιγ. Αυλ. στίχ. 1656.

Ναοῖσι δ' ἐν τοῖσδ' ἱερίαν τίθησί με,
Ὅθ' ἐννόμοισι τοῖσιδ' ἥδεται θεὰ
Ἄρτεμις ἑορτῆς, τοὔνομ' ἧς καλὸν μόνον·
Θύω γὰρ, ὄντος τοῦ νόμου καὶ πρὶν πόλει,
Ὃς ἂν κατέλθῃ τήνδε γῆν Ἕλλην ἀνήρ.
Κατάρχομαι μὲν, σφάγια δ' ἄλλοισιν μέλει
Ἄῤῥητ' ἔσωθεν τῶνδ' ἀνακτόρων θεᾶς.
Τὰ δ' ἄλλα σιγῶ, τὴν θεὸν φοβουμένη.
Ἃ καινὰ δ' ἥκει νὺξ φέρουσα φάσματα,
Λέξω πρὸς αἰθέρ', εἴ τι δὴ τόδ' ἔστ' ἄκος.
Ἔδοξ' ἐν ὕπνῳ τῆσδ' ἀπαλλαχθεῖσα γῆς
Οἰκεῖν ἐν Ἄργει, παρθένοισι δ' ἐν μέσαις
Εὕδειν, χθονὸς δὲ νῶτα σεισθῆναι σάλῳ,
Φεύγειν δὲ, κἄξω στᾶσα θριγκὸν εἰσιδεῖν
Δόμων πιτνόντα, πᾶν δ' ἐρείψιμον στέγος
Βεβλημένον πρὸς οὖδας ἐξ ἄκρων σταθμῶν.
Μόνος δ' ἐλείφθη στῦλος, ὡς ἔδοξέ μοι,
Δόμων πατρῴων, ἐκ δ' ἐπικράνων κόμας
Ξανθὰς καθεῖναι, φθέγμα δ' ἀνθρώπου λαβεῖν.
Κἀγὼ τέχνην τήνδ', ἣν ἔχω ξενοκτόνον,
Τιμῶσ', ὕδραινον αὐτὸν, ὡς θανούμενον,
Κλάουσα. τοὔναρ δ' ὧδε συμβάλλω τόδε
Τέθνηκ' Ὀρέστης, οὗ κατηρξάμην ἐγώ.
Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄρσενες·
Θνήσκουσι δ', οὓς ἂν χέρνιβες βαλωσ' ἐμαί.

Ἱερίαν] ἰωνικῶς, ἵνα ᾖ βραχὺ τὸ ἰῶτα. 43. Πρὸς Αἰθέρα] μόνη γὰρ ἦν, μήπω τοῦ Χοροῦ εἰσελθόντος· οὕτω καὶ ἐν Ἀνδρομάχῃ στιχ. 93. 56. Κατηρξάμην]

τοίνυν με γενομένην, κατέστησεν ἱέρειαν ἐν τῷ ναῷ τουτωΐ, ἔνθ' ἡ θεὸς ἰδίοις νόμοις ἥδεται ἑορτῆς· ἧς τὸ μὲν ὄνομα καλόν· τὰ δ' ἔργα οὐκ ἂν ἑκοῦσα εἴποιμι οἷα, τὴν θεὸν εὐλαβουμένη· ἀρχαίου γὰρ τοῦ νόμου τῇ πόλει ὄντος, ἀνάγκη πᾶσα κἀμὲ τούτῳ χρῆσθαι, καὶ θύειν πάνθ', ὃς ἂν τύχῃ ποτὲ ἐς τήνδε τὴν γῆν καταχθεὶς, μόνον καταρχομένη· τὸ γὰρ σφάζειν ἄλλοις τέτακται ἐν ἀποῤῥήτῳ κατὰ τὸ ἐνδότερον τοῦ ναοῦ· καὶ ταῦτα μὲν οὕτω. Νῦν δ' ἐρῶ καταμόνας, ὧδε πρὸς τὸν αἰθέρα, ἅ μοι ἡ παρήκουσα νὺξ παρέφηνε φάσματα, εἴτις ἐκ τούτου ὄνησις· ἔδοξε γὰρ ὄναρ καταλιπεῖν τήνδε γῆν, κἀν μέσαις παρθένοις ἐν Ἄργει καθεύδειν· εἶτε δὲ σεισμοῦ ἰσχυροῦ γενομένου, ἐκπηδήσας τοῦ δώματος, καὶ στᾶσα ἔξω ἰδεῖν πᾶσαν τὴν οἰκίαν ἐκ βάθρων εἰς ἐρείπιον ἄρδην ἀνατετραμμένην· ἕνα δὲ στῦλον ἑστάναι μόνον, ὃς ἐφαίνετο ξανθὴν κόμην καθειμμένος ἄνωθεν ἐκ τοῦ ἐπικρανίου, καὶ φωνὴν ἀνθρώπινον προϊέμενος· ἐγὼ δὲ, ἣ τέταγμαι ἔχειν τέχνῃ, ταύτῃ τῇ ξενοκτόνῳ χρωμένη, ἔλουον αὐτὸν, ὡς θανούμενον κλαίουσα· ἀλλ' ὅ μοι βούλεται τὄναρ τοῦτο, ἤδη ἐρῶ· συμβάλλω γὰρ τεθνηκέναι Ὀρέστην τὸν ἐμὸν ἀδελφὸν, οὗ κατηρξάμην ἐγώ· στύλους γὰρ οἴκων τοὺς ἄῤῥενας εἶναι παῖδας· καὶ οὓς ἂν ἐγὼ λούσω, τούτους ἀνάγκην εἶναι τὸν βίον τε-

ὅ ἐστιν, ὕδραινον, ὡς ἀνωτέρω μικρόν· ἔστι δὲ τὸ κατάρχεσθαι, οὐλοχύτας, τουτέστι προθύματά τινα ἐξ οὐλῶν, εἴτουν κριθῶν, ἁλσὶ μεμιγμένων, ἐπιχεῖν

Οὐδ' αὖ συνάψαι τοὔναρ ἐς φίλους ἔχω·
Στροφίῳ γὰρ οὐκ ἦν παῖς, ὅτ' ὠλλύμην ἐγώ.
Νῦν οὖν ἀδελφῷ βούλομαι δοῦναι χοὰς
Παροῦσ' ἀπόντι (ταῦτα γὰρ δυναίμεθ' ἂν
Σὺν προσπόλοισιν, ἅς ἔδωχ' ἡμῖν ἄναξ
Ἑλληνίδας γυναῖκας· ἀλλ' ἐξ αἰτίας
Οὔπω τινὸς πάρεισιν ἐς ἔμ' εἴσω δόμων,
Ἐν οἷσι ναίω, τῶνδ' ἀνακτόρων θεᾶς.
ΟΡ. Ὅρα, φυλάσσου, μή τις ἐν στίβῳ βροτῶν.
ΠΥ. Ὁρῶ, σκοποῦμαι δ', ὄμμα πανταχοῦ στρέφων.
ΟΡ. Πυλάδη, δοκεῖ σοι μέλαθρα ταῦτ' εἶναι θεᾶς,
Ἔνθ' Ἀργόθεν ναῦν ποντίαν ἐστείλαμεν;
ΠΥ. Ἔμοιγ', Ὀρέστα· σοὶ δὲ συνδοκεῖν χρεών.
ΟΡ. Καὶ βωμὸς, Ἕλλην οὗ καταστάζει φόνος;
ΠΥ. Ἐξ αἱμάτων γοῦν ξάνθ' ἔχει θριγκώματα.
ΟΡ. Θριγκοῖς δ' ὑπ' αὐτοῖς σκῦλ' ὁρᾷς ἠρτημένα;
ΠΥ. Τῶν κατθανόντων τἀκροθίνια ξένων.
ΟΡ. Ἀλλ' ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν χρεών.
Ὦ Φοῖβε, ποῖ μ' αὖ τήνδ' ἐς ἄρκυν ἤγαγες
Χρήσας, ἐπειδὴ πατρὸς αἷμ' ἐτισάμην,
Μητέρα κατακτάς; διαδοχαῖς δ' Ἐριννύων
Ἠλαυνόμεσθα φυγάδες, ἔξεδροι χθονὸς,

---

τοῖς βωμοῖς οἱονεὶ ἀπαρχάς τινάς. 64. Ἑλληνίδας] αἱ πρόσπολοι αὗται τῆς Ἰφιγενείας, αἳ συνιστᾶσι καὶ τὸν Χορὸν Ἑλληνίδες ὑποτίθενται εἶναι, δοριάλωτοι ἐκ πόλεως τινος Ἑλληνίδος. ἴδε κατωτέρω. στίχ. 1115. 67. Ὅρα, φυλάσσου] ἀπελθούσης τῆς Ἰφιγενείας, εὐθὺς μετὰ μικρὸν παρίσταται Ὀρέστης, παραγγέλλων Πυλάδῃ προσέχειν τὸν νοῦν, μὴ ὑπ' ἐχθρῶν, αἳ

λευτᾶν· οὐδὲ γὰρ ἐς φίλους ἄλλως ἔχοιμ' ἂν ἀναφέρειν τὸ φάσμα· εἴγε Στροφίῳ, ὃς μόνος μοι ὑπολέλειπτο φίλος, παῖς οὔπω ἦν, ἐμοῦ θυομένης κατὰ τὴν Αὐλίδα· Νῦν δ' οὖν βούλομαι χοὰς τῷ ἀδελφῷ ὡς παροῦσα ἀπόντι ποιῆσαι· τοῦτο γὰρ ἡμῖν νῦν ποιεῖν δυνατὸν μετὰ τῶν προσπόλων· ἅς Θόας ὁ κρατῶν τῆς δε τῆς χώρας Ἑλληνίδος τυγχάνει μοι δεδωκώς· ἀλλ' ἐξ αἰτίας τινὸς οὔπω εἰσῆλθον εἰς τὰ ἀνάκτορα ταῦτα, ἐν οἷς κατοικεῖ.

ΟΡ. Πυλάδη, πρόσχες, φυλάσσου, μήτις ἡμῖν καθ' ὁδὸν ἀπαντήσῃ.

ΠΥ. Θάῤῥει· πανταχόσε γάρ μοι περιστρομβεῖται τὸ ὄμμα κύκλῳ.

ΟΡ. Ἀλλ' ἆρ' οὐ δοκεῖ σοι ταῦτα τὰ τῆς θεοῦ ἀνάκτορα εἶναι ἐφ' ἣν ἐξ Ἄργους τυγχάνομεν πεπλευκότες;

ΠΥ. Ἔμοιγε· δεῖ δὲ καί σε ταὐτὰ συνδοκεῖν.

ΟΡ. Καὶ βωμὸς ὧδε ὃν Ἑλληνικὸν βάπτει αἷμα;

ΠΥ. Κἀκ τῶν αἱμάτων ξανθὰς ἐκείνας καθεῖται κόμας.

ΟΡ. Ορᾷς δὲ δευρὶ ὑπὸ τοῖς θριγκοῖς καὶ σκῦλα ἀπηρτημένα;

ΠΥ. Ἔγωγε· ἀκροθίνια ταῦτα ξένων ἀπολωλότων.

ΟΡ. Ἀλλὰ σκοποῦντας ταῦτα δεῖ περιςρέφειν τὸ ὄμμα πάντῃ. Σὺ δ' ὦ Φοῖβε Ἄπολλον, εἰς τίνας ἄρκυς αὖ ταυταισὶ ἐνέβαλές με οἷς ἔχρησας; ἐγὼ γὰρ τῷ τοῦ πατρὸς φόνῳ ἐπεξιὼν, ἀνεῖλον τὴν μητέρα τολμήσας· κἀκ τούτου, ἐπειδὴ ἄλλοθ' ὑπ' ἄλλων Ἐριννύων ἐτύγχανον

φνης ἐπιπηδησάντων, συλληφθῶσιν. 73. Ξανθὰ θριγκώματα] ἐν ἄλλοις, τρι-

Δρόμους τε πολλοὺς ἐξέπλησα καμπίμους.
Ἐλθὼν δέ σ' ἠρώτησα, πῶς τροχηλάτου
Μανίας ἂν ἔλθοιμ' ἐς τέλος πόνων τ' ἐμῶν,
Οὓς ἐξεμόχθουν περιπολῶν καθ' Ἑλλάδα.
Σὺ δ' εἶπας ἐλθεῖν Ταυρικῆς μ' ὅρους χθονός,
Ἔνθ' Ἄρτεμις, σὴ σύγγονος, βωμοὺς ἔχει,
Λαβεῖν τ' ἄγαλμα θεᾶς, ὅ φασιν ἐνθάδε
Ἐς τούσδε ναοὺς οὐρανοῦ πεσεῖν ἄπο·
Λαβόντα δ' ἢ τέχναισιν, ἢ τύχῃ τινὶ,
Κίνδυνον ἐκπλήσαντ', Ἀθηναίων χθονὶ
Δοῦναι· τὸ δ' ἐνθένδ' οὐδὲν ἐῤῥήθη πέρα·
Καὶ ταῦτα δράσαντ' ἀμπνοὰς ἕξειν πόνων.
Ἥκω δὲ, πεισθεὶς σοῖς λόγοισιν, ἐνθάδε
Ἄγνωστον ἐς γῆν, ἄξενον. σὲ δὲ ἱστορῶ,
Πυλάδη (σὺ γάρ μοι τοῦδε συλλήπτωρ πόνου)
Τί δρῶμεν; ἀμφίβληστρα γὰρ τοίχων ὁρᾷς
Ὑψηλά. πότερον δωμάτων προσαμβάσεις
Ἐκβησόμεσθα; πῶς ἂν οὖν λάθοιμεν ἄν;
Ἢ χαλκότευκτα κλῆθρα λύσαντες μοχλοῖς;
Ὧν οὐδὲν ἴσμεν· ἢν δ' ἀνοίγοντες πύλας
Ληφθῶμεν ἐσβάσεις τε μηχανώμενοι,
Θανούμεθ'. ἀλλὰ πρὶν θανεῖν, νεὼς ἔπι
Φεύγωμεν, ᾗπερ δεῦρ' ἐναυστολήσαμεν.

ΠΥ. Φεύγειν μὲν οὐκ ἀνεκτὸν οὐδ' εἰώθαμεν·

χώματα· σημαίνει δὲ τὰς ἀπὸ τοῦ βωμοῦ καταῤῥοὰς τῶν αἱμάτων. 91. Πέρα] οὕτω διορθοῦσι τοῦτο ἀντὶ τὸ πέρας ἵνα ᾖ. οὐδὲν ἄλλο εἴρηταίσοι πρός μs παρὰ ταῦτα. 97 Προσαμβάσεις] ἐν ἄλλοις πρὸς ἀμβάσεις, κα-

ἐλαυνόμενος ἄνω καὶ κάτω φυγὰς πανταχόσε, προσιὼν ἐχρησάμην σοι, ὅπως ἂν τῆς τε μανίας ταύτης καὶ τῶν πόνων, οὓς ἔτλην, ἀνὰ πᾶσαν πλανώμενος τὴν Ἑλλάδα, παυσαίμην· σὺ δέ μοι ἀνεῖλες ἐλθόντα ἐς Ταύρους, ἔνθ' Ἄρτεμις ἡ σὴ ἀδελφὴ βωμὸν ἔχει, λαβεῖν τὸ ἄγαλμα τῆς θεοῦ, ὃ ἐν τῷδε τῷ ναῷ φασι πεσεῖν οὐρανόθεν· λαβόντα δ' ὁπωσοῦν τύχῃ, ἢ τέχνῃ, καὶ τὸν ἀγῶνα τοῦτον ἀγωνισάμενον ὅτῳ δήποτε τρόπῳ, ἀποδοῦναι αὐτὸ τῇ πόλει τῶν Ἀθηναίων· ταῦτά μοι εἴρηται παρὰ σοῦ, κοὐδὲν τούτων πλέον. δράσαντα δὲ ταῦτα καλῶς, ἀπαλλαγήσεσθαί με τῆς νόσου. Τούτων οὖν οὕτως ἀνῃρημένων, παρασχὼν πειθόμενον ἐμαυτὸν, εἰς τήνδε τὴν ἄγνωστον καὶ ἄξενον ἥκον γῆν. Ἀλλ' ὦ Πυλάδη· σὲ γὰρ οἶδα μόνον τοῦ ἀγῶνος τούτου συλλήπτορά μοι γεγενημένον· τί σοι δοκεῖ; ὁρᾷς γὰρ τὸν τοῦ ναοῦ περίβολον ὑψηλόν· πότερον οὖν, κλίμακας προσθέντες τῷ τοίχῳ, ὑπερβησόμεθα, ἢ μοχλοῖς τὰ κλεῖθρα χαλάσαντες; τῶν γὰρ ἐντὸς ἴσμεν οὐδὲν ὅ,τι εἴη· πῶς δ' ἂν διδαχθείημεν ταῦτα; ἢν γὰρ τὰς θύρας διαῤῥήξαντες, ἢ τὸν τοῖχον ὑπερβαλόντες, ἁλῶμεν, ἀποθανούμεθα· καλὸν οὖν ἔμοιγε δοκεῖ πρὶν ἤ τι παθεῖν, ἐπανελθόντας εἰς τὴν ναῦν, ἐφ' ἧς τυγχάνομεν δεῦρ' ἀφιγμένοι, φεύγειν πλεύσαντας οἴκαδε πάλιν.

ΠΥ. Οὔτ' ἀνασχετὸν τοῦτ' ἂν εἴη, οὔθ' ἡμῶν αὐτῶν ἐςι φεύ-

καθάπερ ἐν Φοιν. στίχ. 499 καὶ 756. 98. Πῶς ἂν οὖν λάθοιμεν ἂν] οὕτως ἀντὶ τοῦ μάθοιμεν· εἴδ' ἄμεινον τὸ μάθοιμεν, ἔχεις τὴν τάξιν τῆς τῶν ὀνομά-

Τὸν τοῦ θεοῦ δὲ χρησμὸν οὐ κακιστέον.
Ναοῦ δ' ἀπαλλαχθέντε, κρύψωμεν δέμας
Κατ' ἄντρ', ἃ πόντος νοτίδι διακλύζει μέλας·
Νεὼς ἄπωθεν, μή τις εἰσιδὼν σκάφος
Βασιλεῦσιν εἴπῃ, κᾆτα ληφθῶμεν βίᾳ.
Ὅταν δὲ νυκτὸς ὄμμα λυγαίας μόλῃ,
Τολμητέον τοι ξεστὸν ἐκ ναοῦ λαβεῖν
Ἄγαλμα, πάσας προσφέροντε μηχανάς.
Ὅρα δὲ γ' εἴσω τριγλύφων, ὅποι κενὸν,
Δέμας καθεῖναι· τοὺς πόνους γὰρ οἱ 'γαθοὶ
Τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ.

ΘΡ. Οὔτοι μακρὸν μὲν ἤλθομεν κώπῃ πόρον,
Ἐκ τερμάτων δὲ νόστον ἀροῦμεν πάλιν.
Ἀλλ', εὖ γὰρ εἶπας. πειστέον χωρεῖν χρεὼν,
Ὅποι χθονὸς κρύψαντε, λήσομεν, δέμας.
Οὐ γὰρ τὸ τοῦ θεοῦ γ' αἴτιον γενήσεται,
Πεσεῖν ἄχρηστον θέσφατον· τολμητέον·
Μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.

ΙΦ. Εὐφαμεῖτ', ὦ πόντου
Δισσὰς συγχωρούσας πέτρας
Εὐξείνου ναίοντες.
Ὦ παῖ τῆς Λατοῦς,
Δίκτυν' οὐρεία,
Πρὸς σὰν αὐλὰν, εὐστύλων
Ναῶν χρυσήρεις θριγκοὺς

---

των θέσεως ἐν τῇ παραφράσει. 113. Ὅρα. ἐν ἄλλοις, ὧρα 116. οὔτοι μακρὸν] Ὅμηρον δοκεῖ παρῳδεῖν.

ᵃ Αἰσχρὸν γὰρ δηρόντε μένειν, κενόντε νέεσθαι.

γειν· ἀλλὰ καὶ τὸν χρησμὸν αὐτὸν τὸν τοῦ θεοῦ οὐ δεῖ ἄπρακτον καταστῆσαι· νῦν δ' οὖν ἀπαλλαγέντες ἐντεῦθεν, καταδυσώμεθά πη εἰς τὰ ἄντρα τὰ παρὰ τῇ θαλάσσῃ, μακρὰν τῆς νεὼς, ἵνα μή τις ἰδὼν τὸ σκάφος, κατείπῃ τοῖς ἐνταῦθα κρατοῦσι· κᾆθ' ἁλῶμεν, εἴξαντες ἐκείνων τῷ πλήθει· ἐπειδὰν δὲ τάγιστα συσκοτάσῃ, ἐπιχειρητέα ἂν εἴη πάσῃ μηχανῇ τἄγαλμα ἀπὸ τοῦ ναοῦ ὑφελέσθαι· σκεπτέον δ' ὅπως εἰσπεσούμεθα, διὰ τῶν τριγλύφων διεισδύντες ἐκεινωνί· ἀγαθῶν μὲν γὰρ τολμᾷν πρὸς τοὺς πόνους· κακῶν δὲ γνώρισμα ἡ δειλία· οἷς οὐδὲν περίεστιν, ἢ μηδένας παρὰ μηδέσιν εἶναι·

ΟΡ. Πειστέον σοι εὖ εἰπόντι· αἰσχρὸν γὰρ τοσοῦτον ἐκ περάτων γῆς διαπόντιον ἀναδεξαμένους ἀγῶνα, καὶ ἐφ' ἃ τυγχάνομεν πλεύσαντες, ἀφιγμένους, ἀπράκτους ἐπανελθεῖν· Χωρῶμεν τοίνυν, ὁποιδήποτε λήσομεν πρὸς τὸ παρὸν καταδύντες· κᾆθ' ὑπὸ σκότῳ ἐπιχειρῶμεν· οὐ γὰρ ἂν δικαίως αἰτιασαίμεθα τὸν θεὸν, εἰ ὁ χρησμὸς γένοιτ' ἄπρακτος· ἀλλὰ τολμητέον ἡμῖν· δειλῶν γάρ ἐστιν σκήπτεσθαι πόνοις·

ΙΦ. Εὐφημεῖθ' ὑμεῖς, ὅσοιγε περὶ τὰς κλεινὰς Συμπληγάδας τοῦ Εὐξείνου πόντου τυγχάνετε κατοικοῦντες· ὦ Ἄρτεμις, κόρη τῆς Λητοῦς, Δίκτυνα, ἡ ὄρεσι μάλιστα χαίρουσα· ἧς τῷ εὐστύλῳ καὶ χρυσεφερεῖ ναῷ ὁσία κλει-

ἔστι δ' ὁποσοῦν ποιητικώτερον ἐκτεφρασμένον. 124 Συγχωρούσας] τὰς Συμπληγάδας φησὶν, ἃς προσιόντι τῳ πρὸς αὐτὰς δοκοῦσιν ἑνοῦσθαι. 127. Δίκτυ-

Πόδα παρθένιον ὅσιον ὁσίας
Κληδούχου δούλα πέμπω,
Ἑλλάδος εὐΐππου πύργους
Καὶ τείχη χόρτων τ' εὐδένδρων
Ἐξαλλάξασ' Εὐρώταν,
Πατρῴων οἴκων ἕδρας.

ΧΟ· Ἔμολον· τί νέον; τίνα φροντίδ' ἔχεις;
Τί με πρὸς ναοὺς ἄγαγες, ἄγαγες;
Ὦ παῖ τοῦ τᾶς Τροίας πύργους
Ἐλθόντος κλεινᾷ σὺν κώπᾳ
Χιλιοναύτᾳ μυριοτευχεῖ
Τῶν Ἀτρειδᾶν τῶν κλεινῶν.

ΙΦ· Ὦ δμωαὶ, δυσθρηνήτοις
Ὡς θρήνοις ἔγκειμαι, τᾶς
Οὐκ εὐμούσου μολπᾶς βοᾶν
Ἀλύροις ἐλέγοις,
Ἒ ἔ! ἐν κηδείοις οἴκτοις!
Αἵ μοι συμβαίνουσ' ἆται,
Σύγγονον ἀμὸν κατακλαιομένᾳ
Ζωᾶς, οἵαν ἰδόμαν ὄψιν [ὀνείρων]
Νυκτὸς, τᾶς ἐξῆλθ' ὄρφνα.
Ὀλόμαν, ὀλόμαν· οὐκ εἴσ' οἶκοι
Πατρῷοι· οἴμοι φροῦδος γέννα!
Φεῦ, φεῦ τῶν Ἄργει μόχθων!
Ἰώ! ἰὼ δαίμων, ὃς τὸν
Μοῦνόν με κασίγνητον συλᾷς,
Ἅδᾳ πέμψας, ᾧ τάσδε χοὰς
Μέλλω κρατῆρά τε τὸν φθιμένων

δοῦχος τέταγμαι εἶναι, τείχη καὶ πόλεις τῆς εὐόπλου Ἑλλάδος, καὶ Εὐρώταν αὐτὸν τὸν διὰ χωρίων χλοερῶν καὶ εὐδένδρων διεξιόντα, παρ' ᾧ ἐστιν ὁ πατρῷός μοι οἶκος, καταλιποῦσα.

**ΧΟ.** Δέσποινα, θύγατερ τοῦ κλεινοῦ Ἀτρείδου ϛρατηγήσαντος ἐπὶ Τροίαν χιλίαις ναυσὶ, μυρίων ὅσων ἡγουμένου Ἑλλήνων, τὶ ποτέ με κελεύεις, ἀγαγοῦσά με δεῦρο; τί νέων ἔχεις εἰπεῖν;

**ΙΦ.** Ὡς ἐν μεγίστῃ ἀνάγκῃ, ὦ φίλαι, γεγένημαι· ὥστε διὰ δυσθρηνήτων θρήνων, καὶ ἐλέγων ἀλύρων παράμουσον μέλπειν μολπὴν ἐν ἐπιταφίοις ὀλολυγαῖς, ἔ, ἔ! οἷαί μοι αὖθις ἐπέρχονται συμφοραὶ, τὸν ἐμαυτῆς φίλτατον ἀδελφὸν ὀδυρομένη ἀποθανόντα! οἵαν γὰρ οἵαν ὄψιν τὴν παρελθοῦσαν νύκτα κατ' ὄναρ εἶδον· ὄλωλ' ἀπόλωλ' ἄρα ἡ τάλαιν' ἐγώ· οὐκέτι μοι πατρῷος περίεϛιν οἶκος· καὶ τὸ γένος ἄρδην ᾤχετο φροῦδον· φεῦ, φεῦ τῆς ἐν Ἄργει τῶν πραγμάτων σπουδῆς· ἰὼ δαῖμον, ὅς μοι τὸν μόνον μοι ἔτι λειπόμενον ἀδελφὸν ἀφελὼν, προὔπεμψας Ἅδῃ· τούτῳ δὴ νῦν βούλομαι κατὰ γῆς

---

να] Ἄρτεμις. ἴδε Ἱππολ. στίχ. 146. 130. Πόδα . . . πέμπω] ἦλθον, περιφραστικῶς· ἡ δὲ συνθήκη οὕτω, ἐγὼ ἡ σὴ δούλη πέμπω τὸν παρθενικὸν καὶ ὅσιον πόδα τῆς ὁσίας κλειδούχου (ἐμαυτῆς) πρὸς σὴν αὐλάν. κ.τ.λ. 134, Εὐρώταν ἐν ἄλλοις δὲ κεῖται Εὐρώπαν, πιθανὸν καὶ τοῦτο. 140. Μυριοτευχεῖ] οὕτω μᾶλλον ἐπιθετικῶς πρὸς τὸ Κώπᾳ· ἐν ἄλλοις δὲ κεῖται, Μυριοτεύχοις· τὸ δὲ, Ἀτρειδῶν, διαιρετικῶς πρὸς τὸ, ἐλθόντος. 144. Τᾶς οὐκ εὐμούσου μολπᾶς βοᾶν] ἐν ἄλλοις δὲ, Τᾶς οὐκ εὐμούσου μολπαῖσι βοᾶς· ἡ δὲ συνθήκη ᾧδ' ἐχέτω, ὡς ἐν δυσθρηνήτοις θρήνοις κεῖμαι, (καὶ) ἐν ἀλύροις ἐλέγοις τῆς οὐκ εὐμούσου (κατὰ τὸ) βοᾶν μολπῆς, (ἒ, ἔ!) καὶ ἐν κηδείοις οἰκτοῖσι κεῖμαι ἐπὶ ταῖς ἄταις, αἵμω συμβαίνουσι. 150. Ὀλόμαν] ἄμφω βραχυγραφούμενα. ἐν ἄλλοις δ', Ὠλόμαν 153. Γέννα] ἀπέσβη πᾶν τὸ γένος. 157. Κρατῆρα] τὸ κρᾶμα.

Ὑδραίνειν γαίας ἐν νώτοις
Πηγάς τ' οὐρείων ἐκ μόσχων,
Βάκχου τ' οἰνηρὰς λοιβὰς,
Ξουθᾶν τε πόνημα μελισσᾶν,
Ἃ νεκροῖς θελκτήρια κεῖται.
Ἀλλ' ἔνδος μοι πάγχρυσον
Τεῦχος καὶ λοιβὰν Ἅδᾳ.
Ὦ κατὰ γαίας Ἀγαμεμνόνιον
Θάλος, ὡς φθιμένῳ τάδε σοι πέμπω·
Δέξαι δ'· οὐ γὰρ πρὸς τύμβον σοι
Ξανθὰν χαίταν, οὐ δάκρυ' οἴσω.
Τηλόσε γὰρ δὴ σᾶς ἀπενάσθην
Πατρίδος καὶ ἐμᾶς, ἔνθα δοκίμα
Κεῖμαι σφαχθεῖσα τλάμων·

ΧΟ. Ἀντιψάλμους ᾠδὰς ὕμνον τ'
Ἀσιήταν σοι, βάρβαρον ἰαχὰν
Δέσποινᾳ γ' ἐξαυδάσω
Τὰν ἐν θρήνοις μοῦσαν νέκυσιν
Μέλεον, τὰν ἐν μολπαῖς Ἅδας
Ὑμνεῖ δίχα παιάνων.

ΙΦ. Οἴμοι τῶν 'Ατρειδᾶν οἴκων!
Ἔῤῥει φῶς σκήπτρων, οἴμοι!
Οἴμοι πατρῴων οἴκων!
Τίς δ' ἐκ τῶν εὐόλβων Ἄργει

---

τὸ περιέχον ἀντὶ τοῦ περιεχομένου. 170. Καὶ ἐμᾶς] καὶ τῆς ἐμῆς· ἐν ἄλλοις Κεμᾶς· καὶ ἐν ἄλλοις ἔτι Κεμὰς, ὅ ἐστιν ἐλάφου εἶδός φασι, καὶ συντιθέασι τοῦτο πρὸς τὸ δοκίμα ἑπομένως — Ἔνθα δοκίμα· ὅ ἐστι κατὰ τὸ δοκοῦν τῶν

ᾧδε χοάς τε καὶ κρᾶμα, ὡς νόμος νεκροῖς, ποιῆσαι, γάλα ἐκ μόσχων ὀρείων, οἰνόν τε Βάκχου, καὶ μέλι ξανθῆς μελίσσης, ἃ νεκροὺς θέλγει μάλιστα. Ἀλλ' ἄγε σύγε δός μοι δέπας χρυσοῦν, καὶ τὴν λοιβὴν τῷ Ἅδῃ· ὦ βλάστημα Ἀγαμέμνονος, ὁ ὑπὸ γῆν ἐν νεκροῖς εὑρισκόμενος, δέξαι τάσδε χοὰς, ἃς ὡς φθιμένῳ σοι πέμπω· οὐ γὰρ ἂν δυναίμην ἀξίως τιμῆσαί σε, οὔτε τὴν ἐμαυτῆς κόμην ἐπὶ τοῦ σοῦ τάφου ἐπιθεῖναι ἀποκειραμένη· οὔτε μὴν δάκρυα τἀμὰ κατασπεῖσαι, ὡς μακροῖς σχοίνοις τῆς σῆς καὶ ἐμῆς ἀπεσχοινισμένη πατρίδος, ἔνθ' ἡ δύστηνος ἐγὼ δοκῶ τοῖς ἐκεῖ κεῖσθαι τῇ θεῷ ἀποσφαγεῖσα.

**ΧΟ.** Ὦ δέσποινα, ἀντιφώνους ἔγωγ' ᾠδὰς, καὶ ὕμνον Ἀσιανὸν ἐν βαρβάρῳ μέλψω φωνῇ· τοιαύτῃ γὰρ μούσῃ ἐν θρήνοις οἵ τε νεκροὶ ἀρέσκονται μάλιστα, καὶ ὁ Ἅδης ἐν μολπαῖς ἄνευ παιάνων ᾄδει.

**ΙΦ.** Οἴμοι! ἔῤῥει ἄρ' ὁ τῶν Ἀτρειδῶν ἄρδην οἶκος· φροῦδα δ' ᾤχετο καὶ τὰ σκῆπτρα· ἐκ τίνος ἄρ' ἤρξατο τοῖς ἐν Ἄργει εὐδαιμόνως βασιλεύσασι τὰ δεινά; ἐξ ὅτου γὰρ

---

Ἑλλήνων ἐκεῖ εἰμι σφαγεῖσα· τὸ δὲ ἔνθα δοκίμα; καὶ ἔνθ' ἁ δοκίμα κεῖται ἐν ἄλλοις. 174. Δεσποίνα] ἐν ἄλλοις Δέσποινα γ', εἰς κλητικήν. 175. Νέκυσιν μέλεον] τὴν μελομένην νεκροῖς (ἴδε παρακατιὼν στίχ. 650.) ὅ ἐστιν, ἣν ἡμῖν μέλει νεκροῖς ἐπάδειν· ἢ ἁπλῶς ἐλεεινήν. 179. Φῶς] τὸ ὄφελος, ἡ δόξα. 181. Τίς δ' . . . Ἀρχὰ] οὕτως ἐξ ἑτέρας γραφῆς ἀντὶ τοῦ Τίν' ὁ δὲ νοῦς· ἐκεῖνος

Βασιλέων ἀρχά;
Μόχθους δ' ἐκ μόχθων ᾄσσει
Δινευούσαις ἵπποισιν
Πταναῖς ἀλλάξας ἐξ ἕδρας
Ἱερὸν ὄμμ' αὐγᾶς
Ἅλιος· ἄλλοις δ' ἄλλα προσέβα
Χρυσέας ἀρνὸς μελάθροις ὀδύνα,
Φόνος ἐπὶ φόνῳ, ἄχεά τ' ἄχεσιν.
Ἔνθεν τῶν πρόσθεν δμαθέντων
Τανταλιδᾶν ἐκβαίνει ποινά γ'
Εἰς οἴκους. σπεύδει δ' ἀσπούδαστα
Ἐπὶ σοι δαίμων,
Ἐξ ἀρχᾶς μοι δυσδαίμων,
Δαίμων τᾶς ματρὸς ζώνας·
Καὶ νυκτὸς κείνας ἐξ ἀρχᾶς
Λοχιᾶν στεῤῥὰν παιδείαν
Μοῖραι συντείνουσι θεαὶ,
Ἃ μναστευθεῖσ' ἐξ Ἑλλάνων,
Ἃν πρωτόγονον θάλος ἐν θαλάμοις
Λήδας ἁ τλάμων κούρα
Σφάγιον πατρῴα λώβα
Καὶ θῦμ' οὐκ εὐγάθητον
Ἔτεκεν, ἔτρεφεν, εὐκταίαν

---

τῶν ἐν Ἄργει εὐτυχῶς βασιλευσάντων ἡ ἀρχὴ τῶν δυστυχιῶν γέγονε.
183. Μόχθους . . . ἅλιος] ταύτην τὴν γραφὴν εἱλόμην ἀντὶ τῆσδε.
» . . . Μόχθος δ' ἐκ μόχθων
» Αἴσσει δινευούσαις ἵπποισιν
» Πτανοῖς· ἀλλάξας
» Δ' ἐξέδρασ' ἱερὸν ὄμμ' αὐγᾶς ἥλιος.

Πέλοψ τὰς εὐστρόφους καὶ πτηνὰς ἐκείνας ἐδέξατο ἵππους, πόνος ἐκ πόνου ἀμείβεται πόνον, καὶ ὁ ἥλιος παλινδρομήσας, τὴν ἐναντίαν ὤφθη διφρεύσας φοράν· κἀκ τῆς χρυσῆς αὖθις ἀρνὸς ἄλλοις ἄλλα συνεῤῥύη δεινὰ, φόνοι ἐπὶ φόνοις, καὶ ἐπὶ συμφοραῖς συμφοραί. Ἐντεῦθεν ἄρα τῶν πρώτων Ταντaλιδῶν ἀπολωλότων, Ποινή τις πληροῦται διηνεκῶς τὸν οἶκον τοῦτον λυμαινομένη· δαίμων γάρ με ἀλάστωρ ἐξ ἀρχῆς κἀξ αὐτῆς τῆς γαστρὸς τῆς μητρός μου ἐλαύνειν δοκεῖ· αἱ γὰρ Μοῖραι ἐξ αὐτῆς τῆς νυκτὸς τῆς συλλήψεως σκληράν μοι παιδείαν ἐπέκλωσαν· κἀγὼ ἡ ἐν Ἕλλησι μνηστευθεῖσα, ἣν ἡ κόρη τῆς Λήδας, ἡ ἐμὴ μήτηρ ἔτεκεν ἐν θαλάμῳ, καὶ ἔτρεφε ψυχρὸν φρενοβλαβίᾳ τοῦ πατρὸς ἐσόμενον

---

Καθ' ἣν γὰρ προειλόμην γραφὴν ἀναφέρεται σύμπαν τὸ χωρίον ἐς τὸ πάθος ἐκεῖνο τὸ τοῦ ἡλίου μόνου (ἴδε Ὀρέστ. στίχ. 5. και 982). κατὰ τοῦτο δὲ, μερίζεται καὶ πρὸς Πέλοπα, ὥςμοι καὶ παραπέφρασαι ἀντικρὺ, οὐ καλῶς ἴσως· τὸ γὰρ, δινευούσαις, οἰκειότερον ἂν ἀποδῷτο τῷ τοῦ ἡλίου ἅρματι, ὡς περιδινεύοντι τὸν οὐρανὸν, ἢ τῷ τοῦ Πέλοπος πτερωτῷ. 202. Ἀσπούδαστα] ἐπὶ κακῷ, μὴ προσηκόντως. Τὸ δὲ, ἐπὶ σοὶ, ἑπομένως (καίτοι ἐν ἄλλοις κεῖται, ἐπὶ τοῖς, ὅ ἐστι, τοῖς οἴκοις.) αὐτὴ ἔοικε πρὸς ἑαυτὴν ἀποτείνεσθαι. 204. Μητρὸς ζώνης] ἐκ κοιλίας μητρός. 206. Λοχιῶν] οὕτως ἄμεινον ἐξ ἑτέρας γραφῆς ἀντὶ τοὺ, ἐξ ἀρχῆς λοχείαν· ἵν' ᾖ ἐξ ἀρχῆς τῆς γεννήσεως. 199. Ἣ μνηστευθεῖσα] ἐν ἤθει ἀναγνωστέον, ὡς ἀσυνάρτητόν τι ἐν λόγῳ θρηνητικῷ, πολύντον ἐνθύμιον καὶ ἀδιάθετον πολλάκις ἔχοντι λόγον· δοκεῖ δ' οὖν ἐκλιπεῖν τι τοῦ χωρίου, εἰμήτις ἐκβιάσαιτο τὴν ἀπόδοσιν παρακατιὼν εἰς τὸ Ναίω· ὥσπερ κἀγὼ συνήρτησα ἐν τῇ παραφράσει 200. Πρωτόγονον] καὶ μὴν ἐν Ὀρέστῃ. (στίχ. 23.) Χρυσόθεμιν πρωτόγονον τίθησι. 204. Εὐκταίαν] σύνταξον τοῦτο πρὸς τὸ νύμφην κατωτέρω· ὃ ἐν ἄλλοις νυμφαῖον κεῖται.

ΔΗΜΟΤΙΚΗ ... ΒΑΡΒΑΚΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Ἱππείοις ἐν δίφροισιν
Ψαμάθων Αὐλίδος ἐπέβασαν
Νύμφαν (οἴμοι!) δύσνυμφον
Τῷ τᾶς Νηρέως κούρας, αἴ! αἴ!
Νῦν δ' ἀξείνου πόντου ξείνα
Δυσχόρτους οἴκους ναίω
Ἄγαμος, ἄτεκνος, ἄπολις, ἄφιλος,
Οὐ τὰν Ἄργει μέλπουσ' Ἥραν,
Οὐδ' ἱστοῖς ἐν καλλιφθόγγοις
Κερκίδι Παλλάδος Ἀτθίδος εἰκὼ
Καὶ Τιτάνων ποικίλλουσ', ἀλλ'
Αἱμοῤῥάντων δυσφόρμιγγα
Ξείνων αἱμάσσουσ' ἄταν βωμοὺς
Οἰκτράν τ' αἰαζόντων αὐδὰν,
Οἰκτρόν τ' ἐκβαλλόντων δάκρυον.
Καὶ νῦν κείνων μέν μοι λάθα.
Τὸν δ' Ἄργει δμαθέντα κλαίω
Σύγγονον, ὃν ἔλιπον ἐπιμαστίδιόν γ'
Ἔτι βρέφος, ἔτι νέον, ἔτι θάλος
Ἐν χερσὶν ματρὸς πρὸς στέρνοις τ'
Ἄργει σκηπτοῦχον Ὀρέσταν.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΧΟΡΟΣ, ΒΟΥΚΟΛΟΣ, ΙΦΙΓΕΝΕΙΑ.

ΧΟ. Καὶ μὴν ὅδ' ἀκτὰς ἐκλιπὼν θαλασσίους
Βουφορβὸς ἥκει, σημανῶν τί σοι νέον.

θῦμα. κᾆτα ἤγαγόν με εἰς Αὐλίδα ὀχουμένην ἐν δίφρῳ, νυκταίαν νύμφην κακόνυμφον (οἴμοι!) τῷ τῆς Θέτιδος ἐσομένην· αὐτὴ, φημὶ, ἥδε νῦν ξένη ἐν ξένοις οἴκους κατοικῶ δυσκατοίκους ὧδε κατὰ τὸν εὔξεινον πόντον, ἄγαμος· ἄτεκνος, ἄπολις, ἄφιλος, οὐκέτι τὴν ἐν Ἄργει ὑμνοῦσα Ἥραν, οὔτε μὴν τὴν τῶν Τιτάνων εἰκόνα ἐν τῷ τῆς Ἀθηνᾶς πέπλῳ, τῷ ὑπὸ φθόγγοις τῆς κερκίδος ὑφαινομένῳ, ἀνθοκρόκοις πήναις διαποικίλλουσα· ἀλλὰ τῷ τῶν ξένων, κακόμουσον καὶ οἰκτρὰν ἀφιέντων φωνὴν, καὶ δάκρυ καταλειβόντων ἐλεεινὸν, περιῤῥέοντι αἵματι τοὺς βωμοὺς ἐξαιμάσσουσα. Ἀλλ' ἐκείνων μὲν ἑκοῦσά γ' ἐπιλήσομαι· νῦν δὲ κλαίω, ὃν ἔλιπον ἐν Ἄργει ἀδελφὸν ὑπομάζιον, ὥσπερ βλάστημα νεοθαλὲς ἐν ἀγκάλαις μητρῴαις, Ὀρέστην, τὸν τοῦ σκήπτρου ἐν Ἄργει διάδοχον, τοῦτον νῦν κλαίω, τοῦτον θρηνῶ ἡ τλήμων.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΧΟΡΟΣ, ΒΟΥΚΟΛΟΣ, ΙΦΙΓΕΝΕΙΑ.

**ΧΟ.** Καὶ μὴν Βουκόλος ἐκεῖνος ὡς ἀπὸ τοῦ αἰγιαλοῦ σπεύδει δεῦρο, ὥστι νέον σημανῶν.

---

214. Εἰκὼ Τιτάνων] Ἀθηνᾶς ἐν τῇ Τιτανομαχίᾳ ἀριστευσάσης, ἐτίμων αὐτὴν Ἀθηναῖοι ἐν τοῖς Παναθηναίοις πέπλῳ, ἐν ᾧ ἐποίκιλλον αἱ παρθένοι τὰς τῆς θεοῦ Ἀριστείας. Ἴδε Ἑκάβη. στίχ. 170. 216. Αἱμοῤῥάντων] ἡ συνθήκη οὕτω μᾶλλον. 'Αλλ' αἱμοῤῥάντων ξείνων αἱμάσσουσα βωμοὺς, δυσφόρμιγγά τε οἰκτράν τε αἰαζόντων ἄταν. 218. Λύδαν οἰκτρὸν] οὕτω μᾶλλον, ἀντὶ τοῦ

ΒΟ. Ἀγαμέμνονος παῖ καὶ Κλυταιμνήστρας τέκνον,
Ἄκουε καινῶν ἐξ ἐμοῦ κηρυγμάτων.
ΙΦ. Τί δ' ἔστι τοῦ παρόντος ἐκπλῆσσον λόγου;
ΒΟ. Ἥκουσιν ἐς γῆν κυανέαν Συμπληγάδα,
Πλάτῃ φυγόντες, δίπτυχοι νεανίαι,
Θεᾷ φίλον πρόσφαγμα καὶ θυτήριον
Ἀρτέμιδι. χέρνιβας δὲ καὶ κατάργματα
Οὐκ ἂν φθάνοις ἂν εὐτρεπῆ ποιουμένη;
ΙΦ. Ποδαποί; τίνος γῆς ὄνομ' ἔχουσιν οἱ ξένοι;
ΒΟ. Ἕλληνες, ἓν τοῦτ' οἶδα, κὀυ περαιτέρω.
ΙΦ. Οὐδ' ὄνομ' ἀκούσας οἶσθα τῶν ξένων φράσαι;
ΒΟ. Πυλάδης ἐκλῄζεθ' ἅτερος πρὸς θατέρου.
ΙΦ. Τοῦ ξυζύγου δὲ τοῦ ξένου τί τοὔνομ' ἦν;
ΒΟ. Οὐδεὶς τόδ' οἶδεν· οὐ γὰρ εἰσηκούσαμεν.
ΙΦ. Πῶς δ' εἴδετ' αὐτοὺς, καὶ τυχόντες εἵλετε;
ΒΟ. Ἄκραις ἐπὶ ῥηγμῖσιν ἀξένου πόρου.
ΙΦ Καὶ τίς θαλάσσης βουκόλοις κοινωνία;
ΒΟ. Βοῦς ἤλθομεν νίψοντες ἐναλίᾳ δρόσῳ.
ΙΦ. Ἐκεῖσε δὴ 'πάνελθε, πῶς νιν εἵλετε,
Τρόπῳ θ' ὁποίῳ; τοῦτο γὰρ μαθεῖν θέλω·
Χρόνιοι γὰρ ἥκουσ'· οὐδέπω βωμὸς θεᾶς
Ἑλληνικαῖσιν ἐξεφοινίχθη ῥοαῖς.
ΒΟ. Ἐπεὶ τὸν ἐσρέοντα διὰ Συμπληγάδων
Βοῦς ὑλοφορβοὺς πόντον εἰσεβάλλομεν,
Ἦν τις διαῤῥὼξ κυμάτων πολλῷ σάλῳ

---

ῳδ' ἄνοικτρον ἐν ἄλλοις. 230. Τί δ' ἔστι . . . λόγου] τί ἐστι τοῦτο, ὃ ἐκπλήσσει ἡμᾶς ἐκ τοῦ παρόντος λόγου, ἢ τί καινὸν μέρος τοῦ σοῦ λόγου οὕτως ἡμᾶς ἐκπλήσσει. 231. Κυανέαν Συμπληγάδα] ἀπὸ μέρους τὸ ὅλον· ἐννοεῖ δὲ

ΒΟ. Ἀγαμέμνονος καὶ Κλυταιμνήστρας θύγατερ, πρόσχες μοι τὸν νοῦν, οἷς ἥκω σοι ἐρῶν.

ΙΦ. Τί δ' ἔσθ', ὃ λέγων οὕτως, ἐξέπληξάς με;

ΒΟ. Δύο τινὲς νεανίαι φυγάδες, εἰσπλεύσαντες διὰ τῶν Συμπληγάδων, ἧκον δεῦρο, φίλον πρόσφαγμα, καὶ θῦμα ἐσόμενοι τῇ θεῷ· οὐκ ἂν οὖν φθάνοις οὐλοχύτας καὶ χέρνιβας εὐτρεπίζουσα;

ΙΦ. Ποδαποὶ δὲ τυγχάνουσιν οὗτοι, εἰ καὶ τοῦτ' οἶσθα;

ΒΟ. Ἕλληνές γε· ἓν τοῦτ' οἶδα μόνον, κοὐδὲν περαιτέρω.

ΙΦ. Ὄνομα δ' αὐτοῖς ποῖον δήποτ' οἶσθ' ἀκούσας;

ΒΟ. Πυλάδην ἅτερος τὸν ἕτερον ἐκάλει.

ΙΦ. Τὸν δ' ἕτερον οὐκ οἶσθα πῶς ἀκούει;

ΒΟ. Οὐδεὶς ἡμῶν τοῦτ' ἤκουσε παρ' ἐκείνοις.

ΙΦ. Ποῦ δὲ ἅμα ἰδόντες, συνελάβετε τούτους;

ΒΟ. Παρὰ τὰς ἀκτὰς πλησίον τῆς θαλάσσης.

ΙΦ. Τί δὲ κοινὸν βουκόλοις καὶ θαλάσσῃ;

ΒΟ. Τὰς βοῦς ἐξηλάσαμεν ὡς νίψοντες αὐτὰς ἐκεῖσε.

ΙΦ. Καλῶς· νῦν δ' ἐπάνελθε εἰς τὸ πρῶτον, ὅπως κρατήσαντες αὐτῶν, εἵλετε· διαφέρει γάρ μοι τοῦτο μαθεῖν. διὰ γὰρ χρόνου πολλοῦ τυγχάνουσιν ἥκοντες ἐκεῖθεν, καὶ ὁ τῆς θεᾶς βωμὸς οὐδέπω αἵματι Ἑλληνικῷ ἐξημάχθη.

ΒΟ. Ὡς γὰρ εἰσηλάσαμεν τὰς βοῦς εἰς τὸν πόντον τὸν διὰ τῶν συμπληγάδων εἰσρέοντα, ἰδών τις ἡμῶν πρὸς τῇ ἀκτῇ, ἔνθ' ἦν ἀπορρῶξ τις, ὑφ' ἣν ἐσεγάζοντο πορφυ-

---

τὸν Εὔξεινον πόντον· ἐν δ' ἄλλοις κεῖται εἰς γενικὴν Κυαννῶν Συμπληγάδων.

45a. Διαρρὼξ ἀγμὸς] (ἐν ἄλλοις δὲ, ἀγμὸς) ἐπιθετικῶς ταῦτα· τόπος σκληρὸς

Κοιλωπὸς ἀγμὸς, πορφυρευτικαὶ στέγαι·
Ἐνταῦθα δισσοὺς εἶδέ τις νεανίας
Βουφορβὸς ἡμῶν, κἀπεχώρησεν πάλιν,
Ἄκροισι δακτύλοισι πορθμεύων ἴχνος.
Ἔλεξε δ'· οὐχ ὁρᾶτε; δαίμονές τινες
Θάσσουσιν οἵδε· θεοσεβὴς δ' ἡμῶν τις ὢν,
Ἀνέσχε χεῖρα, καὶ προσεύξατ' εἰσιδών·
Ὦ ποντίας παῖ Λευκοθέας, νεῶν φύλαξ,
Δέσποτα Παλαῖμον, ἵλεως ἡμῖν γενοῦ,
Εἴτ' οὖν ἐπ' ἀκταῖς θάσσετον Διοσκόρω,
Ἢ Νηρέως ἀγάλμαθ', ὃς τὸν εὐγενῆ
Ἔτικτε πεντήκοντα Νηρήδων χορόν.
Ἄλλος δέ τις μάταιος, ἀνομίᾳ θρασὺς,
Ἐγέλασεν εὐχαῖς, ναυτίλους δ' ἐφθαρμένους
Θάσσειν φάραγγ' ἔφασκε τοῦ νόμου φόβῳ,
Κλύοντας, ὡς θύοιμεν ἐνθάδε ξένους.
Ἔδοξε δ' ἡμῶν εὖ λέγειν τοῖς πλείοσιν,
Θηρᾶν τε τῇ θεῷ σφάγια τἀπιχώρια.
Κἂν τῷδε πέτραν ἅτερος λιπὼν ξένοιν
Ἔστη, κάρα τε διετίναξ' ἄνω κάτω
Κἀπεστέναξεν, ὠλένας τρέμων ἄκρας,
Μανίαις ἀλαίνων, καὶ βοᾷ κυναγὸς ὥς·
Πυλάδη, δέδορκας τήνδε; τήνδε δ' οὐχ ὁρᾷς
Ἅιδου δράκαιναν, ὥς με βούλεται κτανεῖν,
Δειναῖς ἐχίδναις εἰς ἔμ' ἐστομωμένη;
Ἡ δ' ἐκ χιτώνων πῦρ πνέουσα καὶ φόνον
Πτεροῖς ἐρέσσει, μητέρ' ἀγκάλαις ἐμὴν
Ἔχουσα, πέτρινον ὄχθον ὡς ἐπεμβάλῃ.

ρεῖς, ἄνδρας δύο, καὶ καταπτύξας, ἀπεχώρησε πάλιν ἀκροβατῶν, οὐχ ὁρᾶθ ὑμεῖς, λέγων πρὸς ἡμᾶς, δαίμονές τινες ὧδ' εἰσίν· καίτις ἡμῶν ἀνὴρ θεοσεβὴς ἀνασχὼν τὰς χεῖρας, ἐπεθείασεν ἅμ' ἰδών. Δέσποτα Παλαῖμον, Λευκοθέας παῖ τῆς ποντιας, ὁ σωτὴρ τῶν πλωϊζομένων ἱλήκοις ἡμῖν, εἴθ' οἱ Διόσκουροι κατοικεῖτε ἐνθάδε, εἴτε καὶ Νηρέως ἀγάλματα τυγχάνετε ὄντες· ὃς τὸν τῶν πεντήκοντα Νηρηΐδων ἐγέννησεν ἀριθμόν· ἀλλὰ ταῦτ' ἐκείνου ἀνολολύξαντος, ἕτερός τις τῶν ἀσελγεστέρων καὶ θρασυτέρων ἐγέλασαν ἐπὶ ταῖς εὐχαῖς, ναύτας λέγων ἐκείνους εἶναι, ναυαγίᾳ, ὡς ἔοικε, χρησαμένους· φόβῳ δὲ τοῦ νόμου καταδύναι εἰς τήνδε τὴν διαῤῥῶγα, ἀκούσαντας ἡμᾶς θύειν τῇ θεῷ τοὺς τοιούτους· καὶ ταῦτα λέγων, ἔδοξε τοῖςγε πλείοσιν ἡμῶν οὐκ ἀπίθανα λέγειν· καὶ δὴ ἐπιχειρητέα ἡμῖν ἐδόκει θηρᾶν τὰ νομιζόμενα σφάγια τῇ θεῷ· Ἐν δὲ τούτῳ ἅτερος τῶν ξένων, ἐξελθὼν αἴφνης ἀπὸ τῆς πέτρας, καὶ στὰς διέσειε τὴν κεφαλὴν ἄνω κάτω, στενάζων τε καὶ τρέμων τὰς χεῖρας, καὶ πάνθ', οἷα οἱ μανίᾳ κάτοχοι ὄντες, ποιῶν· ἐβόα γὰρ μέγα, ὥσπερ κυνηγὸς, Πυλάδη, λέγων, ὁρᾷς τήνδε; τὴν ἑτέραν δ' ἐκείνην τὴν τοῦ ᾅδου δράκαιναν οὐχ ὁρᾷς, δειναῖς ἐχίδναις ἐπ' ἐμὲ ἐφωπλισμένην, καὶ βουλομένην με ἀνελεῖν; ἡ δ' αὖ τρίτη ἥδε, πῦρ καὶ φόνον ἐκ τῶν χιτώνων αὐτῶν πνέουσ' ὅλως, καὶ τὴν ἐμὴν μητέρα φέρουσα ἐν ἀγκάλαις, ἐρέσσει τοῖς πτεροῖς, ὡς ἐπιπέσημοι, τὴν ἀποῤῥῶγα ταύτην ἐπεισβαλοῦσα.

---

καὶ πετρώδης διεῤῥηγμένος. 260. Λευκοθέα] ἴδε Ἀπολλόδωρον βιβλ. Γ'. 4,

Οἴμοι! κτενεῖ με· ποῖ φύγω; παρῆν δ' ὁρᾶν
Οὐ ταὐτὰ μορφῆς σχήματ', ἀλλ' ἠλλάσσετο
Φθογγάς τε μόσχων καὶ κυνῶν ὑλάγματα,
Ἃ φάσ' Ἐριννῦς ἱέναι, μιμήματα.
Ἡμεῖς δὲ συσταλέντες, ὡς θανούμενοι,
Σιγῇ καθήμεθ'· ὁ δὲ χερὶ σπάσας ξίφος,
Μόσχους ὀρούσας ἐς μέσας, λέων ὅπως,
Παίει σιδήρῳ λαγόνας, ἐς πλευρὰς ἱεὶς,
Δοκῶν Ἐριννῦς θεὰς ἀμύνεσθαι τάδε,
Ὡς αἱματηρὸν πέλανον ἐξανθεῖν ἁλός.
Κἀν τῷδε πᾶς τις, ὡς ὁρᾷ βουφόρβια
Πίπτοντα καὶ πορθούμεν', ἐξωπλίζετο,
Κόχλους τε φυσῶν, συλλέγων τ' ἐγχωρίους·
Πρὸς εὐτραφεῖς γὰρ καὶ νεανίας ξένους
Φαύλους μάχεσθαι βουκόλους ἡγούμεθα·
Πολλοὶ δ' ἐπληρώθημεν ἐν μικρῷ χρόνῳ.
Πίπτει δὲ μανίας πίτυλον ὁ ξένος μεθεὶς,
Στάζων ἀφρῷ γένειον· ὡς δ' ἐσείδομεν
Προὔργου πεσόντα, πᾶς ἀνὴρ ἔσχεν πόνον,
Βάλλων, ἀράσσων· ἅτερος δὲ τοῖν ξένοιν
Ἀφρόν τ' ἀπέψα, σώματός τ' ἐτημέλει,
Πέπλων τε προὐκάλυπτεν εὐπήνους ὑφὰς,
Καραδοκῶν μὲν τἀπιόντα τραύματα,
Φίλον δὲ θεραπείαισιν ἄνδρ' εὐεργετῶν.

---

258. καὶ Ὠγυγία. Β, 40. 293. Κόλχους τι φυσῶν] ἐν γὰρ ἐκείνοις τοῖς καιροῖς μήπω εὑρημένης τῆς σάλπιγγος, κόλχῳ ἢ κοχλίᾳ θαλασσίῳ ἐσάλπιζον. Ἴδε Φοιν. στίχ. 1392. 299. Προὔργου πεσόντα] ὠφελίμως ἡμῖν πεσόντα.

οἴμοι, ἀπόλωλα ὅλως· ποῖ δὴ καταφύγω ὁ δύστηνος; Τοιαῦτα δὲ δρῶν καὶ λέγων, οὐ ταὐτὰ τῆς μορφῆς ἐδείκνυε σχήματα· ἀλλ' ἄλλοτ' ἄλλως ἀεὶ ἐνηλάσσετο, μόσχων φθογγὰς προϊέμενος, καὶ κυνῶν ἀπομιμούμενος ὑλακὰς· ἃς Ἐριννύων εἶναί φασιν ἐμπνεύσεις· ὑμεῖς δὲ πρὸς θάνατον ἀποδειλιάσαντες, ἐκαθήμεθα σιγῇ· ὁ δὲ, σπασάμενος τὸ ξίφος ἵησιν ὁμόσε ἐπὶ τὰς βοῦς, ὥσπερ λέων, κἀν μέσαις γενόμενος, ἔκαινε, παίων τὰς προστυχούσας, πλευρὰς καὶ λαγόνας, ὅπη τύχοι, διαρραχίζων καὶ πλευροκοπῶν, Ἐριννύας δοκῶν ταῦτα δρᾷν· ὡς δὲ ὁ τῆς θαλάσσης ἀφρὸς ἐφοινίχθη τῷ καταρρέοντι αἵματι, καὶ τὸ βουκόλιον διεφθείρετο σφαζόμενον καὶ πορθούμενον, οὐκέθ' ἡμῖν ἀνασχετὸν ἦν, ἀλλὰ πᾶς τις ἔρρωται ἀπαμύνεσθαι· καὶ κόχλοις χρησάμενοι σάλπιγξιν, ἐγχωρίους πανταχόθεν καὶ ἄλλους μετεκαλούμεθα· πρὸς γὰρ νεανίας σφριγῶντας τοῖς σώμασι, φαῦλοι ὄντες βουκόλοι, οὐκ ἀξιόχρεῳ εἶναι ἡγούμεθα διαμάχεσθαι· Ἡμεῖς μὲν οὖν ἐν βραχεῖ χρόνῳ πολλοὶ ἐγενόμεθα· ὁ δὲ ξένος, μεθείσης αὐτὸν τῆς μανίας, πίπτει, ἀβληχρὸς ὅλως καὶ αὖος γεγενημένος, μεστὸς ἀφροῦ τὸ γένειον ὤν· καὶ τοῦθ' ἡμεῖς καιρὸν ἡμέτερον ποιησάμενοι, εὐθὺς εἰχόμεθα ἔργου, πονοῦντες, ἀράσσοντες, λίθοις βάλλοντες πανταχόθεν. Ὁδ' ἕτερος αὐτῶν, τόντ' ἀφρὸν ἀπομάττων, καὶ τοῦ σώματος τοῦ ἀσθενοῦντος ποιούμενος πρόνοιαν, περιεκάλυπτε πέπλοις αὐτὸν στεγανοῖς, τάς τε τῶν λίθων καραδοκῶν προσβολὰς, καὶ τὸν κείμενον περιποιῶν σὺν σπουδῇ· ἐν δὲ τούτῳ ἀνασφήλας

Ἔμφρων δ' ἀνᾴξας ὁ ξένος πεσήματος,
Ἔγνω κλύδωνα πολεμίων προσκείμενον,
Καὶ τὴν παροῦσαν συμφορὰν αὐτοῖν πέλας,
Ὤμωξέ θ'. ἡμεῖς δ' οὐκ ἀνίεμεν, πέτρους
Βάλλοντες, ἄλλος ἄλλοθεν προσκείμενοι·
Οὗ δὴ τὸ δεινὸν παρακέλευσμ' ἠκούσαμεν·
Πυλάδη, θανούμεθ'· ἀλλ' ὅπως θανούμεθα
Κάλλισθ'. ἕπου μοι, φάσγανον σπάσας χερί.
Ὡς δ' εἴδομεν δίπαλτα πολεμίων ξίφη,
Φυγῇ λεπαίας ἐξεπίμπλαμεν νάπας·
Ἀλλ' εἰ φύγοι τις, ἅτεροι προσκείμενοι
Ἔβαλλον αὐτούς· εἰ δὲ τούσδ' ὠσαίατο,
Αὖθις τὸ νῦν ὑπεῖκον ἤρασσον πέτροις.
Ἀλλ' ἦν ἄπιστον· μυρίων γὰρ ἐκ χερῶν
Οὐδεὶς τὰ τῆς θεοῦ θύματ' εὐτύχει βαλών.
Μόλις δέ νιν τόλμῃ μὲν οὐ χειρούμεθα,
Κύκλῳ δὲ περιβάλλοντες ἐξεκλέψαμεν
Πέτροισι χειρῶν φάσγαν', ἐς δὲ γῆν γόνυ
Καμάτῳ καθεῖσαν· πρὸς δ' ἄνακτα τῆσδε γῆς
Κομίζομέν νιν· ὁ δ' ἐσιδὼν, ὅσον τάχος
Ἐς χέρνιβάς τε καὶ σφαγεῖ' ἔπεμπέ σοι.
Εὔχου δὲ τοιάδ', ὦ νεᾶνι, σοὶ ξένων
Σφάγια παρεῖναι· κἂν ἀναλίσκῃς ξένους
Τοιούσδε, τὸν σὸν Ἑλλὰς ἀποτίσει φόνον,
Δίκας τίουσα τῆς ἐν Αὐλίδι σφαγῆς.

---

305. Ἀνᾴξας] ἐν ἄλλοις δ' ἀναΐξας· ἀντὶ τοῦ ἀναΐξας ἀπὸ τοῦ ἀΐσσω.
319. Βαλὼν] ἐν ἄλλοις κεῖται λαβών. 321. Ἐξεκλέψαμεν . . . φάσγανα] πῶς ἂν γένοιτο τοῦτ' οὐκ οἶδ' ἄλλως, ἢ ὅτι τῷ πλήθει τῶν λίθων ἐνδόντες, ἀφῆ-

κἀκεῖνος, καὶ γενόμενος ἑαυτοῦ, συνῆκεν, οὗ κινδύνου αὐτοῖς, ὑπὸ πολεμίων περιεστοιχισμένοις, τὰ πράγματα ἔστηκε· τὸν δὲ ὄλεθρον παρόντα ὁρῶν, ἀνωλόλυξεν· ἡμεῖς δὲ οὐκ ἀνεῖμεν, ἄλλος ἄλοθεν ἐπιθέμενοι, λίθους βάλλοντες ἐπ' αὐτούς· ὁπότε καὶ τὸ δεινὸν ἐκεῖνο ἠκούσαμεν αὐτοῦ παρακέλευσμα. Πυλάδη, ἔφη, ἐπ' ἀκμῆς ξυροῦ ἡμῖν τὰ πράγματα κεῖται· ἀλλ' ὅπως δράσαντες πρότερόν τι, ἀποθανούμεθα κάλλιστα· Ἐκ δὴ τούτων παρακελευσάμενος τὸν ἕτερον, τὸ ξίφος σπασάμενον, ἕπεσθαι, χωρεῖ ῥαγδαῖος ὡς μάλιστα ἐφ' ἡμᾶς· ἡμεῖς δ' ὡς εἴδομεν ξίφη δίστομα πρὸς τὰς τοῦ ἡλίου ἀκτῖνας ἀστράπτοντα, ὑπερβαλόντες τὸ νάπος, ᾠχόμεθα φεύγοντες· ἀλλ' οὐδ' ὥς αὐτοῖς εὖ προὐχώρει· ἕτεροι γὰρ ὄπισθεν ἐπιθέμενοι, ἔβαλον· εἰ δὲ κἀκείνους ἀποκρούσαιντο συστραφέντες, προσέκειντο αὖθις οἱ ἀρτίως ὑπείξαντες· ἀλλὰ καὶ οὕτως οὐδὲν ἦν ἡμῖν κατορθοῦν· καίτοι γὰρ μυρίων ἡμῶν προσκειμένων, οὐδεὶς ἐτύγχανεν αὐτῶν λίθοις· καὶ τέλος τόλμῃ μὲν οὐκ ἦν ἡμῖν ἐκείνων κρατῆσαι· τὰ δὲ ξίφη τῶν χειρῶν αὐτῶν τοῖς λίθοις ἡμῶν παρελόντων, οὐκέτ' ἀντεῖχον, ἀλλ' ἔκλιναν εἰς τὴν γῆν τὸ γόνυ, καμόντες· καὶ νῦν ἅμ' ἰδὼν αὐτοὺς Θόας ὁ βασιλεὺς, ἐκέλευσεν ἀπαγαγεῖν αὐτοὺς δεῦρο εἰς χέρνιβας καὶ σφαγεῖα. Σὺ οὖν, ὦ νεᾶνι, εὔχου φοράν σοι τοιούτων θυμάτων πολλὴν ἐκ τῆς Ἑλλάδος γενέσθαι· ὅσῳ γὰρ ἂν πλείους τοιούτους καλλιερήσῃς, τοσούτῳ ἡ Ἑλλὰς τὸν σὸν ἀποτίσει φόνον, δίκας τῆς ἐν Αὐλίδι σφαγῆς σοι διδοῦσα.

καν κάτω τὰ ξίφη. 325. Καὶ σφαγεῖα] ἐν ἄλλοις σφάγια· ἔστι δὲ τὰ ἀγγεῖα

ΧΟ. Θαυμάστ' ἔλεξας τὸν φανένθ', ὅστις ποτὲ
Ἕλληνος ἐκ γῆς πόντον ἦλθεν ἄξενον·
ΙΦ. Εἶεν. σὺ μὲν κόμιζε τοὺς ξένους μολών·
Τἀδ' ἐνθάδ' ἡμεῖς οἷα φροντιούμεθα.
Ὦ καρδία τάλαινα, πρὶν μὲν ἐς ξένους
Γαληνὸς ἦσθα καὶ φιλοικτίρμων ἀεὶ,
Ἐς θοὐμόφυλον ἀναμετρουμένη δάκρυ',
Ἕλληνας ἄνδρας ἡνίκ' ἐς χέρας λάβοις.
Νῦν δ' ἐξ ὀνείρων, οἷσιν ἠγριώμεθα,
Δοκοῦσ' Ὀρέστην μηκέθ' ἥλιον βλέπειν,
Δύσνουν με λήψεσθ', οἵτινές ποθ' ἥκετε.
Καὶ τοῦτ' ἄρ' ἦν ἀληθές· ᾐσθόμην, φίλαι·
Οἱ δυςυχεῖς γὰρ τοῖσιν εὐτυχεστέροις,
Αὐτοὶ κακῶς πράξαντες, οὐ φρονοῦσιν εὖ.
Ἀλλ' οὔτε πνεῦμα Διόθεν ἦλθε πώποτε,
Οὐ πορθμὶς, ἥτις διὰ πέτρας Συμπληγάδας
Ἑλένην ἂν ἤγαγ' ἐνθάδ', ἥ μ' ἀπώλεσεν,
Μενέλεών θ', ἵν' αὐτοὺς ἀντετιμωρησάμην,
Τὴν ἐνθάδ' Αὖλιν ἀντιθεῖσα τῆς ἐκεῖ,
Οὗ μ', ὥστε μόσχον Δαναΐδαι χειρούμενοι
Ἔσφαζον, ἱερεὺς δ' ἦν ὁ γεννήσας πατήρ.
Οἴμοι! κακῶν γὰρ τῶν τότ' οὐκ ἀμνημονῶ,
Ὅσας γενείου χεῖρας ἐξηκόντισα,
Γονάτων τε τοῦ τεκόντος ἐξαρτωμένη,
Λέγουσα τοιάδ'· Ὦ πάτερ, νυμφεύομαι

---

τὰ τὸ αἷμα τῶν σφαζομένων ὑποδεχόμενα. 339. Δοκοῦσα] ἀποδοτέα ἡ εὐ

**ΧΟ.** Θαυμαςὰ ταῦτα φὴς, εἵτινες Ἕλληνες ὄντες, εἰς τὸν Εὔξεινον ᾧδε πόντον εἰσπλεῦσαι ἐτόλμησαν.

**ΙΦ.** Εἶεν· σὺ δ' οὖν ἐλθὼν ἄγε τοὺς ξένους δεῦρο· τῶν δ' ἄλλων, ἃ δεῖ ἕτοιμα εἶναι, ἐμοὶ μελήσει. Ἀλλ' ὦ τάλαινα καρδία, οἵα ἐξ οἵας γέγονας ἄρτι· ἐν γὰρ τῷ πρόσθεν χρόνῳ ἐπιεικὴς καὶ οἰκτίρμων ἐδόκεις περὶ τοὺς ξένους εἶναι, πολλάκις ἐπαναλαμβάνουσα πρὸς τοὺς ὁμοφύλους τὰ δάκρυα· νῦν γ' ἐπειδὴ οἱ ὄνειροι ἀφεῖλόν με τὴν ἐλπίδα τοῦ μηκέτι ζῆν Ὀρέστην τὸν ἐμὸν ἀδελφὸν, οὐκέθ' ὁμοίως εὑρήσουσιν ἑαυτοῖς εὐνοοῦσάν με, εἵτινες ποτ' ἂν εἶεν πλεύσαντες ὧδε· καὶ τοῦτ', ὦ φίλαι, ἐςὶν ἀληθές· συνέβη γάρ μοι ἀχθεσθῆναι ἐπὶ τοῖς γεγενημένοις· εἴγε φύσει ἐνυπάρχει πρὸς τοὺς δυςυχοῦντας τοῖς εὐτυχεστέροις ἀπέχθεια· ἀλλ' οὔτε πνεῦμ' ἐκ Διὸς ἑώρακα πνεῦσαν, οὔτε ναῦν πω διὰ τῶν Συμπληγάδων, Ἑλένην τε καὶ Μενέλαον τοὺς ἐχθίςους ἄγουσαν δεῦρο, ἵνα δίκην ἔλαβον παρ' αὐτῶν, ἄλλην Αὐλίδα τὸν ναὸν τοῦτον αὐτοῖς ἀντικαταςήσασα τῆς ἐν Βοιωτίᾳ ἐκείνης, ἐν ᾗ ἐσφαζόμην ὡς μόσχος· σφαγεὺς δ' ἦν ὁ γεννήσας πατήρ· οἴμοι! οὐ γὰρ ἂν δυναίμην τῶν τότ' εἰς ἐμὲ κακῶν λήθην ἔχειν· ποσάκις γὰρ τὰς χεῖρας ἐκτείνασα, τοῦ τε γενείου καὶ τῶν γονάτων τοῦ πατρὸς ἐλαβόμην, Ὦ πάτερ, λέγουσα, αἶ-

---

θεῖα εἰς τὸ, ἠγριώμεθα καινοπρεπῶς πως, τὸ ἑνικὸν πρὸς τὸ πληθυντικὴν φωνὴν ἔχον 349 Οἵ μ' ὥστε) ἔγραψα οἵ μ' ὥστε· ἢ μᾶλλον, οὗ μ' ὥστε 352. Ἐξηκόντισα] ἐξέτεινα· ἡ δὲ συνθήκη, ὅσας (ἀντὶ τοῦ ὁσάκις) χεῖρας ἐξη-

Νυμφεύματ' αἰσχρὰ πρὸς σέθεν· μήτηρ δ' ἐμὴ,
Σέθεν κατακτείνοντος, Ἀργεῖαί τε νιν
Ὑμνοῦσιν ὑμεναίοισιν, αὐλεῖται δὲ πᾶν
Μέλαθρον· ἡμεῖς δ' ὀλλύμεσθα πρὸς σέθεν.
Ἅδης Ἀχιλλεὺς ἦν ἄρ', οὐχ ὁ Πηλέως,
Ὅν μοι προσεῖπας πόσιν· ἐν ἁρμάτων δ' ὄχοις
Ἐς αἱματηρὸν γάμον ἐπόρθμευσας δόλῳ.
Ἐγὼ δὲ λεπτῶν ὄμμα διὰ καλυμμάτων
Ἔχουσ', ἀδελφὸν τοῦτον εἱλόμην χεροῖν,
Ὃς νῦν ὄλωλεν, οὐ κασιγνήτῃ στόμα
Συνῆψ' ὑπ' αἰδοῦς, ὡς ἰοῦσ' ἐς Πηλέως
Μέλαθρα· πολλὰ δ' ἀπεθέμην ἀσπάσματα
Ἐσαῦθις, ὡς ἥξουσ' ἐς Ἄργος αὖ πάλιν.
Ὦ τλῆμον, εἰ τέθνηκας. ἐξ οἵων καλῶν
Ἔρρεις, Ὀρέστα, καὶ πατρὸς ζηλωμάτων.
Τὰ τῆς θεοῦ δὲ μέμφομαι σοφίσματα,
Ἥτις, βροτῶν μὲν ἤν τις ἅψηται φόνου,
Ἢ καὶ λοχείας, ἢ νεκροῦ θίγῃ χεροῖν,
Βωμῶν ἀπείργει, μυσαρὸν ὡς ἡγουμένη,
Αὐτὴ δὲ θυσίαις ἥδεται βροτοκτόνοις.
Οὐκ ἔσθ', ὅπως ἔτεκεν ἂν ἡ Διὸς δάμαρ
Λητὼ τοσαύτην ἀμαθίαν· ἐγὼ μὲν νῦν

---

κόντισα, γενείου τε καὶ γονάτων τοῦ τεκόντος ἐξαρτωμένη. 369 Καὶ πατρὸς ζηλωμάτων] πότερον, κατὰ μίμησιν τοῦ πάθους τοῦ πατρὸς φονευθέντος, ἢ κατὰ μίμησιν τῆς κακίας αὐτοῦ, σφαγεὶς καὶ αὐτὸς ὑπό τινος, ὡς ἐγὼ ὑπ' ἐκείνου; Τὸ δεύτερον οἶμαι· ἡ γὰρ Ἰφιγένεια οὔπω ᾔδει τὸν πατέρα ἀποθανόντα· εἰ δὲ γράψαιμεν ἀνωτέρω ἀντὶ τοῦ, ἐξ οἵων κακῶν, ἐξ οἵων καλῶν (ὡς

ϛχροῦ γάμου παρὰ σοῦ ἀξιοῦμαι· ἣν ἥτε μήτηρ ἐν Ἄργει, καὶ αἱ πολιτιδες νῦν, σοῦ με ὧδε φονεύοντος, ὑμνοῦσιν ἐν ὑμεναίοις· ἔνθ' ὁ οἶκος ἡμῶν μουσικοῖς διηχεῖται ὀργάνοις· ἐγὼ δὲ κινδυνεύω ἐνταῦθα πρὸς σοῦ τοῦ πατρὸς ἀναξίως· οὐκ ἄρ' Ἀχιλλεὺς ὁ Πηλέως, ὅν μοι τυγχάνεις προηγορευκὼς, ἀλλ ἅδης αὐτὸς ἦν μοι νυμφίος ὅλως· καί με δόλῳ παραγαγὼν, πρὸς σφαγὴν διεπόρθμευσας δεῦρο. Ἐγὼ δὲ τηνικαῦτα, λεπτῷ κρηδέμνῳ κεκαλυμμένη τὸ πρόσωπον, ἀνελόμην ἐν ἀγκάλαις ἀδελφὸν τουτονὶ, οὗ νῦν δάκρυα καταϛάζω, ὡς ἀπολωλότος, οὐδὲ φίλημα ἀδελφικὸν δοῦσ' αὐτῷ τόθ' ὑπ' αἰδοῦς, νύμφη Ἀχιλλέως ἔσεσθαι μέλλουσα· τὰ δ' ἀσπάσματα ἀπεθέμην ἐσαῦθις, ἡνίχ' ἥξοιμι Φθίηθέν ποθ' ὕϛερον εἰς Ἄργος πάλιν, ὡς ὑπελάμβανον· Ἀλλ' ὦ τλῆμον Ὀρέϛα, εἴγε τέθνηκας, ἐκ τίνων ἄρ' ἀπόλωλας κατὰ μίμησιν τοῦ πατρός· μέμφομαι δὲ καὶ τὴν προσποίησιν τῆς θεοῦ, ἥτις τοὺς μὲν ἀνθρώπους, εἴτις ἅψαιτο φόνου, ἢ λοχείας αναπλησθείη, ἢ νεκροῦ τῇ χειρὶ θιγὼν τύχοι, ἄγος τοῦτ' ἄντικρυς ἡγουμένη, ἀπείργει βωμοῦ ἐκεῖνον· αὐτὴ δὲ οὐ παύεται ἀνθρωπίναις ἐντρυφῶσα θισίαις· οὐκ ἂν εἴποιμι ἔγωγε τοιαύτην σκαιὰν καὶ ἀπειρόκαλον θυγατέρα τεκεῖν τὴν Λητὼ

---

κεῖται ἐν ἄλλοις) προκύπτει ὁ νοῦς ἐκεῖνος· οἷα καλὰ καὶ δόξας πατρῴας ἀπώλεσας, Ὀρέϛα, ἀποθανών· οἵων ἀπεϛερήθης· δυνατὸν δ' οὖν προφητεύειν καὶ ἀγνοοῦσαν αὐτὴν περὶ τῆς παρούσης θυσίας τοῦ Ὀρέστου σύνηθες γὰρ τῷ ποιητῇ ὑπαινίττεσθαι πάνυ ἀμυδρῶς τὰ τοιαῦτα. 376. Τοσαύτην ἀμαθίαν

Τὰ Ταντάλου θεοῖσιν ἑστιάματα
Ἄπιστα κρίνω, παιδὸς ἡσθῆναι βορᾷ·
Τοὺς δ' ἐνθάδ', αὐτοὺς ὄντας ἀνθρωποκτόνους,
Ἐς τὸν θεὸν τὸ φαῦλον ἀναφέρειν δοκῶ·
Οὐδένα γὰρ οἶμαι δαιμόνων εἶναι κακόν.

ΧΟ. Κυάνεαι, κυάνεαι (Στρ. ά.)
Σύνοδοι θαλάσσας,
Ἂν οἶστρος ὁ ποτώμενος Ἀργόθεν
Εὔξεινον ἐπ' οἶδμα διεπέρασέν ποτ',
Ἀσιήτιδα γαῖαν
Εὐρώπας διαμείψας,
Τίνες ποτ' ἄρα τὸν εὔυδρον
Καὶ δονακόχλοα λιπόντες Εὐρώταν,
Ἢ Ῥεύματα σεμνὰ Δίρκας,
Ἔβασαν, ἔβασαν ἄμικτον
Αἶαν, ἔνθα κούρα
Διατέγγεις βωμοὺς καὶ περὶ κίονας
Ναῶν αἷμα βρότειον;
Ἢ ῥοθίοις εἰλατίνοις (Ἀντ. ά.)
Δικρότοισι κώπαις
Ἔπλευσαν ἐπὶ πόντια κύματα
Νάϊον ὄχημα λινοπόροις αὔραις,
φιλόπλουτον ἅμιλλαν

σκληρὰν καὶ βάρβαρον, αἱμοβόρον, ἀπειρόκαλον κόρην. 377. Ἑστιάματα] Τάνταλος βασιλεὺς Φρυγίας, τιμώμενος παρὰ τῶν θεῶν, συνειστιᾶτο αὐτοῖς· καλέσας δὲ καὶ αὐτὸς ἐκείνους ἑστιᾶσαι. ἔσφαξε Πέλοπα τὸν ἑαυτοῦ παῖδα πρὸς ἀπόπειραν αὐτῶν, εἰ αἴσθοιντο τὸ ἀτόπημα τοῦτο· τῶν δὲ οἱ μὲν ἄλλοι αἴσ-

Διὸς σύνευνον γενομένην· οὐδὲ γὰρ ἅπερὶ Ταντάλου λέγεται ἔγωγε ἂν πιςεύσαιμι, ὡς εἱςίασε ταῖς τοῦ παιδὸς σαρξὶ τοὺς θεούς· πῶς γὰρ ἂν εἴη τοῦτ' ἐκείνοις ἡδύ; ἀλλ' οἱ ἐνταῦθα κατοικοῦντες, ὠμοί, οἶμαι, καὶ ἀνθρωποκτόνοι ὄντες, εἰς τὸ θεῖον τὴν ἑαυτῶν φαυλότητα ἀναφέρουσι· θεοὺς γὰρ ὄντας ἐκείνους πῶς ἂν εἴη κακοὺς γενέσθαι;

ΧΟ. Κυάνεαι, κυάνεαι συμπληγάδες θαλάσσης, ἣν Ἰὼ Ἀργόθεν ἐξοιςρουμένη, διέπλευσε δρομὰς ἐπὶ τὴν Ἀσίαν, τὴν Εὐρώπην λιποῦσα, τίνες ἄρά ποθ' οὗτοι τὸν εὔυδρον καὶ δονακοφόρον Εὐρώταν, ἢ τὴν καλίῤῥουν καταλιπόντες Δίρκην, εἰς τὴν ἄμικτον, καὶ ἄξενον ταύτην διέβησαν γῆν· ἔνθ' ἡ παρθένος ἥδε ἀνθρωπίνῳ αἵματι τέτακται τοὺς βωμοὺς τῶν ναῶν καὶ τοὺς κίονας περιῤῥαίνειν.

Μῶν δικρότοις κώπαις χρησάμενοι εἰρεσίᾳ, ἔπλευσάν τινες εἰς τὸν πόντον, αὔραις οὐρίαις τὰ ἱςία κολ-

θέμενοι, ἀπέσχοντο τοῦ βρώματος· μόνη δὲ Δήμητρα, πρόσπεινος οὖσα, κατέφαγε τὸν ὦμον· ἐντεῦθεν ἄρα ἐκεῖνον μὲν κατεδίκασαν εἰς τὸν ᾅδην, τοῦ δὲ παιδὸς τὰ μέλη συναρμόσας ὁ Ἑρμῆς εὐφυῶς. προσθεὶς δὲ καὶ ἀντὶ τοῦ καταβρωθέντος ὤμου ἕτερον ἐλεφάντινον, ἀνέστησε. 384. Οἶςρος] Ἰὼ ἡ Ἰνάχου οἰςρηλατουμένη παρὰ τῆς Ἥρας διὰ ζηλοτυπίαν τῶν τοῦ Διος ἐρώτων, καὶ μεταμορφουμένη εἰς βοῦν, διεπέρασε τὸ ςενὸν τῆς θαλάσσης, ὃ ἀπ' ἐκείνης ἐπωνόμαςαι Βόσπορος. Οἶςρον οὖν ἐνταῦθα τὴν Ἰὼ λέγει, ἀπὸ τοῦ πάθους σημαίνων τὴν πάσχουσαν. 389. Εὐρώτας μὲν ὁ παραῤῥέων τῇ Σπάρτῃ ποταμός· Δόρκη δὲ ὁ τὰς Θήβας παραμειβόμενος. 391. Ἄμικτον αἶαν] τὸν Εὔξεινον πόντον. 397. Ἔπλευσαν] ἐκίνησαν τὴν ναῦν ἐπὶ τὰ κύματα αὔραις κινούσαις

Αὔξοντες μελάθροισιν;
Φίλα γὰρ ἐλπὶς ἐγένετ' ἐπὶ
Πήμασι βροτῶν ἄπληστον ἀνθρώποις,
Ὄλβου βάρος οἳ φέρονται
Πλάνητες ἐπ' οἶδμα, πόλεις τε
Βαρβάρους περῶντες,
Κενόδοξοι· γνώμα δ' οἷς μὲν ἄκαιρος ὄλ-
βου, τοῖς δ' εἰς μέσον ἥκει.
Πῶς τὰς συνδρομάδας πέτρας, (Στρ. β'.)
Πῶς Φινεΐδας
Ἀΰπνους ἀκτὰς ἐπέρα-
σαν, παράλιον αἰγιαλὸν
Ἐπ' Ἀμφιτρίτας ῥοθίῳ δραμόντες;
Ὅπου πεντήκοντα κορᾶν
Τῶν Νηρήδων χοροὶ
Μέλπουσιν ἐγκυκλίοις,
Καὶ πλησιστίοισι πνοαῖς,
Συριζόντων κατὰ πρύ-
Μναν εὐναίων πηδαλίων
Αὔραις ἐν νοτίαις, ἢ
Πνοιαῖσι Ζεφύρου, τὰν
Πολυόρνιθον ἐπ' αἶαν,
Λευκὰν ἀκτὰν, Ἀχιλῆ-

---

τὰ ἱςία τὰ ἐκ λίνου ὑφασμένα, ἐπιθυμοῦντας αὐξῆσαι τὸν πλοῦτον· 406. Κενόδοξοι] ἐν ἄλλοις κεῖται, κενόδοξαι· ἀποφθεγματικὰ δὲ καὶ ἠθικὰ ταῦτα· ὡς εἰ ἔλεγεν· ὦ τῆς τῶν ἀνθρώπων περὶ τὸν πλοῦτον κενοσπουδίας· ὧν οἱ μὲν ἀκαίρως καὶ ἀνωφελῶς κοπιῶσιν· οἱ δὲ μετρίως ὠφελοῦνται· οἱ μὲν γὰρ κό-

πώσαντες, τὸν ἑαυτῶν οἶκον ὀλβιώτερον καταςῆσαι φιλοτιμούμενοι· ἡ γὰρ περὶ ταῦτα ἐλπὶς καὶ φιλοτιμία, καίπερ φέρουσα κακὰ, ἀλλ᾽ οὖν οὐκ ἔχει κόρον ἀνθρώποις, ὅσοι γε πλωϊζόμενοι, θηρῶνται πλοῦτον, ἐκ πόλεως πόλιν ἐν πλάνῃ πολλῇ παραμείβοντες βάρβαρον· κενοσπουδία ταῦτα θνητοῖς· ἡ γὰρ ἐπιθυμία τοῦ πλούτου, οἷς μὲν ὑπερβάλλει, προσέβλαψεν· οἷς δὲ μετρίως ἔχει, καὶ ὠφέλησε.

Πῶς δὲ διέπλευσαν ἐκεῖνοι τὰς Συμπληγάδας, καὶ τὰς τοῦ Φινέως φρουρουμένας ἀκτὰς, εἰρεσίᾳ παραμείψαντες τὸν αἰγιαλὸν τῆς θαλάσσης ἐκείνης; ἔνθα αἱ τοῦ Νηρέως πεντήκοντα θυγατέρες χορεύουσαι, μέλπουσιν, ἐν πνοαῖς διηνεκέσι καὶ πλησιςίοις τῶν πηδαλίων κατὰ τὴν πρύμνην ἐν αὔραις τοῦ νότου, ἢ πνεύμασι τοῦ ζεφύρου κάτωθεν συριζόντων, κατὰ τὴν λευ-

πτονται ταῖς φροντίσιν· οἷς δὲ μέση καὶ μετρία ἐστιν ἡ τούτου ἐπιθυμία, ὁ βίος ἐστὶν ἀπερίσπαςος. 409. Φινεΐδας ἀΰπνους ἀκτὰς] ἃς ὁ Φινεὺς ἀΰπνῳ φυλάττει ὄμματι, ἵνα μήτις διελθὼν ἐκεῖθεν ἐκφύγῃ· ἦν δ᾽ ὁ Φινεὺς Ἀγήνορος ἢ Ποσειδῶνος παῖς, βασιλεὺς δὲ τῆς Σαλμυδησσοῦ παραθαλασσίου πόλεως τῆς Θράκης· ἦν δὲ καὶ Μάντις ἔμπειρος, πλὴν τυφλός. 405. Ἐγκυκλίοις] διηνεκέσι δι᾽ ὅλου τοῦ κύκλου τοῦ ἔτους· ἐν ἄλλοις δὲ κεῖται, ἐγκύκλιοι πρὸς τὸν Χορόν. 422. Λευκὰν ἀκτὰν Ἀχιλλέως] ἔνθ᾽ Ἀχιλλεὺς μετὰ θάνατον διαιτᾶται, ὑπὸ τῶν πεντήκοντα νυμφῶν τῶν Νηρηΐδων μελπόμενος· λέγει δὲ περὶ ταύτης Ἀῤῥιανὸς ἐν τῷ πρώτῳ οὕτω· Κατὰ τοῦτο μάλιστα τὸ ςόμα (τοῦ Οἴςρου πρόσκειται νῆσος, ἥν τινα οἱ μὲν, Ἀχιλλέως νῆσον, οἱ δὲ δρόμον Ἀχιλλέως οἱ δὲ λευκὴν ἀπὸ τῆς χροιᾶς ὀνομάζουσι· καὶ μετα μικρόν· Ὄρνιθες δὲ πο[λλ]αί) αὐλίζονται ἐν τῇ νήσῳ· Ἴδε δὲ περὶ ταύτης καὶ ἐν Ἀνδρομάχῃ ςίχ. 1264·

Ὅς τε δρόμους καλλισταδίους,
Εὔξεινον κατὰ πόντον·
Εἴθ' εὐχαῖσι δεσποσύνας (Ἀντ. β'.)
Λήδας Ἑλένα
Φίλα παῖς ἐλθοῦσα τύχοι,
Τὰν Τρῳάδα λιποῦσα πόλιν,
Ἵν' ἀμφὶ χαίταν δρόσον αἱματηρὰν
Ἑλιχθεῖσα λαιμοτόμῳ
Δεσποίνας χερὶ θάνῃ,
Ποινὰς δοῦσ' ἀντιπάλους!
Ἥδιστ' ἂν τήνδ' ἀγγελίαν
Δεξαίμεσθ', Ἑλλάδος ἐκ
Γᾶς πλωτήρων εἴ τις ἔβα,
Δουλείας ἐμέθεν δει-
Λαίας παυσίπονος· καὶ
Γὰρ ὀνείρασι συμβαίην,
Οἴκοις πόλει τε πατρῴ-
Ἀ τερπνῶν ὕμνων ἀπολαύ-
Ειν, κοινὰν χάριν ὄλβῳ!

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΙΦΙΓΕΝΕΙΑ, ΧΟΡΟΣ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ.

ΙΦ. Ἀλλ' οἵδε χέρας δεσμοῖς διδύμοις
Συνερεισθέντες χωροῦσι, νέον
Πρόσφαγμα θεᾶς. σιγᾶτε, φίλαι·
Τὰ γὰρ Ἑλλήνων ἀκροθίνια δὴ
Ναοῖσι πέλας τάδε βαίνει.
Οὐδ' ἀγγελίας ψευδεῖς ἔλακεν
Βουφορβὸς ἀνήρ·

κὴν νῆσον τῶν καλλιςαδίων δρόμων τοῦ Ἀχιλλέως ἐν τῷ Εὐξείνῳ πόντῳ.

Εἴθ', ὥσπερ ηὔξαθ' ἡ Δέσποινα, Ἑλένη ἡ φίλη Λήδας θυγάτηρ ἔλθοι δεῦρο ἐκ Τροίας, ἵνα χειρὶ τῆς Δεσποίνης σφαγεῖσα, ἀξίαν ἀντιμετρήσῃ δίκην. Ὡς δ' ἥδιστ' ἂν ἴδοιμι ἐξ Ἑλλάδος ἥκοντά τινα παύσοντά με τῶν τῆς δουλείας πόνων· καὶ γένοιτό μοι καὶ καθ' ὕπνους γ' εἰς πόλιν πατρῴαν ἀφικομένην, τερπνῶν τῶν ἐκεῖ ἀπολαύειν ὕμνων· ὃ χάριν μεγάλην ἔχει εὐδαιμονοῦσι.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΙΦΙΓΕΝΕΙΑ, ΧΟΡΟΣ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ.

ΙΦ. Ἀλλ' οἵδε συμπεριαχθέντες τὰς χεῖρας, ἄγονται δεῦρο, πρόσφαγμα ἐσόμενοι τῇ θεῷ· σιγᾶτ', ὦ φίλαι· τὰ γὰρ τῶν Ἑλλήνων ἀκροθίνια ἐγγὺς τυγχάνουσιν ἥκοντες· ἀληθῆ ἄρ' ἤγγειλεν ἡμῖν ὁ βουκόλος.

425. Εὐχαῖς] ἃς ἐποιήσατο Ἰφιγένεια ἀνωτέρω στίχ. 354. 438. Ὀνείρασι συμβαίην] ὀνείρατα μὲν οὐ τὰ τῆς Ἰφιγενείας ἐν τῷ προλόγῳ εἰρημένα ἐννοεῖ· ταῦτα γὰρ ὁ Χορὸς ἀγνοεῖ· ἀλλ' ἁπλῶς δοκεῖ ἔν γε ὕπνοις ἰδεῖν τὴν πατρίδα· τῷ δὲ Συμβαίην καινοπρεπέστερον προσωπικῶς ἐχρήσατο· ἀντὶ τοῦ καὶ καθ' ὕπνον συμβαίημι ἀπολαύειν καὶ τλ. 441. Κοινὴν χάριν ὄλβῳ] ἅπερ πολ-

ΧΟ. Ὦ πότνι', εἴ σοι τάδ' ἀρεσκόντως
Πόλις ἥδε τελεῖ, δέξαι θυσίας,
Ἃς ὁ παρ' ἡμῖν νόμος οὐχ ὁσίας
Ἕλλησι διδοὺς ἀναφαίνει.

ΙΦ. (Εἶεν·) τὰ τῆς θεοῦ μὲν πρῶτον ὡς καλῶς ἔχῃ,
Φροντιστέον μοι· μέθετε τῶν ξένων χέρας,
Ὡς, ὄντες ἱεροὶ, μηκέτ' ὦσι δέσμιοι·
Ναοῦ δ' ἔσω στείχοντες, εὐτρεπίζετε,
Ἃ χρὴ 'πὶ τοῖς παροῦσι καὶ νομίζεται·
(Φεῦ!) τίς ἆρα μήτηρ ἡ τεκοῦσ' ὑμᾶς ποτε
Πατήρ τ', ἀδελφή τ', εἰ γεγῶσα τυγχάνει;
Οἵων στερεῖσα διπτύχων νεανιῶν
Ἀνάδελφος ἔσται! τὰς τύχας τίς οἶδ', ὅτῳ
Τοιαίδ' ἔσονται; πάντα γὰρ τὰ τῶν θεῶν
Ἐς ἀφανὲς ἕρπει, κοὐδὲν οἶδ' οὐδεὶς κακόν.
Ἡ γὰρ τύχη παρήγαγ' ἐς τὸ δυσμαθές·
Πόθεν ποθ' ἥκετ', ὦ ταλαίπωροι ξένοι;
Ὡς διὰ μακροῦ μὲν τήνδ' ἐπλεύσατε χθόνα,
Μακρὸν δ' ἀπ' οἴκων χρόνον ἔσεσθ' ἀεὶ κάτω·

ΟΡ. Τί ταῦτ' ὀδύρῃ, κἀπὶ τοῖς μέλλουσι νῷν
Κακοῖσι λυπεῖς, ἥτις εἶ ποτ', ὦ γύναι;
Οὔ τοι νομίζω σοφὸν, ὃς ἂν μέλλων θανεῖν
Οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ.
Οὐθ', ὅστις Ἅδην ἐγγὺς ὄντ' οἰκτίζεται,
Σωτηρίας ἄνελπις. ὡς δύ' ἐξ ἑνὸς
Κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει

---

λὴν χάριν ἔχει κεινῇ τοῖς γ' εὐδαιμονοῦσι. 461. Ἀνάδελφος ἔσαι] τὴν ἐκεί-

ΧΟ. Ὦ πότνια θεὰ, εἰ ἀρέσκει σοι ταῦτα παρὰ τῆς πόλεως προσφερόμενα, δέξαι τὰ θύματα ταῦτα, ἃ παρ' ἡμῖν τοῖς Ἕλλησιν οὐχ ὅσια κρίνεται.

ΙΦ. Εἶεν· ἐπιμελητέον δέ μοι πρῶτον, ὅπως τὰ τῆς θεοῦ καλῶς ἕξει· χαλᾶτε δὴ ὑμεῖς τὰς χεῖρας τοῖς ξένοις· ἱεροὺς γὰρ αὐτοὺς ἤδη ὄντας, οὐ θέμις δεσμίους εἶναι· εἰσελθόντες δε εἰς τὸν ναὸν, εὐτρεπίσατε, ἃ νόμος γίγνεσθαι ἐπὶ τοῖς παροῦσι. Φεῦ, τίς μὲν μήτηρ, τίς δὲ πατὴρ ὁ γεννήσας ὑμᾶς ἐστι; τίς δὲ καὶ ἀδελφὴ, εἴ τις ὑμῖν ὑπάρχοι, ἀδελφῶν στερηθεῖσα, ἔρημος καταλέλειπται; τίς γὰρ οἶδ' ὅτῳ πόθ' οὕτω τὰ τῆς τύχης μεταπεσοῦνται, τῶν παρὰ τῶν θεῶν ἀδήλως ἑρπόντων πάντων, καὶ μηδὲν ἡμῶν προορώντων κακὸν, τῆς τύχης τὰ πάνθ' ὡς ἐν μυχῷ καλυπτούσης; Ἀλλὰ πόθεν πόθ' ἥκεθ' ὑμεῖς, ὦ ταλαίπωροι ξένοι; διὰ μακροῦ μὲν γὰρ δεῦρο τυγχάνετε πεπλευκότες· τὸν δ' ἅπαντα αἰῶνα ἔσεσθε ἐν τοῖς κάτω.

ΟΡ. Τί ποτε ταῦτ' ὀδύρῃ σύγε, ἥτις ποτ' εἶ, ὦ γύναι; καὶ τί δήποθ', ὧν μέλλεις ποιήσειν ἡμᾶς, τούτων πρὸς ἡμᾶς ἀναμιμνησκομένη, λυπεῖς; οὐ γὰρ ἀνδρὸς εὖ φρονοῦντος, μέλλοντ' ἀποθανεῖσθαι, οἴκτῳ ἐθέλειν τὸν τοῦ θανάτου ἐκκρούσασθαι φόβον· μηδὲ παρόντα θρηνεῖν τὸν Ἅδην, ἀπογνόνθ' ὅλως τὴν ἑαυτοῦ σωτηρίαν, ἵνα μὴ δύο ἀνθ' ἑνὸς ἑαυτῷ περιάψῃ κακά· πρὸς γὰρ τῷ μωρίαν ὀφλισκάνειν, καὶ τὸ πάθος αὐτὸ οὐκ ἂν ἀποφύγοι· ἐατέον

---

νων ἀδελφὴν οἰκτείρουσα ἡ Ἰφιγένεια ἑκοῦσα, ἑαυτὴν θρηνεῖ ἀγνοοῦσα.

Θνήσκει θ' ὁμοίως· τὴν τύχην δ' ἐᾶν χρεών.
Ἡμᾶς δὲ μὴ θρήνει σύ· τὰς γὰρ ἐνθάδε
Θυσίας ἐπιστάμεσθα καὶ γιγνώσκομεν·
ΙΦ. Πότερος ἄρ' ὑμῶν ἐνθάδ' ὠνομασμένος
Πυλάδης κέκληται; τόδε μαθεῖν πρῶτον θέλω.
ΟΡ. Ὅδ', εἴ τι δή σοι τοῦτ' ἐν ἡδονῇ μαθεῖν·
ΙΦ. Ποίας πολίτης πατρίδος Ἕλληνος γεγώς;
ΟΡ. Τί δ' ἂν μαθοῦσα τόδε πλέον λάβοις, γύναι;
ΙΦ. Πότερον ἀδελφὼ μητρὸς ἐστὸν ἐκ μιᾶς;
ΟΡ. Φιλότητί γ', ἐσμὲν δ' οὐ κασιγνήτω, γύναι·
ΙΦ. Σοὶ δ' ὄνομα ποῖον ἔθεθ' ὁ γεννήσας πατήρ;
ΟΡ. Τὸ μὲν δίκαιον δυστυχεῖς καλοίμεθ' ἄν.
ΙΦ. Οὐ τοῦτ' ἐρωτῶ· τοῦτο μὲν δὸς τῇ τύχῃ.
ΟΡ. Ἀνώνυμοι θανόντες οὐ γελῴμεθ' ἄν.
ΙΦ. Τί δὲ φθονεῖς τοῦτ', ἢ φρονεῖς οὕτω μέγα;
ΟΡ. Τὸ σῶμα θύσεις τοὐμὸν, οὐχὶ τοὔνομα.
ΙΦ. Οὐδ' ἂν πόλιν φράσειας, ἥτις ἐστί σοι;
ΟΡ. Ζητεῖς γὰρ οὐδὲν κέρδος, ὡς θανουμένῳ.
ΙΦ. Χάριν δὲ δοῦναι τήνδε κωλύει τί σε;
ΟΡ. Τὸ κλεινὸν Ἄργος πατρίδ' ἐμὴν ἐπεύχομαι.
ΙΦ. Πρὸς θεῶν, ἀληθῶς, ὦ ξέν', εἶ κεῖθεν γεγώς;
ΟΡ. Ἐκ τῶν Μυκηνῶν, αἵ ποτ' ἦσαν ὄλβιαι.
ΙΦ. Φυγὰς δ' ἀπῆρας πατρίδος, ἢ ποίᾳ τύχῃ;
ΟΡ. Φεύγω τρόπον γε δή τιν' οὐχ ἑκὼν ἑκών.
ΙΦ. Ἆρ' ἂν τ[illegible] φράσειας, ὧν ἐγὼ θέλω;
ΟΡ. Ὡς ἐν πα[illegible]ῆς ἐμῆς δυσπραξίας.
ΙΦ. Καὶ μὴν ποθεινός γ' ἦλθες ἐξ Ἄργους μολών.

οὖν τὰ παρὰ τῆς τύχης τῇ τύχῃ· σὺ δὲ μὴ θρήνει οὕτω. ἴσμεν γὰρ νόμον τόνδε, ὅπως ἐνθάδε ἔχει τὰ περὶ τὰς θυσίας.

ΙΦ. Πότερος οὖν ὑμῶν καλεῖται Πυλάδης; βουλοίμην γὰρ ἂν τοῦτο πρῶτον εἰδέναι.

ΟΡ. Ὅδε δὴ, εἴ σοι τοῦθ' ἡδομένῃ ἐστὶ μαθεῖν.

ΙΦ. Ποίας δὲ πόλεως πολίτης τυγχάνει γεγενημένος;

ΟΡ. Οὐχ ὁρῶ τί ποτέ σοι διαφέρει εἰδέναι ταῦτα.

ΙΦ. Ὁμομήτριοι δὲ τυγχάνετε γεγονότες;

ΟΡ. Οὔμενουν· φιλίᾳ δὲ ἐσμὲν συμπεφυκότες.

ΙΦ. Σὺ δ' αὐτὸς λέγε πῶς ποτ' ἀκούεις;

ΟΡ. Ὃ δ' ἀληθὲς εἰπεῖν, δυστυχεῖς ἂν ἄμφω καλοίμεθα.

ΙΦ. Ἐκ τοῦτο, τῆς τύχης αὐτὸ ἔξωθεν παρασχούσης.

ΟΡ. Ἄμεινον ἡμῖν ἀνωνύμως ἀποθανεῖν· ἧττον γὰρ ἐπεγγελῷεν ἄν τις ἡμῖν, ἀγνοῶν, οἵτινες εἴημεν.

ΙΦ. Πρὸς τί δέ μοι τούτου φείδῃ, ἢ φρονεῖς μέγα;

ΟΡ. Οὐ γὰρ τοὔνομα, τὸ δὲ σῶμά μου θύσεις.

ΙΦ. Ἀλλ' οὐδέ γε τὴν πόλιν, ἐξ ἧς εἶ, ἐθελήσεις εἰπεῖν μοι;

ΟΡ. Οὐδ' ἐντεῦθεν ὄφελος ὂν ὁρῶ τι, ἐπειδὴ ἀποθανοῦμαι.

ΙΦ. Χάριν δὲ τήνδε μοι δοῦναι τί τὸ κωλύον;

ΟΡ. Οὐδέν· πατρίς μοι τοίνυν τὸ κλεινόν ἐστιν Ἄργος.

ΙΦ. Πρὸς θεῶν, ὦ ξένε, ἀληθῆ ταῦτα λέγεις;

ΟΡ. Μυκῆναι γὰρ αἵ ποτε εὐδαίμονες οὖσαι.

ΙΦ. Φυγὰς ἐκεῖθεν, ἢ ἄλλῃ ἀπῆρας τύχῃ;

ΟΡ. Φυγάς γ' ἑκὼν ἀέκων ὅτῳ δὴ τρόπῳ.

ΙΦ. Ἀλλ' ἆρ' ἐρεῖς μοι ὅ,τι ἂν πύθωμαί σου;

ΟΡ. Τί δ' οὐχὶ, μεταξὺ δυστυχῶν ἐν παρέργῳ;

ΙΦ. Ἀσμένοις τοίνυν ἡμῖν Ἀργόθεν πάρει.



ΔΗΜΟΚΡΑ... ΖΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

ΟΡ. Οὔκουν ἐμαυτῷ γ', εἰ δὲ σοὶ, σὺ τοῦθ' ὅρα·
ΙΦ. Τροίαν ἴσως οἶσθ', ἧς ἁπανταχοῦ λόγος.
ΟΡ. Ὡς μήποτ' ὤφελόν γε, μηδ' ἰδὼν ὄναρ!
ΙΦ. Φασίν νιν οὐκέτ' οὖσαν οἴχεσθαι δορί.
ΟΡ. Ἔστιν γὰρ οὕτως, οὐδ' ἄκραντ' ἠκούσατε.
ΙΦ. Ἑλένη δ' ἀφῖκται δῶμα Μενέλεω πάλιν;
ΟΡ. Ἥκει, κακῶς γ' ἐλθοῦσα τῶν ἐμῶν τινι.
ΙΦ. Καὶ ποῦ 'στι; κἀμοὶ γάρ τι προὐφείλει κακόν.
ΟΡ. Σπάρτῃ ξυνοικεῖ τῷ πάρος ξυνευνέτῃ.
ΙΦ. Ὦ μῖσος εἰς Ἕλληνας, οὐκ ἐμοὶ μόνῃ.
ΟΡ. Ἀπέλαυσα κἀγὼ δή τι τῶν κείνης γάμων.
ΙΦ. Νόστος δ' Ἀχαιῶν ἐγένεθ', ὡς κηρύσσεται;
ΟΡ. Ὥς πάνθ', ἅπαξ με συλλαβοῦσ', ἀνιστορεῖς!
ΙΦ. Πρὶν γὰρ θανεῖν σε, τοῦδ' ἐπαυρέσθαι θέλω.
ΟΡ. Ἔλεγχ', ἐπειδὴ τοῦδ' ἐρᾷς· λέξω δ' ἐγώ.
ΙΦ. Κάλχας τις ἦλθε μάντις ἐκ Τροίας πάλιν;
ΟΡ. Ὄλωλεν, ὡς ἦν ἐν Μυκηναίοις λόγος.
ΙΦ. Ὦ πότνι', ὡς εὖ! τί γὰρ ὁ Λαέρτου γόνος;
ΟΡ. Οὔπω νενόστηκ' οἶκον, ἔστι δ', ὡς λόγος.
ΙΦ. Ὄλοιτο, νόστου μή ποτ' ἐς πάτραν τυχών!
ΟΡ. Μηδὲν κατεύχου· πάντα τἀκείνου νοσεῖ.
ΙΦ. Θέτιδος δ' ὁ τῆς Νηρῇδος ἔςι παῖς ἔτι;
ΟΡ. Οὐκ ἔστιν· ἄλλως λέκτρ' ἔγημεν Αὐλίδι.
ΙΦ. Δόλια γὰρ, ὥς γε φασὶν οἱ πεπονθότες·
ΟΡ. Τίς εἶ ποθ'; ὡς εὖ πυνθάνῃ τἀφ' Ἑλλάδος!

---

502. Σὺ τοῦδ' ὅρα] ἐν ἄλλοις κεῖται, σὺ τοῦθ' ὅρα. 508. Τῶν ἐμῶν τινα] ἑαυτὸν αἰνίττεται, ἐξηγεῖται δὲ μικρὸν κατωτέρω σαφέςερον, εἰπών. » Ἀπέλαυσα κἀγὼ δή τι τῶν ἐκείνης γάμων. 519. Ὦ πότνια] πρὸς τὴν Ἄρτεμιν τοῦτο· τὸ δὲ, Ὡς ἦν, ἐν ἄλλοις, Ὡς ἔς', κεῖται οὐ πάνυ καλῶς 525. δ.

ΟΡ. Εἰ σοίγε, τοῦτ' αὐτὴ αὔχει, ἐμαυτῷ δ' οὔ.
ΙΦ. Τροίαν δ', ἧς λόγος πολὺς πανταχοῦ, οἶσθα;
ΟΡ. Ὡς μήποτ' ὤφειλον οὐδὲ κατ' ὄναρ τοῦτ' εἰδέναι.
ΙΦ. Ἤκουςαι δ' ἡμῖν ἄρδην ἀνατραπῆναι.
ΟΡ. Ἀληθῆ λέγεταί γε, ὡς μηκέθ' ὑπαρχούσης ἐκείνης.
ΙΦ. Ἡ δὲ Ἑλένη ἐπανῆλθεν εἰς Σπάρτην;
ΟΡ. Ἥκεν· ἀλλ' ἐπ' ὀλέθρῳ τινὶ τῶν ἐμῶν.
ΙΦ. Ποῦ δὲ νῦν ἐςι; κἀμοὶ γὰρ ὀφείλει δίκην.
ΟΡ. Ἐν Σπάρτῃ ἤδη μετὰ τοῦ Μενελάου.
ΙΦ. Ὦ πᾶσι τοῖς Ἕλλησι μισουμένη, οὐκ ἐμοὶ μόνῃ.
ΟΡ. Κἀγὼ δ' οὐ μικρὸν τῶν ἐκείνης παραπήλαυσ' ἐρώτων.
ΙΦ. Οἱ δ' Ἕλληνες, ὡς λόγος, ἀπενόςησαν ἐκεῖθεν;
ΟΡ. Ὡς πολλὰ διαπυνθάνῃ μου, ἅπαξ με συλλαβοῦσα.
ΙΦ. Βουλοίμην γὰρ τοῦτό σου πρὶν θανεῖν ἀπολαῦσαι.
ΟΡ. Οὐκοῦν ἐρώτα ὅ,τι δήποτ' ἂν βούλῃ.
ΙΦ. Κάλχας πρῶτον ὁ μάντις ἐπανῆλθεν ἐκεῖθεν;
ΟΡ. Κατέστρεψεν, ὡς λέγεται ἐν Μυκήναις.
ΙΦ. Ὦ πότνια! ὡς ὑπέρευ. τί δ' ὁ Λαερτίου υἱός;
ΟΡ. Ζῆν μὲν λέγεται, οὔπω δὲ ἔστιν οἴκοι.
ΙΦ. Μηδὲ γένοιτό ποτε αὐτῷ ἀπονοστῆσαι.
ΟΡ. Μὴ κατεύχου, ὡς πάντα δυςυχοῦντος ἐκείνου.
ΙΦ. Ὁ δὲ τῆς Θέτιδος περίεστιν οὗτος;
ΟΡ Μὰ Δί', οὐδ' ὤνατο τῶν ἐν Αὐλίδι γάμων.
ΙΦ. Δόλιοι γὰρ ἐκεῖνοι, ὥς φασιν οἱ πεπονθότες.
ΟΡ. Τίς δὲ, πόθεν εἶ αὐτή; ἔοικας γὰρ τἀκεῖ ἐπιςαμένῳ.

---

πεπονθότες] ἐγὼ δηλονότι ἡ ταῦτα πεπονθυῖα· ἐντέχνως δὲ καὶ κατ' ὀλίγον ἐντεῦθεν χωρεῖ πρὸς τὴν ἀναγνώρισιν· ὅπερ ἐςὶν ἡ μεγίςη χάρις τοῦ δράματος.

ΙΦ. Ἐκεῖθέν εἰμι, παῖς ἔτ' οὖσ' ἀπωλόμην.
ΟΡ. Ὀρθῶς ποθεῖς ἄρ' εἰδέναι τἀκεῖ, γύναι.
ΙΦ. Τί δ' ὁ στρατηγὸς, ὃν λέγουσ' εὐδαιμονεῖν;
ΟΡ. Τίς; οὐ γὰρ, ὅν γ' ἐγᾦδα, τῶν εὐδαιμόνων.
ΙΦ. Ἀτρέως ἐλέγετο δή τις Ἀγαμέμνων ἄναξ.
ΟΡ. Οὐκ οἶδ', ἄπελθε τοῦ λόγου τούτου, γύναι.
ΙΦ. Μὴ πρὸς θεῶν, ἀλλ' εἴφ', ἵν' εὐφρανθῶ, ξένε.
ΟΡ. Τέθνηχ' ὁ τλήμων, πρὸς δ' ἀπώλεσέν τινα.
ΙΦ. Τέθνηκε; ποίᾳ συμφορᾷ; τάλαιν' ἐγώ!
ΟΡ. Τί δ' ἐστέναξας τοῦτο; μῶν προσῆκέ σοι;
ΙΦ. Τὸν ὄλβον αὐτοῦ τὸν πάροιθ' ἀναστένω.
ΟΡ. Δεινῶς γὰρ ἐκ γυναικὸς οἴχεται σφαγείς.
ΙΦ. Ὦ πανδάκρυτος ἡ κτανοῦσα χὠ θανών!
ΟΡ. Παῦσαί νυν ἤδη, μηδ' ἐρωτήσῃς πέρα.
ΙΦ. Τοσόνδε γ', εἰ ζῇ τοῦ ταλαιπώρου δάμαρ;
ΟΡ. Οὐκ ἔστι· παῖς νιν, ὃν ἔτεχ', οὗτος ὤλεσεν.
ΙΦ. Ὦ συνταραχθεὶς οἶκος! ὡς τί δὴ θέλων;
ΟΡ. Πατρὸς θανόντος τήνδε τιμωρούμενος.
ΙΦ. (Φεῦ) ὡς εὖ κακὸν δίκαιον εἰσεπράξατο.
ΟΡ. Ἀλλ' οὐ τὰ πρὸς θεῶν εὐτυχεῖ, δίκαιος ὤν.
ΙΦ. Λείπει δ' ἐν οἴκοις ἄλλον Ἀγαμέμνων γόνον;
ΟΡ. Λέλοιπεν Ἠλέκτραν γε παρθένον μίαν.
ΙΦ. Τί δὲ, σφαγείσης θυγατρός ἐστί τις λόγος;
ΟΡ. Οὐδείς γε, πλὴν θανοῦσαν, οὐχ ὁρᾷν φάος.
ΙΦ. Τάλαιν' ἐκείνη χὠ κτανὼν αὐτὴν πατήρ.
ΟΡ. Κακῆς γυναικὸς χάριν ἄχαριν ἀπώλετο.

---

545 ὡς εὖ κακὸν δίκαιον] ὡς εὐπρεπῶς ἐτίσατο ἐκείνην, κακὸν μὲν ὡς μὴ

ΙΦ. Ἑλληνίς γάρ· παῖς δ' ἔτι οὖσα, ἀπωλόμην.
ΟΡ. Οὐκ ἀπεικότω, ἄρα τἀκεῖ μαθεῖν ἐθέλεις.
ΙΦ. Τί δ' ὁ ςρατηγὸς, ὁ εὐδαίμων παρὰ πᾶσι;
ΟΡ. Τὸν τίνα φῂς τοῦτον; οὐ γὰρ τοιοῦτος, ὃν ἐγᾦδα.
ΙΦ. Ἀγαμέμνονά φημι δὴ τὸν τοῦ Ἀτρέως παῖδα.
ΟΡ. Οὐκ οἶδα· βαῖνε δὲ τούτων μὴ περαιτέρω.
ΙΦ. Πρὸς θεῶν, ὦ ξένε· εὐφρανεῖς γάρ με λέγων.
ΟΡ. Ἀπόλωλεν ὁ τλήμων, καὶ ἄλλον συναπολέσας.
ΙΦ. Τί φής; τάλαιν ἐγώ· τίνι δὲ συμφορᾷ;
ΟΡ. Τί δὲ στενάζεις; μῶν προσήκει σοι οὗτος;
ΙΦ. Τῆς πρὶν αὐτοῦ εὐδαιμονίας μνησθεῖσα.
ΟΡ. Ὑπὸ τῆς γυναικὸς οἰκτρῶς ἀπεσφάγη.
ΙΦ. Ὦ πανδάκρυτοι ἄμφω ὅ,τε παθὼν, καὶ ἡ δράσασα τοῦτο!
ΟΡ. Λῆγε δὲ ἤδη με τὰ τοιαῦτ ἐρωτῶσα.
ΙΦ. Τοσόνδ' ἔτ', εἰπὲ εἰ ζῇ ἡ γυνὴ τοῦ δυςήνου.
ΟΡ. Οὐκέτι, ὑπὸ τοῦ παιδὸς αὐτῆς ἀπολεσθεῖσα.
ΙΦ. Ὦ τῆς δυςυχίας ὅπως τοῦτ' ἐτόλμησεν ἐκεῖνος;
ΟΡ. Τῷ τοῦ πατρὸς ἐπεξιὼν φόνῳ
ΙΦ. Δίκαιον κακὸν εὐπροσώπως δοκεῖ εἰσπράξαι.
ΟΡ. Δίκαια δ' οὖν πράξας, κακῶς θεόθεν πράττει.
ΙΦ. Ἔςι δ' ἕτερον τέκνον Ἀγαμέμνονος ἐν Ἄργει;
ΟΡ. Ἠλέκτρα, μία τῶν θυγατέρων ἔτι... .
ΙΦ. Τῆς δὲ σφαγείσης οὐδεὶς ἐν Ἄργει λόγος;
ΟΡ. Τίς δ' ἄλλος, ἢ ὅτι τυγχάνει τεθνηκυῖα;
ΙΦ. Δύςηνος ἐκείνη, καὶ ὁ πατὴρ ὁ τολμήσας τὸν φόνον.
ΟΡ. Γυναικὸς κακῆς χάριν ἀπώλετ' ἀνοσίως.

---

τροκτονήσας; δίκαιον δὲ πράξας τὴν ἀνδροφόνον. 553. Κακῆς γυναικός.] διὰ χάριν ἄχαριν κακῆς γυναικὸς τῆς Ἑλένης ἀπώλετο· ἤτε Ἰφιγένεια, καὶ ὁ Αγα-

ΙΦ. Ὁ τοῦ θανόντος δ' ἔστι παῖς Ἄργει πατρός;
ΟΡ. Ἔστ', ἄθλιός γε, κοὐδαμοῦ καὶ πανταχοῦ.
ΙΦ. Ψευδεῖς ὄνειροι, χαίρετ'· οὐδὲν ἦτ' ἄρα.
ΟΡ. Οὔθ' οἱ σοφοί γε δαίμονες κεκλημένοι
Πτηνῶν ὀνείρων εἰσὶν ἀψευδέστεροι.
Πολὺς ταραγμὸς ἔν τε τοῖς θεοῖς ἔνι
Κἀν τοῖς βροτείοις· ἓν δὲ λείπεται μόνον,
Ὅτ' οὐκ ἄφρων ὢν, μάντεων πεισθεὶς λόγοις,
Ὄλωλεν, ὡς ὄλωλε τοῖσιν εἰδόσιν.
ΧΟ. Φεῦ, φεῦ· τί δ' ἡμεῖς οἵ τ' ἐμοὶ γεννήτορες;
Ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί; τίς φράσειεν ἄν;
ΙΦ. Ἀκούσατ'· ἐς γὰρ δή τιν' ἥκομεν λόγον,
Ὑμῖν τ' ὄνησιν, ὦ ξένοι, σπεύδονθ' ἅμα
Κἀμοί. τὸ δ' εὖ μάλιστά γ' οὕτω γίγνεται,
Εἰ πᾶσι ταὐτὸν πρᾶγμ' ἀρεσκόντως ἔχει.
Θέλοις ἂν, εἰ σώσαιμί σ', ἀγγεῖλαί τί μοι,
Πρὸς Ἄργος ἐλθὼν, τοῖς ἐμοῖς ἐκεῖ φίλοις,
Δέλτον τ' ἐνεγκεῖν, ἥν τις οἰκτείρας ἐμὲ
Ἔγραψεν αἰχμάλωτος, οὐχὶ τὴν ἐμὴν
Φονέα νομίζων χεῖρα, τοῦ νόμου δ' ὕπο
Θνήσκειν γε, τῆς θεοῦ τάδε δίκαι' ἡγουμένης;
Οὐδένα γὰρ εἶχον, ὅστις, ἀγγεῖλαι μολὼν
Ἐς Ἄργος αὖθις, τὰς ἐμὰς ἐπιστολὰς

μέμνων 554. Κοὐδαμοῦ καὶ πανταχοῦ πλανᾶσθαι, καὶ οὐδαμοῦ ἡσυχίαν ἄγειν. 556. Σοφοὶ δαίμονες] οἷος ὁ μάντις Ἀπόλ. 561. Ὡς ὄλωλε τοῖς εἰδόσιν] ἡ συνθήκη τούτου ἔχοι ἂν οὕτω μάλιστα· Ἓν δὲ λείπεται μόνον (ἴσ. γρ. ἓν δὲ λυπεῖ καὶ μόνον) ὅτι οὐκ ἄφρων ὢν (Ὀρέστης) ὄλωλεν ὡς ὄλωλεν, μάντεων πεισθεὶς

ΙΦ. Ὁ δὲ παῖς αὐτοῦ ἐςὶν ἤδη ἐν Ἄργει;

ΟΡ. Ἔςι δυςυχῶν οὐδαμοῦ, καὶ πανταχοῦ.

ΙΦ. Οὐκοῦν οἱ ψευδεῖς χαιρέτωσαν ὄνειροι, οὐδὲν ὄντες.

ΟΡ. Οὐθ' οἱ σοφοὶ προσαγορευόμενοι δαίμονες ἀψευδέςεροι τούτων εἰσί· καὶ πολλὴ ταραχὴ ἔν τε τοῖς θείοις καὶ ἀνθρωπίνοις ὑπάρχει πράγμασιν· ἓν δ' ἐκεῖνο μόνον λείπεται λέγειν, ὅτι συνετός, καὶ φρόνιμος ὢν ἐκεῖνος, μάντεσιν πεισθεὶς, ἀπωλέσθη, ὃν τρόπον ἴσασιν οἱ εἰδότες.

ΧΟ. Φεῦ, φεῦ· ἡμεῖς δὲ τί, καὶ οἱ ἐμοὶ γεννήτορες; τίς ἂν εἴποι ἡμῖν εἰ ζῶσιν ἐκεῖνοι;

ΙΦ. Ὦ ξένοι συντείνατέ μοι πρὸς ὀλίγον τὸ οὖς· μεταξὺ γὰρ σπουδάζουσα περὶ τῶν παρόντων, ἐνενόησά τι ὀνήσιμον ἐμοί τε καὶ ἀμφοτέροις, ἢν τοῦτο δόξῃ καὶ ἡμῖν καλὸν εἶναι· ἐγὼ γὰρ βούλομαι σῶσαί σε τῶν παρόντων κινδύνων, εἰ ἐθελήσεις ἀπᾶραι εἰς Ἄργος, ἐπιστολήν τινα τοῖς ἐμοῖς ἐκεῖ φίλοις κομίσων· ἥν αἰχμάλωτός τις, οἴκτῳ τῷ ἐμῷ σχεθεὶς, ἔγραψέ μοι (καί τοι γὰρ ὑπ' ἐμοῦ ἤμελλε τεθνήξεσθαι· ἀλλ' εἰδὼς, ὅτι νόμου ὄντος, καὶ τῆς θεοῦ δίκαια ταῦθ' ἡγουμένης, πράττεται οὕτως, οὐκ ἐμίσει με) ἀλλ' οὐκ εἶχον, ὅντινα πέμψω εἰς Ἄργος, τοῖς ἐκεῖ φίλοις ἐπιθήσοντα ταύτην· σὺ

---

λόγοις· ὅ ἐστιν αὐτῷ τῷ Ἀπόλλωνι, ὃν καὶ δαίμονα σοφὸν καὶ ψευδόμενον εἴρηκε. Ταῦτα δὲ οὐχ ἡ Ἰφιγένεια, ἀλλ' ὁ Ὀρέστης λέγει, ὡς ἐν ἄλλοις κεῖται 566. Τὸ δὲ] ἐν ἄλλοις εἰς ἓν κῶλον συγκέκλησται ταῦτα ᾠδὶ, Κἀμοὶ τόδε κ.τ.λ. τὸ δὲ, σπεύδονθ', οὕτως ἐτόλμησα διορθῶσαι, ἀντὶ τοῦ, σπεύδουσ', ἢ σπουδαῖς. 574. Ἀγγεῖλαι] παρέλκειν τοῦτο δοκεῖ ἐν τῷ λόγῳ· εἰ δὲ γράψαιμεν αὖ Ἀγγείλαι εἰς εὐκτικον, ἀνάγκη προσθεῖναι τὸ Τε γράφοντες ᾧδε· ἀγγεῖλαι μολὼν, ἐς Ἄργος τ'. . .

Πέμψειε σωθεὶς τῶν ἐμῶν φίλων τινί.
Σὺ δ' (εἶ γὰρ, ὡς ἔοικας, οὔτε δυσγενὴς,
Καὶ τὰς Μυκήνας οἶσθα, χοὓς κἀγὼ θέλω)
Σώθητι, καὶ σὺ μισθὸν οὐκ αἰσχρὸν λαϐὼν
Κούφων ἕκατι γραμμάτων, σωτηρίαν.
Οὗτος δ', ἐπείπερ πόλις ἀναγκάζει τάδε,
Θεᾷ γενέσθω θῦμα, χωρισθεὶς σέθεν·

ΟΡ. Καλῶς ἔλεξας τἄλλα, πλὴν ἓν, ὦ ξένη·
Τὸ γὰρ σφαγῆναι τόνδ', ἐμοὶ βάρος μέγα.
Ὁ ναυστολῶν γάρ εἰμ' ἐγὼ τὰς ξυμφοράς·
Οὗτος δὲ συμπλεῖ τῶν ἐμῶν μόχθων χάριν.
Οὔκουν δίκαιον ἐπ' ὀλέθρῳ τῷ τοῦδ' ἐμὲ
Χάριν τίθεσθαι, καὐτὸν ἐκδῦναι κακῶν.
Ἀλλ ὣς γενέσθαι, τῷδε μὲν δέλτον δίδου·
(Πέμψει γὰρ Ἄργος, ὥστε σοι καλῶς ἔχειν)
Ἡμᾶς δ' ὁ χρήζων κτεινέτω. τὰ τῶν φίλων
Αἴσχιστον, ὅςτις, καταϐαλὼν ἐς ξυμφορὰς,
Αὐτὸς σέσωσται. τυγχάνει δ' ὅδ' ὢν φίλος,
Ὃν οὐδὲν ἧσσον, ἢ μὲ, φῶς ὁρᾶν θέλω·

ΙΦ. Ὦ λῆμ' ἄριστον, ὡς ἀπ' εὐγενοῦς τινος
Ῥίζης πέφυκας, τοῖς φίλοις τ' ὀρθῶς φίλος!
Τοιοῦτος εἴη τῶν ἐμῶν ὁμοσπόρων,
Ὅςπερ λέλειπται! καὶ γὰρ οὐδ' ἐγὼ, ξένοι,
Ἀνάδελφός εἰμι, πλὴν ὅσ' οὐχ ὁρῶσά νιν·
Ἐπεὶ δὲ βούλει ταῦτα, τόνδε πέμψομεν
Δέλτον φέροντα, σὺ δὲ θανῇ. πολλὴ δέ τις
Προθυμία σε τοῦδ' ἔχουσα τυγχάνει·

ΟΡ. Θύσει δὲ τίς με καὶ τὰ δεινὰ τλήσεται;

ΙΦ. Ἐγώ. θεᾶς γαρ τῆςδε προστροπὴν ἔχω·

τοίνυν. (ὁρῶ γάρ σε καί ἄλλως οὐ τῶν πολλῶν ἕνα ὄντα, τάς τε Μυκήνας εἰδότα, καὶ πρὸς οὓς ἐγὼ ἐπιστέλλω) λαϐὼν οὐκ ἀντίῤῥοπον μισθὸν γραμμάτων κούφων τὴν σωτηρίαν, ἄνυτε εἰς Ἄργος, τὴν ἐμὴν ἐπιστολὴν τοῖς ἐμοῖς φίλοις δώσων· οὗτος δὲ μόνος τεθύσεται τῇ θεῷ, τῆς πόλεως οὕτως ἀναγκαζούσης.

ΟΡ. Τα μὲν ἄλλα πάντα κατὰ θυμὸν εἴρηταί σοι· ἓν δ᾽ ἐκεῖνο, ὡς ἀντιῤῥόπως πρὸς συμφορὰν ἀνθέλκον, ὑπερϐάλλει πολλῷ τῷ βάρει, ἡ σφαγὴ τουτουΐ· ἐγὼ γαρ εἰμι ὁ τὰς συμφορὰς ταύτας ἐμπορευόμενος· οὗτος δὲ σύμπλους ὢν, ἀνακουφίζει με τῶν τοιούτων· πῶς οὖν ἂν εἴη δίκαιον, ἐμὲ μὲν χάριτάς σοι τιθέμενον, σώζεσθαι· αὐτὸν δ᾽ ἀπολέσθαι. σὺ δὲ εἰ βούλει ὀρθῶς ταῦτα πρᾶξαι, τούτῳ μὲν δὸς τὴν ἐπιστολὴν κομίσαι εἰς Ἄργος, ὥςτε σοι καλῶς ἔχειν· ἐμὲ δ᾽, εἴτις ἐθέλοι, ἀποσφαζέτω· αἰσχρὸν γὰρ ἰδίαις συμφοραῖς ἐμϐαλόντα τὸν φίλον, αὐτὸν ἰδίᾳ πραγματεύεσθαι σωτηρίαν· φίλος γὰρ οὗτος, ὃν οὐχ ἧττον, ἢ ἐμαυτὸν ζῆν ἐθέλω.

ΙΦ. Ὦ φρόνημ᾽ ἄριστον ἔμοιγε ὄντως εὐγενοῦς ῥίζης εὐγενὲς ἀνατέθηλας βλάστημα, καὶ φίλοις φίλος ἀληθὴς ἀνεϐλάστησας· τοιοῦτος δέ μοι εἴη, ὃς μόνος ἐστὶ λοιπὸς ἀδελφῶν· ἴστε γὰρ, ὦ ξένοι, κἀμὲ ἔχουσαν ἀδελφὸν, πλὴν ὅσον οὐχ ὁρῶ τοῦτον· ἀλλ᾽ ἐπειδὴ οὕτω σοι δοκεῖ μᾶλλον σώζεσθαι τοῦτον, ἔστω· πέμπωμεν μὲν αὐτὸν κομίσοντα τὴν ἐπιστολὴν, οἷς χρή· σὺ δὲ μενεῖς, θῦμ᾽ ἐσόμενος τῇ θεῷ, ὡς νομίζεται.

ΟΡ. Καὶ τίς ἐστιν ὁ τολμήσων οὕτω με θῦσαι;

ΙΦ. Ἐγώ· τοῦτο γάρ μοι δέδοται ἔργον ἐνταῦθα.

ΟΡ· Ἄζηλά γ', ὦ νεᾶνι, κοὐκ εὐδαίμονα·
ΙΦ· Ἀλλ' εἰς ἀνάγκην κείμεθ', ἣν φυλακτέον·
ΟΡ· Αὐτὴ ξίφει θύουσα θῆλυς ἄρσενας;
ΙΦ. Οὔκ. ἀλλὰ χαίτην ἀμφὶ σὴν χερνίψομαι·
ΟΡ· Ὁ δὲ σφαγεὺς τίς; εἰ τάδ' ἱστορεῖν με χρή·
ΙΦ· Εἴσω δόμων τῶνδ' εἰσὶν, οἷς μέλει τάδε.
ΟΡ· Τάφος δὲ ποῖος δέξεταί μ', ὅταν θάνω;
ΙΦ. Πῦρ ἱερὸν ἔνδον χάσμα τ' εὐρωπὸν πέτρας.
ΟΡ· (Φεῦ!) πῶς ἂν μ' ἀδελφῆς χεὶρ περιστείλειεν ἄν;
ΙΦ· Μάταιον εὐχὴν, ὦ τάλας, ὅςτις ποτ' εἶ,
Εὔξω. μακρὰν γὰρ βαρβάρου ναίει χθονός.
Οὐ μὴν, ἐπειδὴ τυγχάνεις Ἀργεῖος ὢν,
Ἀλλ' ὧν γε δυνατὸν οὐδ' ἐγὼ λείψω χάριν,
Πολύν τε γάρ σοι κόσμον ἐνθήσω τάφῳ,
Ξανθῷ τ' ἐλαίῳ σῶμα σὸν κατασβέσω,
Καὶ τῆς ὀρείας ἀνθεμόῤῥυτον γάνος
Ξουθῆς μελίσσης ἐς πυρὰν βαλῶ σέθεν·
Ἀλλ' εἶμι, δέλτον τ' ἐκ θεᾶς ἀνακτόρων
Οἴσω. τὸ μέντοι δυσμενὲς μή 'μοῦ λάβῃς·
Φυλάσσετ' αὐτοὺς, πρόσπολοι, δεσμῶν ἄτερ·
Ἴσως ἄελπτα τῶν ἐμῶν φίλων τινὶ
Πέμψω πρὸς Ἄργος, ὃν μάλιστ' ἐγὼ φιλῶ,
Καὶ δέλτος αὐτῷ ζῶντας, οὓς δοκεῖ θανεῖν,
Λέγουσα, πιστὰς ἡδονὰς ἀπαγγελεῖ.

---

612. Εὐρωπὸν] οὐ παρὰ τὸ εὐρὺ καὶ ὤψ· ἀλλὰ παρὰ τὸ εὐρὼς εὐρώεις, καὶ εὐρωπός· κἀπειδὴ τὸ εὐρωτιᾶν ἐν κεκλεισμένοις χωρίοις διὰ τὸ ἀκίνητον τοῦ ἀέρος συμβαίνει γίγνεσθαι, λαμβάνεται ἀντὶ τοῦ σκοτεινός· περὶ δὲ τοῦ χάσματος τούτου μέμνηται καὶ Διόδωρ. βιβλ. 20 περὶ τῶν Καρθαγενίων· φησὶ γάρ· ἦν δὲ παρ' αὐτοῖς ἀνδριὰς Κρόνου χαλκοῦς, ἐκ-

ΟΡ. Ἀλλ' οὐ ζηλωτὸν, οὐδὲ εὔδαιμον τοῦτο.
ΙΦ. Οἶδα κἀγώ· ἀλλὰ δεῖ με φυλάττειν τὴν ἀνάγκην.
ΟΡ. Σὺ δὲ γυνὴ οὖσα, σφάξεις ἄνδρα, λαβοῦσα ξίφος;
ΦΙ. Οὔκ, ἀλλ' ἐπὶ τῆς σῆς κόμης χερνίψομαι μόνον.
ΟΡ. Ὁ δὲ σφαγεὺς τίς; εἴμε δεῖ τὰ τοιαῦτ' ἐρωτᾷν.
ΙΦ. Ἐντὸς τοῦ ναοῦ εἰσιν, οἷς μέλει τούτων.
ΟΡ. Τάφος δὲ τίς δέξαιταί μου τὸ σῶμα;
ΙΦ. Πῦρ ἱερὸν ἐν εὐρωτιοῦντι χάσματι ἔνδον.
ΟΡ. Φεῦ! πῶς ἂν εἴη μοι ὑπ' ἀδελφῆς περιςαλῆναι;
ΙΦ. Μάτην ταῦτ' ηὔξω, ὦ τάλας σύγε, ὅςτις ἂν ᾖς· πόῤῥω γὰρ ἐκείνη γε τῆσδε τῆς βαρβάρου κατῴκηται γῆς· ἀλλ' ἐπειδὴ Ἀργεῖος τυγχάνεις ὢν, πολλή σοι παρ' ἐμοῦ ἔσται χάρις ἀπὸ τῶν παρόντων· πρὸς γὰρ τῷ κόσμῳ, ὃν οὐκ εὐκαταφρόνητον τῷ σῷ θήσω τάφῳ, καὶ ἀνθεμόῤῥυτον μέλι εἰς τὴν σὴν πυρὰν ἐμβαλῶ, καὶ ἐλαίῳ ξανθῷ τὸ σῶμά σου κατασβέσω· ἀλλ' εἶμι νῦν τὴν δέλτον ἔνδοθεν κομίσουσα δεῦρο· μὴ μέντοι μοι πρὸς δυσμένειαν ταῦτα λογίσῃ. Φυλάττετε δ' αὐτοὺς, ὑμεῖς πρόσπολοι, ἄνευ μέντοι δεσμῶν· αὐτίκα γὰρ ἐπιστελῶ τῷ πάντων, ὧν ἔγωγ' ἐν Ἄργει φιλῶ, φιλτάτῳ μοι ὄντι· ἡ δ' ἐπιςολὴ, ἀπροσδοκήτῳ ἐκείνῳ ἐπιφανεῖσα, καὶ ζῶσαν ἐμὲ, τὴν δοκοῦσαν αὐτῷ τεθνηκέναι, ἀπαγγείλασα, ὡς μάλιςα εὐφρανεῖ.

---

τετακὼς τὰς χεῖρας ὑπτίας ἐγκεκλιμένας ἐπὶ τὴν γῆν, ὥστε τὸν ἐπιτεθέντα τῶν παίδων ἀποκυλίεσθαι καὶ πίπτειν εἰς τι χάσμα πλῆρες πυρός· εἰκὸς δὲ καὶ τὸν Εὐριπίδην εἰληφέναι τὰ μυθολογούμενα ἐκ τούτου περὶ τὴν ἐν Ταύροις θυσίαν, ἐν οἷς εἰσάγει τὴν Ἰφιγένειαν ὑπὸ τοῦ Ὀρέστου διερωτωμένην.
620. Γάνος] ἡδονικὸν τῆς μελίσσης καρπόν. Ἴδε καὶ ἀνωτέρω στίχ. 165

ΧΟ. Καταλυφύρομαί σε τὸν χερνίβων (Στρ.)
Ῥανίσι μελόμενον ῥανίσιν αἱμακταῖς.
ΟΡ· Οἶκτος γὰρ οὐ ταῦτ', ἀλλὰ χαίρετ', ὦ ξέναι·
ΧΟ· Σὲ δὲ τύχας μάκαρος, ἰὼ νεανία, (Ἀντ.)
Σεβόμεθ', εἰς πάτραν ὅτι ποτ' ἐπεμβάσῃ.
ΠΥ· Ἄζηλα τοῖς φίλοισι, θνησκόντων φίλων.
ΧΟ· Ὦ σχέτλιοι πομπαί! (Ἐπῳδ.)
Φεῦ, φεῦ! διόλλυσαι·
Αἶ αἶ αἶ αἶ!
Πότερος ὁ μέλλων;
Ἔτι γὰρ ἀμφίλογα δίδυμα μέμονε φρὴν,
Σὲ πάρος, ἢ σ' ἀναστενάξω γόοις·
ΟΡ· Πυλάδη, πέπονθας ταὐτὸ, πρὸς θεῶν, ἐμοί;
ΗΛ· Οὐκ οἶδ'· ἐρωτᾷς οὐ λέγειν ἔχοντά με·
ΟΡ· Τίς ἐστιν ἡ νεᾶνις; ὡς Ἑλληνικῶς
Ἀνήρεθ' ἡμᾶς, τούς τ' ἐν Ἰλίῳ πόνους,
Νόστον τ' Ἀχαιῶν, τόν τ' ἐν οἰωνοῖς σοφὸν
Κάλχαντ, Ἀχιλλέως τ' ὄνομα, καὶ τὸν ἄθλιον
Ἀγαμέμνον' ὡς ᾤκτειρ'! ἀνηρώτα τέ με
Γυναῖκα, παῖδάς τ' ἔστιν ἡ ξένη γένος
Ἐκεῖθεν Ἀργεία τις· οὐ γὰρ ἄν ποτε
Δέλτον τ' ἔπεμπε καὶ τάδ' ἐξεμάνθανεν,
Ὡς κοινὰ πράσσουσ', Ἄργος εἰ πράσσει καλῶς.
ΠΥ. Ἔφθης με μικρόν· ταὐτὰ δὲ φθάσας λέγεις,
Πλὴν ἕν· τὰ γὰρ τῶν βασιλέων παθήματα
Ἴσασι πάντες, ὧν ἐπιστροφή τις ἦν.
Ἀτὰρ διῆλθε χἄτερον λόγον τινά.
ΟΡ. Τίν'; ἐς τὸ κοινὸν δοὺς ἄμεινον ἂν μάθοις.

ΚΟ. Κατολοφύρομαί σε, ὦ νεανία, περὶ οὗ αἱματηρὰ εὐτρεπίζονται ἔνδον χέρνιβα.

ΟΡ. Ταῦτ' ἔμοιγ', ὦ ξέναι, οὐκ οἰκτρά· ἀλλὰ χαίρετε.

ΚΟ. Σὲ δ' αὖ, ὦ νέε, μακαρίζομεν τῆς τύχης, μέλλονθ' ἥξειν εἰς φίλην πατρίδα γαῖαν.

ΠΥ. Οὐ ζηλωτὰ φίλοις, τῶν φίλων δυςυχούντων.

ΚΟ. Ὦ σχέτλια θύματα· φεῦ, φεῦ· ἀπόλωλας ὁπότερος ὑμῶν μέλλει πείσεσθαι τοῦτο· ἔτι γὰρ ἀμφίβολον, ὁπότερον σὲ, ἢ σὲ τὸν ἕτερον μέλλω κλαύσειν.

ΟΡ. Πυλάδη, πρὸς θεῶν πέπονθα, ἔνδον τι καὶ αὐτός;

ΠΥ. Τί δή ποτε; οὐ γὰρ δύναμαι προφητεύειν.

ΟΡ. Ἆρα τίς ἐστιν ἡ νεᾶνις αὕτη; ὡς γὰρ Ἑλληνὶς πάνθ' ἡμᾶς ἀνιστορεῖ τά τε κατὰ Τροίαν γεγενημένα, καὶ τὴν νόστον τῶν Ἑλλήνων ἐκεῖθεν, Κάλχαντε τὸν μάντιν, Ἀχιλλέα τε ὀνομάζουσα, καὶ Ἀγαμέμνονα οἰκτείρουσα· κἀπὶ τούτοις ἀνηρώτα με περὶ τῆς ἐκείνου γυναικὸς καὶ τῶν παίδων· ἔστιν ἄρ' ἐκεῖθεν Ἀργεία τις τὸ γένος, ὅσον ἐκ τῶν εἰρημένων εἰκάσαι· οὐ γὰρ ἂν τοιαῦτ' ἀνιστόρει, ὡς συνευτυχοῦσα κοινῇ, εὐτυχοῦντος τοῦ Ἄργους·

ΠΥ. Ἔφθης με εἰπὼν, ἃ κἀμοῦ τὴν διάνοιαν ὑπησῆλθεν, πλὴν ἓν ἐκεῖνο· ἃ γὰρ συμβαίνει τοῖς βασιλεῦσι παθεῖν, ταῦτ' οὐκ ἂν εἶεν τοῖς ἀνθρώποις ἀνήκουστα, εἴτινες μόνον καὶ μικρὸν τὸ οὖς πρὸς ταῦτ' ὀρθὸν ἐπιςήσειαν· ἀλλὰ πρὸς τούτοις καὶ ἕτερόν τι εἴρηται αὐτῇ οὐ καλῶς.

ΟΡ. Τί δήποτε; λέγε, ἵν' ἐξετάσας, ἄμεινον μάθης.

---

6030. Μελόμενον) τὸν διὰ ῥανίδων αἵματος φροντιζόμενον· ὅ ἐστιν, ὃν φρον-

ΠΥ. Αἰσχρὸν, θανόντος σοῦ, βλέπειν ἡμᾶς φάος·
Κοινῇ τ' ἔπλευσα, δεῖ με καὶ κοινῇ θανεῖν.
Καὶ δειλίαν γὰρ καὶ κάκην κεκτήσομαι,
Ἄργει τε Φωκέων τ' ἐν πολυπτύχῳ χθονὶ,
Δόξω δὲ τοῖς πολλοῖσι, (πολλοὶ γὰρ κακοὶ,)
Προδούς σε, σώζεσθ' αὐτὸς εἰς οἴκους μόνος,
Ἢ καὶ φονεύσας ἐπὶ νοσοῦσι δώμασιν
Ῥάψαι μόρον σοι σῆς τυραννίδος χάριν,
Ἔγκληρον ὡς δὴ σὴν κασιγνήτην γαμῶν·
Ταῦτ' οὖν φοβοῦμαι καὶ δι' αἰσχύνης ἔχω,
Κοὐκ ἔσθ', ὅπως οὐ χρὴ συνεκπνεῦσαί μέ σοι
Καὶ συσφαγῆναι καὶ πυρωθῆναι δέμας,
Φίλον γεγῶτα καὶ φοβούμενον ψόγον.
ΟΡ. Εὔφημα φώνει· τἀμὰ δεῖ φέρειν κακά.
Ἁπλᾶς δὲ λύπας ἐξὸν, οὐκ οἴσω διπλᾶς.
Ὃ γὰρ σὺ λυπρὸν κἀπονείδιστον λέγεις,
Ταῦτ' ἔστιν ἡμῖν, εἴ σε συμμοχθοῦντ' ἐμοὶ
Κτενῶ· τὸ μὲν γὰρ εἰς ἔμ', οὐ κακῶς ἔχει,
Πράσσονθ', ἃ πράσσω πρὸς θεῶν, λύσειν βίον.
Σὺ δ' ὄλβιός τ' εἶ, καθαρά τ', οὐ νοσοῦντ' ἔχεις
Μέλαθρ'· ἐγὼ δὲ δυσσεβῆ καὶ δυστυχῆ.
Σωθεὶς δὲ, παῖδας ἐξ ἐμῆς ὁμοσπόρου
Κτησάμενος, ἣν ἔδωκά σοι δάμαρτ' ἔχειν,
Ὄνομά τ' ἐμοῦ γένοιτ' ἂν, οὐδ' ἄπαις δόμος
Πατρῷος οὑμὸς ἐξαλειφθείη ποτ' ἄν.

---

τίζουσι σφάξαι 679. Σωθεὶς... κτησάμενος) ἐναλλαγὴ πτώσεως ἡ εὐθεῖα ἀν-

ΠΥ. Αἰσχρὸν γάρ ἔμοιγε ζῆν, σοῦ θανόντος· τὸν γὰρ σύμπλουν γεγενημένον δεῖ καὶ συγκαταςρέψαι· ἄλλως γὰρ πολλὴν ἐμοῦ γε δειλίαν τε καὶ κακίαν Ἀργεῖοί τε πάντες καὶ Φωκεῖς καταγνώσονται· κακοὶ γὰρ ὄντες αὐτῶν οἱ πολλοὶ, ἐροῦσι σωθῆναί με οἴκαδε, σὲ προδόντα· εἰ μήτις καὶ χεῖρον προσθείη, ὡς ἐτολύπευσά σοι τὸν φόνον ἐπίτηδες, τοῦ οἴκου ἤδη τεταραγμένου, ἐπ' ἐλπίδι τοῦ σκήπτρου, ὡς δῆθεν εἰς ἐμὲ τὸ δίκαιον τοῦθ' ἧκον δι' Ἠλέκτραν τὴν σὴν ἀδελφὴν, ἐπίκληρον ἐσομένην· τούτου δὴ ἐπιφόβου μοι ὄντος, οὐκ ἔσθ' ὅπως οὐ συναποθανοῦμαί σοι, συσφαγεὶς, καὶ συμφλεγεὶς, καὶ τὰ πάνθ' ὑποςὰς, φίλος ὢν, καὶ φεύγειν τὸν ψόγον φιλοτιμούμενος.

ΟΡ. Εὐφήμει σύγε· ἐμὲ γὰρ δεῖ τὰς ἐμαυτοῦ συμφορὰς ὑπομένειν· ταύτας δ' ἐξὸν ἁπλᾶς φέρειν, οὐκ ὀφείλω διπλᾶς ἔχειν· τὸ γὰρ αἰσχρὸν τοῦθ', ὃ σὺ δοκεῖς εὐλαβεῖσθαι, εἰς ἐμὲ μᾶλλον ἥκει, εἴγε σε, τοὺς ἐμοὺς ἀναδεξάμενον πόνους, προδοίην· ὅσον δ' ἕνεκάγε ἐμοῦ, εἴτι πάθοιμι, οὐ τοσοῦτον δυςυχὲς ἀπαλλαγῆναι τῶν τῆδε, κακῶς πράσσοντα πρὸς θεῶν· σοὶ δὲ τά τ' ἄλλα ὄλβιά τε καὶ καθαρὰ, καὶ δὴ καὶ ὁ οἶκος εὐδαίμων· ὁ δ' ἐμὸς δυςυχὴς καὶ ἀνόσιος· σοῦ δὲ διασωθέντος ἐντεῦθεν, καὶ παίδων σοι ἐκ τῆς ἐμῆς ἀδελφῆς γενομένων, τό,τ' ἐμὸν ὄνομα οὐ πάμπαν ἐκλείψει, καὶ ὁ πατρῷος οἶκος ἀνορθωθήσοιτ' ἂν ποθ' ὕστερον· τοσόνδε

---

τῆ γενικῆς ἀπολώτου. τοιοῦτο δὲ καὶ ἐν Ἱππολύτῳ (στίχ. 22.) καὶ Φοινι 283.

Ἀλλ' ἕρπε, καὶ ζῆ καὶ δόμους οἴκει πατρός.
Ὅταν δ' ἐς Ἑλλάδ' ἵππιόν τ' Ἄργος μόλῃς,
Πρὸς δεξιᾶς σε τῆσδ' ἐπισκήπτω τάδε·
Τύμβον τε χῶσον, κἀπίθες μνημεῖά μοι,
Καὶ δάκρυ' ἀδελφὴ καὶ κόμας δότω τάφῳ.
Ἄγγελλε δ', ὡς ὄλωλ' ὑπ' Ἀργείας τινὸς
Γυναικὸς, ἀμφὶ βωμὸν ἁγνισθεὶς φόνῳ.
Καὶ μὴ προδῷς μου τὴν κασιγνήτην ποτὲ,
Ἔρημα κήδη καὶ δόμους ὁρῶν πατρός.
Καὶ χαῖρ'· ἐμῶν γὰρ φίλτατόν σ' εὗρον φίλων.
Ὦ συγκυναγὲ καὶ συνεκτραφεὶς ἐμοὶ,
Ὦ πόλλ' ἐνεγκὼν τῶν ἐμῶν ἄχθη κακῶν.
Ἡμᾶς δ' ὁ Φοῖβος, μάντις ὢν, ἐψεύσατο·
Τέχνην δὲ θέμενος, ὡς προσώταθ' Ἑλλάδος
Ἀπήλασ' αἰδοῖ τῶν πάρος μαντευμάτων.
Ὦ πάντ' ἐγὼ δοὺς τἀμὰ καὶ πεισθεὶς λόγοις,
Μητέρα κατακτὰς, αὐτὸς ἀνταπόλλυμαι.
ΠΥ. Ἔσται τάφος σοι, καὶ κασιγνήτης λέχος
Οὐκ ἂν προδοίην, ὦ τάλας, ἐπεί σ' ἐγὼ
Θανόντα μᾶλλον, ἢ βλέπονθ', ἕξω φίλον.
Ἀτὰρ τὸ τοῦ θεοῦ γ' οὐ διέφθορέν σέ πω
Μάντευμα, καίτοι γ' ἐγγὺς ἕστηκας φόνου.
Ἀλλ' ἔστιν, ἔστιν ἡ λίαν δυσπραξία
Λίαν διδοῦσα μεταβολὰς, ὅταν τύχῃ.
ΟΡ. Σίγα· τὰ Φοίβου δ' οὐδὲν ὠφελεῖ μ' ἔπη·
Γυνὴ γὰρ ἥδε δωμάτων ἔξω περᾷ.

---

690 Καὶ δόμους ὁρῶν] ἐν ἄλλοις κεῖται, καὶ δόμους προδούς. 708. Ἀπέλθεθ' ]

μόνον νῦν ὕστατον ἐπισκήπτω πρὸς τῆσδε τῆς ἐμῆς δεξιᾶς, ὁπότε ἔλθοις εἰς Ἄργος, σοὶ μὲν τάφον μοι ἄξιον χῶσαι, καὶ μνημεῖά μοι ἐπιθεῖναι· τῇ δὲ ἀδελφῇ δάκρυα καὶ τὴν κόμην τῷ αὐτῷ ἀποδοῦναι· ἀπάγγελλε δέ με ἀπολωλότα ὑπ' Ἀργείας τινὸς γυναικὸς, περὶ τὸν βωμὸν ἁγνισθέντα· φύλαξαι δέ μοι κἀκεῖνο, μὴ προδῷς τὴν ἐμὴν ἀδελφὴν, ἔρημον κηδεςῶν ὁρῶν τὴν πατρῴαν οἰκίαν· καὶ χαῖρεγέμοι, ὦ φίλος· σὺ γάρμοι φίλων ἁπάντων ἔμοιγε φίλτατος εἶ, συγκυνηγέτης, καὶ σύντροφος γεγεννημένος, καὶ πολλὰς τῶν ἐμῶν συμφορῶν συναναδεξάμενος καὶ ἀνακουφίσας· ἐμὲ δ' ὁρᾷς ὅπως ὁ Φοῖβος παρήγαγεν· αἰσχυνόμενος γὰρ, ἐφ' οἷς ἐγὼ πεισθεὶς ὅλως τοῖς ἐκείνου χρησμοῖς, ἀπέκτεινα τὴν μητέρα, ἀνθ' οὗ νῦν ἀπόλλυμαι, τέχνῃ με ὡς πορρωτάτω τῆς Ἑλλάδος ἐξήλασεν ἀπολέσθαι.

ΠΥ. Ὡς τὰ μέν σοι περὶ τὸν τάφον καὶ τὴν ἀδελφὴν μὴ ἄν μου προδώσοντος σάφ' ἴσθι τοῦτο ἔγωγε γάρ σοι μᾶλλον ἀποθανόντι, ἢ ζῶντι ἔσομαι φίλος· ὁ γε μὴν χρησμὸς τοῦ θεοῦ οὔπω δοκεῖ σε βλάψαι, καίτοι μεταξὺ βαίνεις ξίφους· πολλάκις γὰρ ἡ τύχη καὶ τὴν ἐσχάτην συμφορὰν εἰς ἀπραξίαν μετέβαλεν ἀπροσδόκητον.

ΟΡ. Οὐδέν μοι ὄφελος τῶν χρησμῶν· τοῦτ' οἶδ' ἐγὼ σαφῶς, ἀλλὰ σίγα νῦν· ἡ γὰρ γυνὴ ἐκείνη ἔξεισι δεῦρο.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΙΦΙΓΕΝΕΙΑ, ΠΥΛΑΔΗΣ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ.

ΙΦ. Ἀπέλθεθ' ὑμεῖς καὶ παρευτρεπίζετε
Τἄνδον μολόντες τοῖς ἐφεστῶσι σφαγῇ.
Δέλτου μὲν αἵδε πολύθυροι διαπτυχαὶ,
Ξένοι, πάρεισιν. ἃ δ' ἐπὶ τοῖσδε βούλομαι,
Ἀκούσατ'· οὐδεὶς ὡυτὸς ἐν πόνοις ἀνὴρ,
Ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ.
Ἐγὼ δὲ ταρβῶ, μὴ 'πονοστήσας χθονὸς
Θῆται παρ' οὐδὲν τὰς ἐμὰς ἐπιστολὰς
Ὁ τήνδε μέλλων δέλτον εἰς Ἄργος φέρειν.
ΟΡ. Τί δῆτα βούλει; τίνος ἀμηχανεῖς πέρι;
ΙΦ. Ὅρκον δότω μοι, τάσδε πορθμεύσειν γραφὰς
Πρὸς Ἄργος, οἷσι βούλομαι πέμψαι φίλων.
ΟΡ. Ἦ κἀντιδώσεις τῷδε τοὺς αὐτοὺς λόγους;
ΙΦ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε,
ΟΡ. Ἐκ γῆς ἀφήσειν μὴ θανόντα βαρβάρου.
ΙΦ. Δίκαιον εἶπας· πῶς γὰρ ἀγγείλειεν ἄν;
ΟΡ. Ἦ καὶ τύραννος ταῦτα συγχωρήσεται;
ΙΦ. Πείσω σφε, κἀυτὴ ναὸς εἰσβήσω σκάφος.
ΟΡ. Ὄμνυ· σὺ δ' ἔξαρχ' ὅρκον, ὅστις εὐσεβής.

πρὸς τοὺς φύλακας τῶν ξένων ἀποτείνεται ταῦτα· προοικονομεῖ γὰρ τὴν ἀναγνώρισιν, ἵνα μὴ παρόντων ἐκείνων, γένηται. 709 Τοῖς ἐφεστῶσι σφαγῇ] παρὰ τοις ἄλλοις τοῖς ἐφεστῶσι τῇ σφαγῇ τῶν θυμάτων, εὐτρεπίζετε καὶ ἡ-

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΙΦΙΓΕΝΕΙΑ, ΠΥΛΑΔΗΣ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ.

ΙΦ. Εἰσέλθετε ὑμεῖς οἱ πρόσπολοι συμπαρασκευάσοντες τἄνδον τοῖς ἐπιτεταγμένοις τῆς τῶν ξένων σφαγῆς φροντίζειν· ὑμεῖς δ' ὦ ξένοι, ἴδετε τὴν ἐπιστολὴν, ἥδ' ἐστιν· ἃ δ' ἐντεθύμημαι ἐπὶ τούτοις, προσέχετέ μοι ἤδη τὸν νοῦν· ἴσμεν γὰρ ὡς ὁ αὐτὸς ἄνθρωπος οὐχ ὁ αὐτός ἐστιν ἐν κινδύνοις ὢν, καὶ ἔξω κινδύνων γενόμενος· διὸ ὑπόνοιά μοι ἐπέρχεται, μήτι ὁ ἀποσταλεὶς ὑμῶν, ἐπειδὰν τάχιστα τῆς γῆς τῆσδε ἔξω γένηται, παρ' οὐδὲν θῆται τὰ ἀπεσταλμένα.

ΟΡ. Τί οὖν αἰτεῖς πρὸς ἡμῶν σοι πιστὸν γενέσθαι;

ΙΦ. Ὅρκον, ἦ μὴν κομίσειν εἰς Ἄργος τὴν δέλτον τήνδε, πρὸς οὓς ἐγὼ κελεύω.

ΟΡ. Ἀλλ' ἆρ' ἀντιδώσεις καὶ αὐτὴ τοὺς αὐτοὺς ὅρκους τούτῳ;

ΙΦ. Τί ποτε δράσειν, ἢ μὴ δράσειν αὐτῷ; λέγε τοῦτο.

ΟΡ. Ζῶντ' αὐτὸν ἀποπέμψειν ἔξω τῆς τῶν βαρβάρων.

ΙΦ. Πῶς γὰρ, μὴ σωθεὶς, τοῖς ἐκεῖ ἀπαγγείλειε ταῦτα;

ΟΡ. Ἀλλ' ὁ τύραννος ἔσθ' ὅπως ταῦθ' ἡμῖν ἐπιτρέψει;

ΙΦ. Πείσω γε κἀκεῖνον, κἀγὼ εἰσβιβάσω αὐτὸν εἰς τὸ πλοῖον·

ΟΡ. Ὄμοσον, Πυλάδη· αὐτὴ δὲ δίδασκε τὸν εὐσεβέστατον ὅρκον.

---

μεῖς, ἃ ἔνδον ἐστιν ἀναγκαῖα. 710. Πολύθυροι διαπτυχαί] ἡ δέλτος ἡ πολλὰς

ΙΦ. Δώσω, λέγειν χρὴ, τήνδε τοῖς ἐμοῖς φίλοις.
ΠΥ. Τοῖς σοῖς φίλοισι γράμματ' ἀποδώσω τάδε.
ΙΦ. Κἀγώ σε σώσω Κυανέας ἔξω πέτρας.
ΠΥ. Τίν' οὖν ἐπόμνυς τοῖσδ' ὅρκιον θεῶν;
ΙΦ. Ἄρτεμιν, ἐν ἧσπερ δώμασιν τιμὰς ἔχω.
ΠΥ. Ἐγὼ δ' ἄνακτά γ' οὐρανοῦ, σεμνὸν Δία.
ΙΦ. Εἰ δ' ἐκλιπὼν τὸν ὅρκον, ἀδικοίης ἐμέ;
ΠΥ. Ἄνοστος εἴην· τί δὲ σὺ, μὴ σώσασά με;
ΙΦ. Μή ποτε κατ' Ἄργος ζῶσ' ἴχνος θείην ποδός.
ΠΥ. Ἄκουε δή νυν, ὃν παρήλθομεν λόγον.
ΙΦ. Ἀλλ' αὖθις ἔσται καιρὸς, ἢν καλῶς ἔχῃ.
ΠΥ. Ἐξαίρετόν μοι δὸς τόδ', ἤν τι ναῦς πάθῃ,
Χἠ δέλτος ἐν κλύδωνι χρημάτων μέτα
Ἀφανὴς γένηται, σῶμα δ' ἐκσώσω μόνον,
Τὸν ὅρκον εἶναι τόνδε μηκέτ' ἔμπεδον.
ΙΦ. Ἀλλ' οἶσθ', ὃ δράσω; πολλὰ γὰρ πολλῶν κυρεῖ·
Τἀνόντα κἀγγεγραμμέν' ἐν δέλτου πτυχαῖς
Λόγῳ φράσω σοὶ πάντ' ἀναγγεῖλαι φίλοις·
Ἐν ἀσφαλεῖ γάρ: ἢν μὲν ἐκσώσῃς γραφὴν,
Αὐτὴ φράσει σιγῶσα τἀγγεγραμμένα·
Ἢν δ' ἐν θαλάσσῃ γράμματ' ἀφανισθῇ τάδε,
Τὸ σῶμα σώσας, τοὺς λόγους σώσεις ἐμοί.
ΠΥ. Καλῶς ἔλεξας τῶν θεῶν ἐμοῦ θ' ὕπερ.
Σήμαινε δ', ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν
Πρὸς Ἄργος, ὅ,τι τε χρὴ κλύοντά σου λέγειν.
ΙΦ. Ἄγγελλ' Ὀρέστῃ, παιδὶ τἀγαμέμνονος·
«Ἡ 'ν Αὐλίδι σφαγεῖσ', ἐπιστέλλει τάδε
Ζῶσ' Ἰφιγένεια, τοῖς ἐκεῖ δ' οὐ ζῶσ' ἔτι.»

ΙΦ. Λέγε, ὡς ἀποδώσεις τήνδε τοῖς ἐμοῖς ἐκεῖ φίλοις.

ΠΥ. Φημὶ δὴ, ὡς ἀποδώσω ταύτην τοῖς σοῖς ἐκεῖ φίλοις.

ΙΦ. Κἀγώ σε σώσω πέρα τῶν Συμπληγάδων.

ΠΥ. Τίν' οὖν τῶν θεῶν ἐπὶ τούτοις ὀμνύεις;

ΙΦ. Ἄρτεμιν, παρ' ᾗ τυγχάνω τιμωμένη.

ΠΥ. Κἀγὼ Δί' αὐτὸν, ὃς ἐν οὐρανῷ τὸ κράτος ἔχει.

ΙΦ. Εἰ δὲ ἀδικήσεις με, ἐπιορκήσας;

ΠΥ. Πατρίδα μὴ ἴδοιμι· σὺ δὲ, μὴ σώσασά με;

ΙΦ. Μηδέποτε ζῶσ ἀφικοίμην εἰς Ἄργος.

ΠΥ. Νῦν δ' ἄκουε, ὃ δοκεῖ ἡμᾶς λεληθέναι.

ΙΦ. Λέγ' ἐξ ὑπαρχῆς, ταῦτ' εἰ δοκεῖς καλῶς ἕξειν.

ΠΥ· Ἔξελέ μοι τῶν ὅρκων ἐκεῖνο μόνον, εἰ ἐγὼ ναυαγήσας, σωθείην, ἡ δὲ ἐπιστολὴ σὺν τοῖς ἄλλοις οἰχήσεται χρήμασιν ἐν τοῖς κύμασι· τοῦτο μοι μόνον ἀνώμωτον ἔστω.

ΙΦ. Γένοιτο γὰρ ἄντι· καὶ τοιοῦτον ἀνθρώποις οὖσιν· ἀλλ' οἶσθα, ὃ ἐντεθύμημαι ἐπὶ τούτοις; ἢν μὲν γὰρ σώσῃς τὴν ἐπιςολὴν, αὐτὴ φράσει τὰ κατ ἐμὲ καὶ σιγῶσα τοῖς φίλοις· ἢν δὲ μὴ, σωθεὶς ἐκ θαλάσσης, ἐρεῖς τοῖς ἐκεῖ ἅπαντ' ἀπὸ ςόματος, παρ' ἐμοῦ νῦν ταῦτ ἀκούσας, ἐν ἀσφαλεῖ γὰρ τοῦτο.

ΠΥ. Εὖγε· πρός τε γὰρ θεῶν πρός τ' ἐμοῦ καλῶς τοῦτ' ἔχει· οὐκοῦν λέγε, ὅ,τι με χρὴ μαθόντ' ἐξειπεῖν, οἷς ἂν βούλῃ, ἐλθόντα εἰς Ἄργος.

ΙΦ. Εἰπὲ Ὀρέστῃ τῷ Ἀγαμεμνονίδῃ, ὡς Ἰφιγένεια ἡ ἐν Αὐλίδι σφαγεῖσα, τάδε σοὶ ἐπιστέλλει, ζῶσα μὲν ὧδε, τοῖς δ' ἐκεῖ τεθνεῶσα.

---

διαπτυχάς ἔχουσα, ἡ πολλάκις περιπτυσσομένη. 727. Δώσω] τί μὴ γραπτέο

ΟΡ. Ποῦ δ' ἔστ' ἐκείνη; κατθανοῦσ' ἥκει πάλιν;
ΙΦ. Ἥδ', ἣν ὁρᾷς σύ· μὴ λόγοις ἔκπλησσέ με.
« Κόμισαί μ' ἐς Ἄργος, ὦ σύναιμε, πρὶν θανεῖν,
Ἐκ βαρβάρου γῆς, καὶ μετάστησον θεᾶς
Σφαγίων, ἐφ' οἷσι ξενοφόνους τιμὰς ἔχω. »
ΟΡ. Πυλάδη, τί λέξω; ποῦ ποθ' ὄνθ' εὑρήμεθα;
ΙΦ. « Ἢ σοῖς ἀραία δώμασιν γενήσομαι,
Ὀρέσθ', » ἵν' αὖθις ὄνομα δὶς κλύων μάθῃς.
ΠΥ. Ὦ θεοί!
ΙΦ. Τί τοὺς θεοὺς ἀνακαλεῖς ἐν τοῖς ἐμοῖς;
ΠΥ. Οὐδέν· πέραινε δ'· ἐξέβην γὰρ ἄλλοσε.
Τάχ' οὖν ἐρωτῶν σ' εἰς ἄπιστ' ἀφίξομαι.
ΙΦ. Λέγ', οὕνεκ' ἔλαφον ἀντιδοῦσά μου θεὰ
Ἄρτεμις ἔσωσέ μ', (ἣν ἔθυσ' ἐμὸς πατὴρ,
Δοκῶν ἐς ἡμᾶς ὀξὺ φάσγανον βαλεῖν,)
Ἐς τήνδε δ' ᾤκισ' αἶαν· αἵδ' ἐπιστολαί·
Τάδ' ἐστὶ τὰν δέλτοισιν ἐγγεγραμμένα.
ΠΥ. Ὦ ῥᾳδίοις ὅρκοισι περιβαλοῦσά μοι,
Κάλλιστα δ' ὀμόσασ', οὐ πολὺν σχήσω χρόνον,
Τὸνδ' ὅρκον, ὃν κατώμοσ', ἐμπεδώσομεν.
Ἰδού, φέρω σοι δέλτον, ἀποδίδωμί τε,
Ὀρέστα, τῆσδε σῆς κασιγνήτης πάρα.
ΟΡ. Δέχομαι· παρεὶς δὲ γραμμάτων διαπτυχὰς,
Τὴν ἡδονὴν πρῶτ' οὐ λόγοις αἱρήσομαι.
Ὦ φιλτάτη μοι σύγγον', ἐκπεπληγμένος

---

δώσειν, ἢ δώσεις συμφώνως πρὸς τὰ ἑπόμενα; 778. Ἐκπεπληγμένος] οὕτως ἄμεινον ἀντὶ τοῦ ἐκπεπληγμένους, ἀποδιδόμενον εἰς τὸν Ὀρέστην, ἵνα ᾖ, κα-

ΟΡ. Καὶ ποῦ ἐστιν ἐκείνη; πῶς ἀποθανοῦσα ἀνεβίωσεν αὖθις;

ΙΦ. Ἥδ᾽ ἐγὼ, ἣν ὁρᾷς· ἀλλὰ μή με τάραττε λέγων μεταξύ. Ἐλθὲ, ὦ φίλτατ᾽ ἀδελφῶν, ληψόμενός με εἰς Ἄργος, ἀπαγαγών με ἐκ γῆς βαρβάρου καὶ τῶν βωμῶν τῶνδε, ἐν οἷς ὡς ξενοκτόνος τιμῶμαι.

ΟΡ. Πυλάδη, τί λέξω; ποῦ δὴ τυγχάνομεν ὄντες;

ΙΦ. Εἰ δὲ μὴ, καταράσομαί σοι τῷ οἴκῳ, Ὀρέστα· ἵν᾽ αὖθις σύγε, ὦ ξένε, δὶς τοὔνομα τοῦτ᾽ ἀκούσας, ἄμεινον μνημονεύῃς.

ΠΥ. Ὦ θεοί!

ΙΦ. Τί δή ποτ᾽ ἐν ταῖς ἐμαῖς συμφοραῖς ἐπικαλῇ τοὺς θεούς;

ΠΥ. Οὐδέν· ἄλλοτε πεπλάνημαι μάτην τῇ διανοίᾳ· καὶ γὰρ εἰ ἐρωτῴην, ἐκβήσομαι εἰς τὸ ἄπιστον.

ΙΦ. Λέγε αὐτῷ προσέτι, ὡς ἡ θεὸς αὕτη, ἔλαφον ἀντιδοῦσα, ἀνήρπασέ με ἀπὸ τῆς σφαγῆς, ἣν ὁ πατὴρ ἔδοξε θῦσαι, τῷ ξίφει παίσας· ἀναρπάσασα δε, εἰς τήνδέ με κατῴκισε γῆν· ταῦτα μέν σοι τὰ ἐπιστελλόμενα, ἃ ταῦτα δὴ τὰ γράμματα περιέχει.

ΠΥ. Ὦ ῥᾳδίοις μὲν ὅρκοις περιπλέξασά με, κάλλιστα δὲ καὶ ἥδιστά μοι ὀμόσασα· αὐτίκα πάντα περανῶ, καὶ τοὺς ὅρκους ἀμφότεροι ἐμπεδώσομεν τήμερον· Ὀρέστα, ἰδοὺ φέρω σοι τήνδε τὴν δέλτον παρὰ τῆς σῆς ἀδελφῆς, ἀπόλαβε αὐτήν.

ΟΡ. Δέχομαι. παρεὶς δὲ τὸ λύειν τὰ γράμματα, ἔργοις οὐ λόγοις τὸ τῆς ψυχῆς ἐκπληρώσω ἡδόμενον· ὦ φιλτάτη

---

οι ἐκπεπληγμένος ἐπὶ τοῖς παροῦσιν, ὅμως περιβαλών σε ἀπίστῳ (ἐν ἄλλοις

Ὅμως σ' ἀπίστῳ περιβαλὼν βραχίονι,
Ἐς τέρψιν εἶμι, πυθόμενος θαυμάστ' ἐμοί.
ΧΟ. Ξεῖν', οὐ δικαίως τῆς θεοῦ τὴν πρόσπολον
Χραίνεις ἀθίκτοις περιβαλὼν πέπλοις χέρα.
ΟΡ. Ὦ συγκασιγνήτη τε κἀκ ταὐτοῦ πατρὸς
Ἀγαμέμνονος γεγῶσα, μή μ' ἀποστρέφου,
Ἔχουσ' ἀδελφὸν, οὐ δοκοῦσ' ἕξειν ποτέ.
ΙΦ. Ἐγὼ σ' ἀδελφὸν τὸν ἐμόν; οὐ παύσῃ λέγων;
Τὸ δ' Ἄργος αὐτοῦ μεστὸν, ἥ τε Ναυπλία.
ΟΡ. Οὐκ ἔστ' ἐκεῖ σὸς, ὦ τάλαινα, σύγγονος.
ΙΦ. Ἀλλ' ἡ Τάλαινα Τυνδαρίς σ' ἐγείνατο;
ΟΡ. Πέλοπός τε παιδὶ παιδὸς ἐκπέφυκ' ἐγώ.
ΙΦ. Τί φής; ἔχεις τι τῶνδέ μοι τεκμήριον;
ΟΡ. Ἔχω. πατρῴων ἐκ δόμων τι πυνθάνου·
ΙΦ. Οὐκοῦν λέγειν μὲν χρὴ σὲ, μανθάνειν δ' ἐμέ.
ΟΡ. Λέγοιμ' ἂν ἀκοῇ πρῶτον Ἠλέκτρας τάδε·
'Ατρέως Θυέστου τ' οἶσθα γενομένην ἔριν;
ΙΦ. Ἤκουσα, χρυσῆς ἀρνὸς ἡνίκ' ἦν πέρι.
ΟΡ. Ταῦτ' οὖν ὑφήνασ' οἶσθ' ἐν εὐπήνοις ὑφαῖς;
ΙΦ. Ὦ φίλτατ', ἐγγὺς τῶν ἐμῶν κάμπτεις φρενῶν.
ΟΡ. Εἰκώ τ' ἐν ἱστοῖς, ἡλίου μετάστασιν;
ΙΦ. Ὕφηνα καὶ τόδ' εἶδος εὐμίτοις πλοκαῖς.

---

κεῖται ἀπιστῶ) βραχίονι, εἰς τέρψιν εἶμι. 805. Δοκοῦσ'] οὕτως ἀντὶ τοῦ δοκοῦν, καὶ δοκῶν ἄλλοις. 790. Παιδὶ παιδός] Πέλοψ, Ἀτρεὺς, Ἀγαμέμνων, Ὀρέστης· Ὀρέστης τοίνυν ἐγένετο παῖς Ἀγαμέμνονι τῷ παιδὶ τοῦ Ἀτρέως τοῦ παιδὸς τοῦ Πέλοπος. 794. Ἀκοῇ Ἠλέκτρας τάδε] οὕτως ἄμεινον ἀντὶ τοῦ ἄκουε, ἀμέτρου ὄντος· ὁ δὲ νοῦς, ἃ ἐγὼ οἶδ' ἀκηκοὼς παρὰ τῆς Ἠλέκτρας

μοι ἀδελφῶν, καίτοι ἐκπεπληγμένος ἐπὶ τοῖς παροῦσι, καὶ ἀπίστως σε περιβάλλων βραχίονι, ἄπιςʼ, ἀνήκουςʼ ἀκούσας, ὅμως εἰς τέρψιν ἥκω.

ΧΟ. Τί ποιεῖς, ξένε; τὴν τῆς θεοῦ πρόσπολον χραίνεις, τῶν ἀθίκτων αὐτῆς θιγγάνων πέπλων;

ΟΡ. Ὦ συναδελφὴ, κἀκ τοῦ αὐτοῦ φυεῖσα πατρὸς, μή με ἀποςρέφου, ἔχουσʼ ἀδελφὸν, ὃν ἀπεγνώκεις μηκέτι προσόψεσθαι.

ΙΦ. Ἐγώ σε ἀδελφόν; πόθεν ἐμόν; οὐ παύσῃ λήρων· ἐκεῖνος γὰρ πολὺς καὶ συχνὸς ἐν Ἄργει καὶ ἐν Ναυπλίᾳ πάσῃ.

ΟΡ. Οὔκ, ὦ τάλαινα, ὁ σὸς ἐκεῖ ἐστιν ἀδελφός.

ΙΦ. Τί δέ; ἡ Λάκαινα Τυνδαρὶς ἔτεκέ σε;

ΟΡ. Νὴ Δίʼ Ἀγαμέμνονος, οὗ πατὴρ Ἀτρεὺς ὁ Πέλοπος, ἐγενόμην.

ΙΦ. Τί φής; ἔχεις τι τεκμήριον εἰπεῖν τούτων;

ΟΡ. Ἐρώτα μόνον ὅ,τι δήποτε βούλει τῶν οἴκοι.

ΙΦ. Σὲ μέντοιγε λέγειν χρὴ, ἐμὲ δὲ κρίνειν.

ΟΡ. Ἄκουε τοίνυν, ἃ πρῶτον ἐδίδαξέ με Ἠλέκτρα· οἶσθʼ ἴσως ἀκηκουῖα τὴν ἔριν τοῦ Ἀτρέως καὶ τοῦ Θυέστου.

ΙΦ. Ἔγωγε. τὴν περὶ τῆς χρυσῆς ἀρνὸς λέγεις.

ΟΡ. Μέμνησαι δʼ ἐν ὕφει πυκνῷ ὑφήνασα τὸ πάθος τοῦτο;

ΙΦ. Ὦ φίλταθʼ, ὡς ἔγγιστά μοι γίγνῃ οὕτω.

ΟΡ. Πρὸς δὲ τούτοις, τὴν τοῦ ἡλίου παλινδρομίαν;

ΙΦ. Καὶ τοῦτό γε ποτὲ διεποίκιλα μίτοις.

---

τὰ δὲ ἑξῆς ἴδε ἀνωτέρω στίχ. 190. καὶ ἑξῆς. 795. Οἶδα] ἄμεινον οἶδας, ἢ

ΟΡ. Καὶ λούτρ' ἐς Αὖλιν μητρὸς ἀνεδέξω πάρα;
ΙΦ. Οἶδ'· οὐ γὰρ ὁ γάμος ἐσθλὸς ὤν μ' ἀφείλετο.
ΟΡ. Τί γάρ; κόμας σὰς μητρὶ δοῦσα σῇ φέρειν;
ΙΦ. Μνημεῖά γ' ἀντὶ σώματος τοὐμοῦ τάφῳ.
ΟΡ· Ἃ δ' εἶδον αὐτὸς, τάδε φράσω τεκμήρια·
Πέλοπος παλαιὰν ἐν δόμοις λόγχην πατρὸς,
Ἣν χερσὶ πάλλων παρθένον Πισάτιδα
Ἐκτήσαθ' Ἱπποδάμειαν, Οἰνόμαον κτανὼν,
Ἐν παρθενῶσι τοῖσι σοῖς κεκρυμμένην.
ΙΦ· Ὦ φίλτατ', οὐδὲν ἄλλο, φίλτατος γὰρ εἶ,
Ἔχω σ' Ὀρέσταν τηλύγετον χθονὸς ἀπὸ πατρίδος
Ἀργόθεν, ὦ φίλος.
ΟΡ· Κἀγώ σε τὴν θανοῦσαν, ὡς δοξάζεται.
Κατὰ δὲ δάκρυ' ἀδάκρυα, κατὰ δὲ γόος ἅμα χαρᾷ
Τὸ σὸν νοτίζει βλέφαρον, ὡσαύτως δ' ἐμόν·
ΙΦ. Τότ' ἔτι βρέφος σ' ἔλιπον ἀγκάλαι-
Σι νεαρὸν τροφοῦ, νεαρὸν ἐν δόμοις.
Ὦ κρεῖσσον, ἢ λόγοισιν, εὐτυχῶν ἐμοῦ
Ψυχὰ, τί φῶ; θαυμάτων πέρα καὶ λόγου
Πρόσω τάδ' ἀπέβα.
ΟΡ. Τὸ λοιπὸν εὐτυχοῖμεν ἀλλήλων μέτα!
ΙΦ. Ἄτοπον ἡδονὰν ἔλαβον, ὦ φίλαι·
Δέδοικα δ', ἐκ χερῶν με μὴ πρὸς αἰθέρα
Ἀμπτάμενος φύγῃ·
Ὦ Κυκλωπίδες ἑστίαι, ὦ πατρὶς,
Μυκήνα φίλα,
Χάριν ἔχω ζωᾶς, χάριν ἔχω τροφᾶς,
Ὅτι μοι συνομαίμονα τόνδε δόμοις
Ἐξεθρέξω φάος.

ΟΡ. Ἀνεδέξω δὲ καὶ λουτρὰ παρὰ τῆς μητρὸς ἐν Αὐλίδι;

ΙΦ. Οἶδα· ἀλλ ὁ γάμος οὐκ ἐσθλὸς ὤν, ἔφυγέ με.

ΟΡ. Οἶσθα δὲ δοῦσα τῇ μητρὶ τὴν κόμην φέρειν;

ΙΦ. Ἵνα μνημεῖον θῇ μοι ἐπὶ τοῦ τάφου.

ΟΡ. Νῦν δ' ἄκουε, ἃ ἐγὼ αὐτὸς εἶδον· τὸ τοῦ Πέλοπός φημι δόρυ ἐν τῷ σῷ παρθενῶνι ἔκπαλαι κεκρυμμένον· ὃ πάλλων ἐκεῖνος, τὴν ἐκ Πίσης παρθένον ἔλαβεν Ἱπποδάμειαν, Οἰνόμαον ἀποκτείνας.

ΙΦ. Ὦ φίλτατε, ὡς φίλτατος εἶμοι, καὶ οὐδὲν ἄλλο ἔχω σε τοὐμὸν μέλημα φίλτατ' Ὀρέστα, φάος ἔμοιγε γλυκερὸν, ἔχω σε τὸν μόνον ἀδελφὸν ὡς πόῤῥω τοῦ Ἄργους δεῦρο.

ΟΡ. Κἀγώ σε οὕτω τὴν θανοῦσαν, ὡς λέγεται παρὰ πᾶσι. νῦν δὲ δάκρυα ἡδονῆς, καὶ γόος σὺν χαρᾷ ἀμφοτέρων τὸ ὄμμα τέγγει.

ΙΦ. Βρέφος τοῦτ ἔλιπον οἴκοι ἐν ἀγκάλαις ἔτι μικρὸν τῆς τροφοῦ· ὦ κρεῖσσον, ἢ λέγειν εὐτυχῶν, φίλτατ' Ὀρέστα, ἐμὴ ψυχὴ, τίποτε φῶ; τὰ γὰρ παρόντα κρείσσω, ἢ ὥστε λέγειν.

ΟΡ. Εὐτυχοῖμεν τόγε λοιπὸν σὺν ἀλλήλοις.

ΙΦ. Ἡδονὴν πάσης ἡδονῆς πέρα λαβοῦσα, ὦ φίλαι, οὐκ ἔχω ὅπως χρήσωμαι ταύτῃ· δέος γὰρ ἔχει με, μήτι ἀποπτὰς οὗ' εἰς τὸν ἀέρα, καταλίπῃ με αὖθις· ὦ Κυκλωπίδες ἑστίαι, καὶ φίλαι Μυκῆναι, χάριν οἶδα τῆς τροφῆς, ὅτι ἀδελφὸν τουτονὶ ἐξεθρέψατε φῶς τῶν πατρῴων οἴκων.

---

οἶσθα ὡς ἐν ἄλλοις ὡς καὶ γράφω. 808. Οἰνόμαον] ἴδε ταῦτ' ἐν τῷ προλόγῳ ἀνωτέρω. 811. Τηλύγετον] ἤτοι ὁ ἔσχατος καὶ μόνος παῖς τοῦ πατρὸς, ἢ ὁ Τηλόθεν ελθών· ὃ ἐν ἐνταῦθά γε προσφυέστερον

ΟΡ. Γένει μὲν εὐτυχοῦμεν, ἐς δὲ συμφορὰς,
Ὦ σύγγον', ἡμῶν δυστυχὴς ἔφυ βίος.
ΙΦ. Ἐγὼ μέλεος οἶδ', ὅτι φάσγανον
Δέρα θῆκέ μοι μελεόφρων πατήρ.
ΟΡ. Οἴμοι! δοκῶ γὰρ οὐ παρών σ' ὁρᾷν ἐκεῖ.
ΙΦ. Ἀνυμέναιος, ὦ σύγγον', Ἀχιλλέως
Εἰς κλισίαν λέκτρων
Δολίαν ὅτ' ἀγόμαν.
Παρὰ δὲ βωμὸν ἦν δάκρυα καὶ γόοι.
ΟΡ. Φεῦ φεῦ χερνίβων τῶν ἐκεῖ!
ΙΦ. Ὤμωξα κἀγὼ τόλμαν, ἣν ἔτλη πατήρ.
Ἀπάτορ', ἀπάτορα πότμον ἔλαχον.
ΟΡ. Ἄλλα δ' ἐξ ἄλλων κυρεῖ.
Εἰ σόν γ' ἀδελφὸν, ὦ τάλαιν', ἀπώλεσας
Δαίμονος τύχα τινός!
ΙΦ. Ὦ μελέα δεινᾶς τόλμας! δείν' ἔτλαν,
Δείν' ἔτλαν, ὤ μοι σύγγονε!
Παρὰ δ' ὀλίγον ἀπέφυγες ὄλεθρον ἀνόσιον
Ἐξ ἐμᾶν δαϊχθεὶς χερῶν.
Ἁ δ' ἐπ' αὐτοῖσι τίς τελευτά,
Τίς τύχα μοι συγχωρήσει;
Τίνα σοι πόρον εὑρομένα
Πάλιν ἀπὸ πόλεως, ἀπὸ φόνου πέμψω
Πατρίδ' ἐς Ἀργείαν,
Πρὶν ἐπὶ ξίφος αἵματι σῷ
Παλαῖσαι; τόδε σὸν, ὦ μελέα ψυχὰ,
Χρέος ἀνευρίσκειν,

ΟΡ. Τὸ μὲν γένος, ὦ φιλτάτη, ἐσμὲν εὐτυχεῖς· συμφοραῖς δ' ἄλλοτ' ἄλλαις περιπεπτωκότες, δυςυχῆ διάγομεν βίον.

ΙΦ. Οἶδα κἀγὼ ἡ δύςηνος τοῦτο μάλιστα, ὁπόθ' ὁ δυςυχὴς πατὴρ καθῆκέ μοι τοῦ λαιμοῦ τὸ ξίφος.

ΟΡ· Φεῦ, φεῦ· καίπερ μὴ παρὼν τότε, ἀλλὰ δοκῶ μοι ὁρᾷν, οἷα πέπονθας.

ΙΦ. Ὁπότ' ἀπήχθην δόλῳ τῶν ἀγάμων γάμων τῶν Ἀχιλλέως εἰς τὴν δολίαν σκηνὴν ἐκείνων, δακρύων πολλῶν καὶ γόων πρὸς τῷ βωμῷ γιγνομένων.

ΟΡ. Φεῦ, φεῦ, τῶν ἀθλίων ἐκεῖ χερνίβων.

ΙΦ. Ὤμωξα κἀγὼ πρὸς τὴν τόλμην τοῦ πατρὸς τότε· τοιαύτης ἀφιλοςόργου τύχης ἔτυχον ἡ δύςηνος ἐγώ.

ΟΡ. Ἄλλα δ' ἄλλων δεινῶν πολλάκις ἀνθρώποις διάδοχα γίγνεται· αὐτίκα γάρ, εἰ ἐξ ἀλάςορός τινος ἔφθης ἀποκτείνασά με, ἕνα σοι μόνον ὄντ' ἀδελφόν, τίς οὐκ ἂν ἠλέησέ σε τῆς τόλμης;

ΦΙ. Δεινή, δεινὴ τόλμη ταῦτα, φίλτατε ἀδελφέ· παρ' ὀλίγον γὰρ τέθνηκας, ὑπ' ἀνοσίων χειρῶν σφαγείς· Ἀλλὰ νῦνγε τἀπὶ τούτοις ἡμῖν σκεπτέον· ἀνάγκη γὰρ μηχανήν τινὰ εὑρεῖν, ὅπως ἀσφαλῶς σε ὑπεκπέμψω τῶν παρόντων κινδύνων πάλιν εἰς Ἄργος, πρὶν ἢ ἀγωνίσασθαι πρὸς ξίφος καὶ φόνον· τίς οὖν ἆρά μοι πρὸς ταῦτα συμβήσεται τύχη; ἐμὸν γὰρ χρέος τοῦτ' ἐςιν ἀνευρεῖν, ὅθεν

843. Εὐτυχῶν] ὦ ἀδελφέ, ἡ ἐμὴ εὐτυχοῦσα ψυχή μου 855. Παλαῖσαι] (σε) ν ἀλλοις παλλάξαι, ὅ ἐςι, μιάναι τέγξαι τὸ ξίφος ἐν τῷ αἵματι· ἡ δὲ συνθήκη· πρὶν παλαῖσαί (σε) ἐπὶ ξίφος τῷ σῷ αἵματι, ὅ ἐστιν, ἐν κινδύνῳ τῆς ζωῆς. 855. Τόδε σὸν

Πότερον κατὰ χέρσον, οὐχὶ ναΐ,
Ἀλλὰ ποδῶν ῥιπᾷ;
Θανάτῳ πελάσεις ἄρα, βάρβαρα φῦλα
Καὶ δίο δοὺς ἀνόδους στείχων· διὰ κυανέας μὴν
Στενοπόρου πέτρας; μακρὰ κέλευθα να-
Ἴοισιν δρασμοῖς.
Τάλαινα, τάλαινα,
Τίς ἂν οὖν τάδ' ἂν ἢ θεὸς, ἢ βροτὸς, ἢ
Τί τῶν ἀδοκήτων,
Πόρον ἄπορον ἐξανύσας,
Δυοῖν τοῖν μόνοιν Ἀτρείδαιν φανεῖ
Κακῶν ἔκλυσιν;

ΧΟ. Ἐν τοῖσι θαυμαστοῖσι καὶ μύθων πέρα
Τάδ' εἶδον αὐτὴ, καὐ κλύουσ' ἀπαγγελῶ.

ΠΥ. Τὸ μὲν φίλους ἐλθόντας εἰς ὄψιν φίλων,
Ὀρέστα, χειρῶν περιβολὰς εἰκὸς λαβεῖν·
Λήξαντα δ' οἴκτων, κἀπ' ἐκεῖν' χρεὼν,
Ὅπως, τὸ κλεινὸν ὄνομα τῆς σωτηρίας
Λαβόντες, ἐκ γῆς βησόμεσθα βαρβάρου.
Σοφῶν γὰρ ἀνδρῶν ταῦτα, μὴ 'κβάντας τύχης,
Καιρὸν λαβόντας, ἡδονὰς ἄλλας λαβεῖν.

ΟΡ. Καλῶς ἔλεξας· τῇ τύχῃ δ' οἶμαι μέλειν
Τοῦδε ξὺν ἡμῖν· ἢν δέ τις πρόθυμος ᾖ,
Σθένειν τὸ θεῖον μᾶλλον εἰκότως ἔχει.

ΙΦ. Οὐδέν μ' ἐπίσχει γ' οὐδ' ἀποστήσει λόγου,

---

πρὸς ἑαυτὴν τοῦτο λέγει. 858. Ῥιπᾷ;] ἐνταῦθα στικτέον τὸ ἐρωτηματικόν· ὁμοίως

ἡμῖν τὸ πρᾶγμ' ἀσφαλέστερον εἴη· πότερον οὖν κατὰ χέρσον σε χρὴ βαδίζειν; ἀλλὰ διὰ βαρβάρων ἐθνῶν, καὶ πολλῶν ἀνοδιῶν δϊϊων, διακινδυνεύσεις· μῶν δὲ διὰ τῶν Συμπληγάδων πετρῶν, χρώμενον ναυτιλίᾳ; ἀλλὰ καὶ τοῦθ' ὡς μακρὸν ποιεῖ τὸν πλοῦν ἀνδράσιν ἀποδιδράσκουσιν· ὦ δυςυχὴς ἐγώ· τίς οὖν ἢ θεῶν, ἢ βροτῶν, ἢ ὁ,τιδήποτε τῶν ἀπροσδοκήτων, ἐξ ἀπόρου πόρον παρασχὼν, τοῖν μόνοιν νῷν τῶν Ἀτρειδῶν καταλελειμμένοιν τῶν παρόντων κακῶν λύσιν δείξει;

Ι. Θαυμαςὰ ταῦτα, καὶ λόγου παντὸς ἐπέκεινα ὄντως, ἅ τε εἶδον αὐτὴ, καὶ ἰδοῦσα, ἀπαγγελῶ καὶ ἄλλοις.

Ο. Φίλους μὲν ὄντας, ἅμ' εἰς ὄψιν πρῶτον ἐλθόντας, εἰκεῖ εἰκός ἐςι. Δεξιοῦσθαι ἀλλήλους· νῦν δὲ πληρώσαντας τὸν πόθον, καὶ παυσαμένους ὑπ' ἀλλήλων οἰκτίζεσθαι, καιρὸς λαμβάνει σκοπεῖν, ὅπως ἀσφαλῶς τῆς βαρβάρου ἐκβησόμεθα χώρας πρὸς σωτηρίαν· σοφῶν γὰρ τοῦτο, καιρὸν εὑρόντας, μὴ παραβαίνειν τὴν τύχην, ἑτέρας ἡδονὰς θηρωμένους.

Ρ. Καλῶς εἴρηταί σοι· καί τοι γὰρ ὁρῶμεν τὴν τύχην συναγωνιζομένην, ἀλλ' εἰ καὶ αὐτός τις συμπροθυμοῖτο, εἰκὸς τηνικαῦτα ἰσχυρότερα τὰ πρὸς τῶν θεῶν αὐτῷ γίγνεσθαι.

Ι. Ἀλλ' οὐκ ἂν ταῦτα μεταξὺ ἐμπεσόντα, τοῦ πρώτου με

αἱ κατωτέρω μετὰ τὸ, Πέτρας. τὸ δὲ Μὴν, ἀντὶ τοῦ γεμὴν· ἢ γραφέσθω,

Πρῶτον πυθέσθαι, τίνα πότ' Ἠλέκτρα πότμον
Εἴληχε βιότου; φίλα γὰρ ἔσται πάντ' ἐμοί.
ΟΡ. Τῷδε ξυνοικεῖ, βίον ἔχουσ' εὐδαίμονα.
ΙΦ. Οὗτος δὲ ποδαπὸς, καὶ τίνος πέφυκε παῖς;
ΟΡ. Στρόφιος ὁ Φωκεὺς τοῦδε κλήζεται πατήρ.
ΙΡ. Ὅδ' ἔστι γ' Ἀτρέως θυγατρὸς, ὁμογενὴς ἐμός;
ΟΡ. Ἀνεψιός γε, μόνος ἐμοὶ σαφὴς φίλος.
ΙΦ. Οὐκ ἦν τόθ' οὗτος, ὅτε πατὴρ ἔκτεινέ με;
ΟΡ. Οὐκ ἦν· χρόνον γὰρ Στρόφιος ἦν ἄπαις τινά.
ΙΦ. Χαῖρ', ὦ πόσις, μοι, τῆς ἐμῆς ὁμοσπόρου.
ΟΡ. Κἀμός γε σωτὴρ, οὐχὶ συγγενὴς μόνον.
ΙΦ. Τὰ δεινὰ δ' ἔργα πῶς ἔτλης μητρὸς πέρι;
ΟΡ. Σιγῶμεν αὐτά· πατρὶ τιμωρῶν ἐμῷ.
ΙΦ. Ἡ δ' αἰτία τίς, ἀνθ' ὅτου κτείνει πόσιν;
ΟΡ. Ἔα τὰ μητρός· οὐδέ σοι κλύειν καλόν.
ΙΦ. Σιγῶ· τὸ δ' Ἄργος πρὸς σὲ νῦν ἀποβλέπει;
ΟΡ. Μενέλαος ἄρχει· φυγάδες ἐσμὲν ἐκ πάτρας.
ΙΦ. Ἦ που νοσοῦντας θεῖος ὕβρισεν δόμους;
ΟΡ. Οὐκ, ἀλλ' Ἐρινύων δεῖμά μ' ἐκβάλλει χθονός.
ΙΦ. Ταῦτ' ἄρ' ἐπ' ἀκταῖς κἀνθάδ' ἠγγέλης, μανείς.
ΟΡ. Ὤφθημεν οὐ νῦν πρῶτον ὄντες ἄθλιοι.
ΙΦ. Ἔγνωκα, μητρός σ' οὕνεκ' ἠλάστρουν θεαί.
ΟΡ. Ὥσθ' αἱματηρὰ στόμι' ἐπεμβαλεῖν ἐμοί·

---

Μῶν· ἢ γοῦν ἀντ' ἐκείνου λαμβανέσθω. 887. Θυγατρὸς] Στρόφιος Ἀναξιβίαν τὴν τοῦ Ἀτρέως ἔγημε θυγατέρα (κατ' ἄλλους δὲ, Κυδραγόραν) ἐξ ἧς Πυλάδης ἐγένετο. Ὀρέστης οὖν καὶ Πυλάδης ἀνεψιοί· οὓς νῦν ἡ συνήθεια πρωτεξαδέλφους ἢ ἁπλῶς ἐξαδέλφους καλεῖ. 901. Ἠγγέλης μανείς] ἴδε ἀνωτέρω σίχ. 285.

ἀποστήσειε λόγου· ἥδιστα γὰρ ἂν ἀκοῦσαι μι πρῶτον τίνα ποτὲ βίου τύχην εἴληφεν ἡ Ἠλέκτρα.

ΟΡ. Εὐδαιμονεῖ σοι ἐκείνη, τουτωῒ ξυνοικοῦσα.

ΙΦ. Ποδαπὸς οὗτος, καὶ τίνος τυγχάνει παῖς γεγονώς;

ΟΡ. Στροφίου· ὃς κατοικεῖ τὴν φωκίδα·

ΙΦ. Οὐκοῦν συγγενὴς ἡμῖν ὅδε, Αναξιβίας γεγονὼς τῆς Ατρέως·

ΟΡ. Ανεψιὸς γάρ· ἐμοὶ δὲ καὶ μόνος σαφὴς φίλος.

ΙΦ. Ἆρ' οὐκ ἦν οὗτος, ὑπόθ' ὁ πατὴρ ἀπεκτεινέμε;

ΟΡ. Οὐκ· ὀψὲ γὰρ Στροφίῳ ἐγένετο τέκνωσις.

ΙΦ. Οὐκοῦν χαῖρέ μοι σύγε, τῆς ἐμῆς ἀδελφῆς συνευνέτα·

ΟΡ. Ἐμοὶ δὲ καὶ σωτὴρ, κοὐ μόνον συγγενής.

ΙΦ. Πῶς δ' ἔτλης κακῶς ποιῆσαι τὴν μητέρα;

ΟΡ. Τῷ πατρὶ τιμωρῶν· ἀλλ' ἐατέον ταῦτα.

ΙΦ. Αὖθ' ὅτου δ' ἐκείνη ἀπέκτεινε τὸν ἄνδρα;

ΟΡ. Ἔα καὶ ταῦτα· οὐ γὰρ καλὸν ἀκούειν.

ΙΦ. Σιγῶ· τί δέ; τὸ Ἄργος εἰς σὲ νῦν ἀποβλέπει;

ΟΡ. Οὔκ. Μενέλαος γὰρ ἄρχει, ἐμοῦ φυγάδος ὄντος.

ΙΦ. Ἆρ' ἐξυβρίσας ἐν ταραχῇ τοῦ οἴκου;

ΟΡ. Οὔκ. Ἀλλ' ἐμοῦ ἐλαυνομένου ὑπὸ τῶν Ἐριννύων.

ΙΦ. Τοῦτ' ἄρ' ἦν, ὃ κἀπὶ τῆς ἀκτῆς ἠγγέλθης πεπονθέναι.

ΟΡ. Οὐ γὰρ νῦν πρῶτον τοῦτ' ὤφθημεν πεπονθότες.

ΙΦ. Συνῆκα· μητρὸς ὁ ἀλάστωρ οἰστρηλατεῖσε.

ΟΡ. Ὥστε στόμια σκληρά μοι περιθεῖναι.

---

καὶ ἑξῆς. 904. Αἱματηρὰ στόμια] σκληρὸν χαλινόν· τὴν σκληρὰν παιδείαν

ΙΦ. Τί γάρ ποτ' ἐς γῆν τήνδ' ἐπόρθμευσας πόδα;
ΟΡ. Φοίβου κελευσθεὶς θεσφάτοις ἀφικόμην.
ΙΦ. Τί χρῆμα δράσειν; ῥητὸν, ἢ σιγώμενον;
ΟΡ. Λέγοιμ' ἄν· ἀρχαὶ δ' αἵδε μοι πολλῶν πόνων.
Ἐπεὶ τὰ μητρὸς ταῦθ', ἃ σιγῶμεν, κακὰ
Ἐς χεῖρας ἦλθε, μεταδρομαῖς Ἐριννύων
Ἠλαυνόμεσθα φυγάδες· ἔνθεν μοι πόδα,
Ἐς τὰς Ἀθήνας δή γ' ἔπεμψε Λοξίας,
Δίκην παρασχεῖν ταῖς ἀνωνύμοις θεαῖς.
Ἔστιν γὰρ ὁσία ψῆφος, ἣν Ἄρει ποτὲ
Ζεὺς εἵσατ' ἔκ του δὴ χερῶν μιάσματος.
Ἐλθὼν δ' ἐκεῖσε, πρῶτα μέν μ' οὐδεὶς ξένων
Ἑκὼν ἐδέξαθ', ὡς θεοῖς στυγούμενον·
Οἳ δ' ἔσχον αἰδῶ, ξένια μονοτράπεζά μοι
Παρέσχον, οἴκων ὄντες ἐν ταυτῷ στέγει,
Σιγῇ δ' ἐτεκτήναντ' ἀπόφθεγκτόν μ', ὅπως
Δαιτός γενοίμην πώματός τ' αὐτῶν δίχα,
Ἐς δ' ἄγγος ἴδιον ἴσον ἅπασι βακχίου
Μέτρημα πληρώσαντες, εἶχον ἡδονήν.
Κἀγὼ 'ξελέγξαι μὲν ξένους οὐκ ἠξίουν,
Ἤλγουν δὲ σιγῇ κᾀδόκουν οὐκ εἰδέναι,
Μέγα στενάζων, οὕνεκ' ἦν μητρὸς φονεύς.
Κλύω δ' Ἀθηναίοισι τἀμὰ δυστυχῆ

---

καὶ τυραννίαν ἐννοεῖ τούτοις 907. δράσειν] ἄμεινον, δράσων. 912. Λοξίας] ἴδε ταῦτα Ορές. στίχ. 1665. καὶ ἑξῆς. 915 Ἔκ του χερῶν μιάσματος] τὰ κατ' Ἀλιρρόθιον αἰνίττεται. ὃν Ἄρης φονεύσας παῖδα Ποσειδῶνος ὄντα, ἐκρίθη

ΙΦ. Αἰτία δὲ τίς διεπόρθμευσέ σε δεῦρο;

ΟΡ. Χρησμός με τοῦ Φοίβου ἐξώρμησε πρὸς τοῦτο.

ΙΦ. Τίποτε δράσοντα, εἰ ἔξεστι τοῦτ' ἀκούειν;

ΟΡ. Ἔξεστι. Ἀρχὴ δὲ τῶν ἐμῶν κακῶν ἐκεῖθεν ἐπήγασεν· ἐπεὶ γὰρ, τολμηθέν μοι ἐκεῖνο πρὸς τὴν μητέρα, ὃ νῦν ἑκόντες ὑπερβαίνομεν λέγειν, φυγὰς ἠλαυνόμην παρὰ τῶν Ἐριννύων, Φοῖβος ἔπεμψέ με Ἀθήναζε, δίκην ὑφέξοντα Εὐμενίσι· καὶ πάλαι γάρ ποτε λόγος ὁσιωτάτην αὐτόθι Ἄρει δίκην φόνου δικάσαι Δία· ἐλθόντα δέ με ἐκεῖσε πρῶτον μὲν οὐδεὶς τῶν ξένων ἐδέξατό με παρ' ἑαυτῷ καταλῦσαι, ὡς στυγούμενον τοῖς θεοῖς· ἔπειτα μόλις τινὲς αἰδούμενοι, ἐδέξαντο μέν με οἴκοι παρ' ἑαυτοῖς, ἰδιοτράπεζα δέ μοι παρέσχον ξένια, ὁμωρόφιοι μὲν ὄντες, μηδὲν δὲ φθεγγόμενοι· ὥστ' ἤνυσαν τῇ σιγῇ κἀμὲ ἄφθεγκτον ὅλως διαγενέσθαι, ἵνα καταμόνας σίτου τε καὶ ποτοῦ δίχ' αὐτῶν μεταλάβοιμι· χοέως γὰρ μεστοῦ οἴνου παρατεθειμένου ἑκάστῳ, ἴσον τὸ μέγεθος, ἔπινον ἡδέως, τῷ ἰδίῳ χρώμενος ἕκαστος· ἐγὼ δ' ὁρῶν τὸ πρᾶγμ' οἷον, οὐκ εἶχον ὅπως· μεμψαίμην ξένους· σιγῇ δὲ φέρων, προσεποιούμην μὲν μὴ εἰδέναι ἐδακόμην δὲ τἄνδον, ἐφ' οἷς ἐφόνευσα τὴν μητέρα· νῦν

παρὰ τοῖς θεοῖς ἐν τῷ πάγῳ τῷ ἐν Ἀθήναις, ᾧ ἐκ τούτου ἔπειτα ἔμεινεν ἡ ἐπίκλησις Ἄρειος πάγος. 916. Ἐλθὼν] οὕτω μᾶλλον ἀντὶ τοῦ ἐλθόντα

Τελετὴν γενέσθαι, κἄτι τὸν νόμον μένειν,
Χοῆρες ἄγγος Παλλάδος τιμᾶν λεών.
Ὡς δ' εἰς Ἄρειον ὄχθον ἧκον, ἐς δίκην τ'
Ἔστην, ἐγὼ μὲν θάτερον λαβὼν βάθρον,
Τὸ δ' ἄλλο πρέσβειρ', ἥπερ ἦν Ἐριννύων,
Εἰπὼν, ἀκούσας θ' αἵματος μητρὸς πέρι,
Φοῖβός μ' ἔσωσε μαρτυρῶν. ἴσας δέ μοι
Ψήφους διηρίθμησε Παλλὰς ὠλένῃ,
Νικῶν δ' ἀπῆρα φόνια πειρατήρια.
Ὅσαι μὲν οὖν ἕζοντο πεισθεῖσαι δίκῃ,
Ψῆφον παρ' αὐτὴν ἱερὸν ὡρίσαντ' ἔχειν.
Ὅσαι δ' Ἐρινύων οὐκ ἐπείσθησαν νόμῳ,
Δρόμοις ἀνιδρύτοισιν ἠλάστρουν μ' ἀεὶ,
Ἕως ἐς ἁγνὸν ἦλθον αὖ Φοίβου πέδον,
Καὶ πρόσθεν ἀδύτων ἐκταθεὶς, νῆστις βορᾶς,
Ἐπώμοσ' αὐτοῦ βίον ἀποῤῥήξειν θανὼν,
Εἰ μή με σώσει Φοῖβος, ὅς μ' ἀπώλεσεν.
Ἐντεῦθεν, αὐδὴν τρίποδος ἐκ χρυσοῦ λαβὼν,

---

κἂν δοκεῖ πύλοικον, (ἴδε ςίχ. 679.) ἀλλ' ἔστιν ἔμμετρον. 928. Τελετὴν γενέσθαι] ἐξηγεῖται τοῦτο σαφῶς ὁ Σχολιαστὴς Ἀριστοφάνους (Ἱπ. σελ. 196.) Χοῦς, φησὶ, μέτρον Ἀττικὸν χωροῦν κοτύλας ὀκτώ· ἔςι δὲ καὶ ἑορτὴ Ἀθήνησι· κέκληται δὲ ἀπὸ τοιαύτης αἰτίας· Ὀρέστης διὰ μητρὸς ἀναίρεσιν ἧκεν εἰς Ἀθήνας παρὰ τὸν Πανδίονα συγγενῆ καθεστῶτα, ὃς ἔτυχε τότε βασιλεύων τῶν Ἀθηναίων, καὶ αὐτὸν κατέλαβεν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα· ὁ τοίνυν Πανδίων ἀποπέμψασθαι τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγησάμενος, μὴ καθαρθέντος αὐτοῦ τῶν φόνων, ὡς ἂν μὴ ἐκ τοῦ αὐτοῦ κρατῆρος πίνοιεν, ἑκάστῳ τῶν κεκλημένων παρέθηκε χοῦν· ταῦτα μὲν ἐκεῖνος· Ἀντὶ δὲ Πανδίωνος γραφέσθω ἴσως, Δημοφῶν, ἵνα ᾖ ὁ παῖς Θησέως, ᾧ σύγ-

δ' ἀκούω καὶ τελετὴν Ἀθηναίοις νενομοθετῆσθαι τὴν ἐμὴν δυστυχίαν· καὶ ἔτι παραμένειν τὸν νόμον χοῆρες ἀγγεῖον Παλλάδος τιμᾶν ἐκείνους· ὡς δὲ εἰς Ἄρειον ἦλθον πάγον, παρῆλθον εἰς δίκην, τὴν μὲν τῶν ἑδρῶν ἐγὼ λαβὼν, τὴν δ' ἑτέραν τῆς πρεσβυτέρας τῶν Ἐριννύων καταλαβούσης· ὡς δὲ λόγων περὶ τῆς μητροκτονίας ἑκατέρωθεν γενομένων, ἀναςὰς Φοῖβος, καὶ συνηγορήσας, διέσωσέ με τῇ ἑαυτοῦ μαρτυρίᾳ· κἀκ τούτου ἴσαι ἐγένοντο ἑκατέροις αἱ ψῆφοι, Ἀθηνᾶς ἰδίᾳ χειρὶ ταύτας ἀριθμησάσης. Ἐγὼ τοίνυν τὴν περὶ φόνου ταύτην νικήσας δίκην, ἀπῆλθον ἐκεῖθεν· τῶν δ' Ἐριννύων, ὅσαι μὲν ἐκαθέζοντο, πεισθεῖσαι τοῖς ἐγνωσμένοις, παρ' αὐτὴν τὴν δίκην καθαρόν με ἀπεφήναντο εἶναι· αἱ δὲ μὴ πεισθεῖσαι, οὐκ ἐπαύοντό με δρόμοις ἀνηνύτοις καὶ ἀπεράντοις οἰςρηλατοῦσαι· μέχρις οὗ ἐλθὼν εἰς Δελφοὺς, καὶ πρὸ τοῦ ναοῦ καταβαλὼν ἐμαυτὸν, ὤμοσ' αὐτοῦ ἄσιτος διακαρτερήσειν, καὶ ἀποῤῥήξειν τὸν βίον, εἰ μήτις παρὰ τοῦ θεοῦ γένοιτό μοι θεραπεία τοῦ πάθους. Ἐντεῦθεν ἄρα φωνὴν λαβὼν ὁ θεὸς ἐκ τοῦ τρίποδος,

---

χρονος ἦν Ὀρέστης· ἄλλως δὲ πολὺς ὁ ἀναχρονισμός· Πανδίων, Ἐρεχθεὺς Αἰγεὺς, Θησεὺς, Δημοφῶν. 932. Πρέσβειρα] ἡ Τισιφόνη δήπου ἡ τοὺς φόνους τίνουσα· ἦσαν δ' αὗται τρεῖς, Τισιφόνη, Ἀληκτὼ, καὶ Μέγαιρα. 937. Ὅσαι μὲν] μήτι γραπτέον, ὅσον μέν; οἷον χρόνον· ἄλλως δὲ ἀνάγκη μίαν μὲν νεεῖν καθεσθῆναι τῇ δίκῃ, τὰς δὲ δύο ἔξω εἶναι· καὶ μὴν ἐν τῇ διώξει ἐπὶ τῆς ἀκτῆς αὖθις καὶ αἱ τρεῖς εἰσάγονται. ἴδε ἀνωτέρω στίχ. 286. ὁ γὰ[illegible]οῦς διαρθρωθήσεται μᾶλλον ὡδί. αἱ Ἐριννύες, ἐν ᾧ μὲν ἐκαθέζοντο, π[illegible]αι τοῖς ἐγνωσμένοις, ὥρισάν με παρ' αὐτῇ τῇ ψήφῳ καθαρὸν εἶνα[illegible] τοῦ φόνου· ἔξω

Φοῖβός μ' ἔπεμψε δεῦρο, διοπετὲς λαβεῖν
Ἄγαλμ', Ἀθηνῶν τ' ἐγκαθιδρύσαι χθονί.
Ἀλλ' ἥνπερ ἡμῖν ὥρισεν σωτηρίαν,
Σύμπραξον· ἢν γὰρ θεᾶς κατάσχωμεν βρέτας,
Μανιῶν τε λήξω, καί σε πολυκώπῳ σκάφει
Στείλας, Μυκήναις ἐγκαταστήσω πάλιν.
Ἀλλ', ὦ φιληθεῖσ', ὦ κασίγνητον κάρα,
Σῶσον πατρῷον οἶκον, ἔκσωσον δ' ἐμέ·
Ὡς τἄμ' ὄλωλε πάντα καὶ τὰ Πελοπιδῶν,
Οὐράνιον εἰ μὴ ληψόμεσθα θεᾶς βρέτας.
ΧΟ. Δεινή τις ὀργὴ δαιμόνων ἐπέζεσεν
Τὸ Ταντάλειον σπέρμα, διὰ πόνων τ' ἄγει.
ΙΦ. Τὸ μὲν πρόθυμον, πρίν σε δεῦρ' ἐλθεῖν ἔχω
Ἄργει γενέσθαι καὶ σὲ, σύγγον', εἰσιδεῖν,
Θέλω δ', ἅπερ σὺ σέ τε μεταστῆσαι πόνων
Νοσοῦντά τ' οἶκον, οὐχὶ τῷ κτανόντι με
Θυμουμένη, πατρῷον ὀρθῶσαι θέλω·
Σφαγῆς τε γὰρ σῆς χεῖρ' ἀπαλλάξαιμεν ἂν
Σώσαιμι δ' οἴκους· τὴν θεὸν δ' ὅπως λάθω
Δέδοικα καὶ τύραννον, ἡνίκ' ἂν κενὰς
Κρηπῖδας εὕρῃ λαΐνας ἀγάλματος.
Πῶς δ' οὐ θανοῦμαι; τίς δ' ἔνεστί μοι λόγος;
Ἀλλ' εἰ μὲν ἕν τι τοῦθ' ὁμοῦ γενήσεται,
Ἄγαλμά τ' οἴσεις κἄμ' ἐπ' εὐπρύμνου νεὼς
Ἄξεις, τὸ κινδύνευμα γίγνεται καλόν.
Τούτου δὲ χωρισθεῖσ' ἐγὼ μὲν ὄλλυμαι,
Σὺ δ' ἂν τὸ σαυτοῦ θέμενος εὖ, νόστου τύχοις.

πέμπει με δεῦρο τὸ τῆς θεοῦ διοπετὲς ληψόμενον ἄγαλμα, καὶ εἰς τὴν τῶν Ἀθηναίων ἐγκαθιδρύσοντα τοῦτο πόλιν, τοῦθ' ἡμῖν σωτηρίαν ὁρίσας· πρὸς ὃ μοι συναντιλαβέσθαι σὲ χρή· εἰ γὰρ τὸ τῆς θεοῦ κατάσχοιμεν ἄγαλμα, αὐτός τε τῆς μανίας ἀπαλλαγήσομαι, καί σε εἰς τὸ πλοῖον ἀναλαβὼν, εἰς τὴν φίλην κατάξω πατρίδα. Ἀλλ' ὦ φιλτάτη μοι ἀδελφῶν, σώσασά με, σῶσον πατρῷον οἶκον· εἰ μὴ γὰρ τὸ τῆς θεοῦ ληψοίμεθα βρέτας, αὐτός τ' ἀπολοῦμαι, καὶ πάντα τὰ Πελοπιδῶν ἐν ἐμοί.

ΧΟ. Δεινή τις ὀργὴ ἔοικε Ταντκλίδαις θεόθεν ἐνσκῆψαι, ἄλλο τε δι' ἄλλων ἰοῦσι κινδύνων.

ΙΦ. Εἰς Ἄργος μὲν ἐπανελθεῖν, καίσε τὸν φίλτατόν ποτε εἰσιδεῖν, πάλαι με ἔρως ᾕρει διηνεκὴς καὶ πρίν σε δεῦρο ἐλθεῖν· καὶ νῦν δ' αὖ βουλοίμην ἂν μάλιστα σέ τε ἀπαλλάξαι τῆς νόσου, καὶ τὸν πατρῷον ἀνορθώσασθαι οἶκον, μηδὲν μνησικακοῦσα τῷ θελήσαντί με ἀποκτεῖναι πατρί· οὕτω γὰρ τῆς τε σφαγῆς καθαρὰ εἴην ἂν, καίσε οἴκαδε σῶν ἀποπέμψαιμι· νῦν δὲ πῶς ἂν λάθοιμεν τὴν θεὸν, ὑφελόντες τὸ ἄγαλμα; πῶς δὲ καὶ τὸν τύραννον ταῦτα πράξαντες, ὁπότ' ἐλθὼν εὕρῃ κενὴν τὴν κρηπῖδα; πῶς οὖν ἂν διαφύγοιμι τὸ μὴ τίσαι δίκην; τίς δέ μοι λόγος πρὸς ταῦτα ἔσται; ἀλλ' εἰ μὲν μετὰ τοῦ ἀγάλματος συμπεριλάβοις κἀμὲ εἰς τὴν ναῦν, ἔσται καλὸν, οἶμαίγε, τὸ ἀγώνισμα· τούτου δὲ χωρισθεῖσα, ἐγὼ μὲν ἀπολοῦμαι· σὺ δ', εὖ τὸ κατὰ σεαυτὸν

---

δὲ γενόμεναι, οὐδὲν ἧττον με αἰσχλάτου· 968. Εἰ μέν τι] ἐπεξηγεῖται τοῦ·

Οὐ μήν τι φεύγω γ', οὐδέ μ' εἰ θανεῖν χρεών·
Σώσασά σ'· οὐ γὰρ ἀλλ' ἀνὴρ μὲν ἐκ δόμων
Θανὼν ποθεινὸς, τὰ δὲ γυναικὸς ἀσθενῆ.
ΟΡ. Οὐκ ἂν γενοίμην σοῦ τε καὶ μητρὸς φονεύς·
Ἅλις τὸ κείνης αἷμα. κοινόφρων δέ σοι,
Καὶ ζῆν θέλοιμ' ἂν καὶ θανὼν λαχεῖν ἴσον.
Ἄξω δέ σ', ἤν μὴ κἀυτὸς ἐνταυθοῖ πέσω,
Πρὸς οἶκον, ἢ σοῦ κατθανὼν μενῶ μέτα.
Γνώμης δ' ἄκουσον· εἰ πρόσαντες ἦν τόδε
Ἀρτέμιδι, πῶς ἂν Λοξίας ἐθέσπισεν
Κομίσαι μ' ἄγαλμα θεᾶς πόλισμ' ἐς Παλλάδος,
Καὶ σὸν πρόσωπον εἰσιδεῖν; ἅπαντα γὰρ
Συνθεὶς, νόστον ἐλπίζω λαβεῖν.
ΙΦ. Πῶς οὖν γένοιτ' ἂν, ὥστε μήθ' ἡμᾶς θανεῖν,
Λαβεῖν θ', ἃ βουλόμεσθα; τῇδε γὰρ νοσεῖ
Νόστος πρὸς οἴκους, ἥδε βούλησις πάρα.
ΟΡ. Ἆρ' ἂν τύραννον διολέσαι δυναίμεθ' ἄν;
ΙΦ. Δεινὸν τόδ' εἶπας, ξενοφονεῖν ἐπήλυδας.
ΟΡ. Ἀλλ' εἰ σὲ σώσει κἀμὲ, κινδυνευτέον.
ΙΦ. Οὐκ ἂν δυναίμην, τὸ δὲ πρόθυμον ᾔνεσα.
ΟΡ. Τί δ', εἴ με ναῷ τῷδε κρύψειας λάθρα;

---

το τοῖς ἑξῆς· εἰ μὴ ἐννοεῖ τὸν τοῦ ξοάνου δόλιον ἁγνισμόν. 974. Οὐ γὰρ ἀλλ' ἀνὴρ] γραπτέον σίζοντας οὕτω μᾶλλον. Οὐ γάρ· ἀλλ' ἀνήρ· ἵνα ᾖ καὶ τὸ ἀλλὰ ἀντὶ τοῦ, γάρ· οἷον, οὐ γὰρ φευξοῦμαι τοῦτο· ἀνὴρ γὰρ στῦλός ἐστι τοῦ οἴκου· αὐτὴ γὰρ ἔφη ἀνωτέρω. στίχ. 78.

» Στῦλοι γὰρ οἴκων εἰσὶ παῖδες ἄῤῥενες. »

Κἀν τῇ ἐν Αὐλίδι. στίχ. 1406.

» Εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρᾷν φάος. »

979. Ἄξω δέ σ'; ἢν μὴ καὐτὸς ἐνταυθοῖ πέσω] ἐν ἄλλοις, Ἥξω δέ γ' ἤνπερ καὐτὸς ἐνταυθοῖ πέσω. 988. Νόστος] γραπτέον ἴσως νόστον, ὡς κεῖται ἐν ἄλλοις. 990. Ξενοφονεῖν ἐπήλυδας] ἐμὲ δηλονότι ἐλθοῦσαν ὧδε καὶ ξενισθεῖσαν ἐπιβουλεῦσαι θάνατον τοῖς ξενίσασι.

θέμενος, ἐπανέλθοις ἂν οἴκαδε σῶος· καίτοι οὐ φεύγω τὸν θάνατον, εἴγε δεῖ τούτου πρὸς τὴν σὴν σωτηρίαν· οὔμενουν· ἀνὴρ γὰρ, ἡ γυνὴ σωθέντες, ἢ ἀπολεσθέντες οὐκ ἐν ἴσῳ ἔςαι εἰς πτῶσιν, ἢ ἀνόρθωσιν οἴκου.

ΟΡ. Μή μοι γένοιτό ποτε καὶ τῷ σῷ ἐνέχεσθαι φόνῳ· ἅλις μοι τὸ μητρῷον δεινόν· ἀλλὰ συμφρονῶν σοι τἄλλα, καὶ συζῆν σοι βουλοίμην ἂν, καὶ θανούσῃ σοι συνθανεῖν· δυοῖν γὰρ θάτερον, ἢ συνεπάξω οἴκαδε καί σε, εἰ μὴ φθὰς θῦμα γενοίμην ὧδε, ἢ μετὰ σοῦ μενων, συναποθανοῦμαι· ὃ δὲ μάλιστ' ἐπίφοβόν σοι δοκεῖ, τὸ μὴ δύνασθαι λαθεῖν τὴν θεὸν, ἐκεῖνα λογίζου· εἰ γὰρ ἦν τοῦτ' ἐναντίον Ἀρτέμιδι, πῶς ἂν ἀνεῖλεν Ἀπόλλων, λαβόντα με τὸ ἄγαλμα τὸ τῆς ἀδελφῆς, κομίσαι αὐτὸ εἰς Ἀθήνας, καὶ σοῦ τὸ πρόσωπον ἰδεῖν; ταῦτα γὰρ πάντα πρὸς ἄλληλα παραβάλλων, ἐλπίζω τεύξεσθαι νόστου.

ΙΦ. Οὐκοῦν μία μὲν ἡμῖν ἡ γνώμη, μία δὲ ἡ βούλησις, οἴκαδε ἀποδράσαι· πῶς δ' ἂν εἴη μήθ' ἡμᾶς ἀποθανεῖν, καὶ ἃ βουλόμεθα, καταπράξασθαι, τοῦτο δὴ καιρὸς ἤδη μηχανᾶσθαί σε μόνον.

ΟΡ. Ἆρ' ἐξέσται ἡμῖν τὸν τύραννον ἀποκτεῖναι;

ΙΦ. Δεινὸν τοῦτο φὴς, ἐπήλυδας ὄντας, τοὺς ξενίσαντας κτείνειν.

ΟΡ. Ἀλλ' εἰ σωτήριον τοῦθ' ἡμῖν ἔσται, τί ὅτι μὴ ἐπιχειρητέα;

ΙΦ. Οὐκ ἂν βουλοίμην, κἂν ἐπαινῶ τὴν σὴν προθυμίαν.

ΘΡ. Τί δέ; εἴ με κρύψειας ἔνδον τοῦ ναοῦ ὧδε;

ΙΦ. Ὡς δὴ σκότος λαϐόντες ἐκσωθεῖμεν ἄν;
ΟΡ. Κλεπτῶν γὰρ ἡ νὺξ, τῆς δ' ἀληθείας τὸ φῶς.
ΙΦ. Εἴσ' ἔνδον ἱεροὶ φύλακες, οὓς οὐ λήσομεν.
ΟΡ. Οἴμοι! διεφθάρμεσθα· πῶς σωθεῖμεν ἄν;
ΙΦ. Ἔχειν δοκῶ μοι καινὸν ἐξεύρημά τι.
ΟΡ. Ποῖόν τι; δόξης μετάδος, ὡς κἀγὼ μάθω.
ΙΦ. Ταῖς σαῖς ἀνίαις χρήσομαι σοφίσμασιν.
ΟΡ. Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.
ΙΦ. Φονέα σε φήσω μητρὸς ἐξ Ἄργους μολεῖν.
ΟΡ. Χρῆσαι κακοῖσι τοῖς ἐμοῖς, εἰ κερδανεῖς.
ΙΦ. Ὡς οὐ θέμις σε λέξομεν θύειν θεᾷ.
ΟΡ. Τίν' αἰτίαν ἔχουσ'; ὑποπτεύω τι γάρ.
ΙΦ. Οὐ καθαρὸν ὄντα, τὸ δ' ὅσιον δώσω φόνῳ.
ΟΡ. Τί δῆτα μᾶλλον θεᾶς ἄγαλμ' ἁλίσκεται;
ΙΦ. Πόντου σε πηγαῖς ἁγνίσαι βουλήσομαι.
ΟΡ. Ἔτ' ἐν δόμοισι βρέτας, ἐφ' ᾧ πεπλεύκαμεν;
ΙΦ. Κἀκεῖνο νίψαι, σοῦ θιγόντος ὡς, ἐρῶ.
ΟΡ. Ποῖ δῆτα πόντου; νοτερὸν εἶπας ἔκϐολον;
ΙΦ. Οὗ ναῦς χαλινοῖς λινοδέτοις ὁρμεῖ σέθεν.
ΟΡ. Σοὶ δή τις ἄλλος ἐν χεροῖν οἴσει βρέτας;
ΙΦ. Ἐγώ· θιγεῖν γὰρ ὅσιον ἔστ' ἐμοὶ μόνῃ.
ΟΡ. Πυλάδης δ' ὅδ' ἡμῖν ποῦ τετάξεται πόνου;
ΙΦ. Ταυτὸν χεροῖν σοι λέξεται μίασμ' ἔχων.
ΟΡ. Λάθρα δ' ἄνακτος, ἢ εἰδότος, δράσεις τάδε;

---

1009. Ἔτ' ἐν δόμοισι] ἀντὶ τοῦ, Ἔτι, Ἔςι, κεῖται ἐν ἄλλοις· καὶ ἐπομέ-

ΙΦ. Πρὸς τί τοῦτο; ἢ ὡς διὰ σκότους ἀποσωθεῖμεν;

ΟΡ. Νυκτὸς γὰρ τὸ κλέπτειν· ἡμέρας δὲ σαφῆ πράττειν.

ΙΦ. Τοὺς δὲ ἱεροφύλακας πῶς λήσομεν ἔνδον ὄντας;

ΟΡ. Ὡς δεινὸν τοῦτο· πῶς οὖν ἂν σωθείημεν;

ΙΦ. Καινόν τι δοκῶ μοι πρὸς τοῦτ' ἐξευρηκέναι.

ΟΡ. Τί δὲ τοῦτ' ἐστι; δεῖ γὰρ κἀμὲ εἰδέναι.

ΙΦ. Ἐπὶ τοῖς σοῖς ἁμαρτήμασι σοφιοῦμαι.

ΟΡ. Δεινὸν γὰρ τὸ θῆλυ τοιαῦτα μηχανᾶσθαι.

ΙΦ. Ἐρῶ γὰρ φυγάδ' ἐλθεῖν σε ὡς μητροκτόνον.

ΟΡ. Πρᾶττε ὅ,τι βούλει, μόνον πρὸς σωτηρίαν.

ΙΦ. Ἀθέμιτον δὲ εἶναι τῇ θεῷ τοιούτους θύειν.

ΟΡ. Τίνι δὲ αἰτίᾳ τὸ ὕποπτον ἂν φύγοις;

ΙΦ. Ὡς ἐναγῆ ὄντα· ἁγνισθέντα δὲ θύσω.

ΟΡ. Τί δ' ὑμῖν συμβαλεῖ τοῦτο πρὸς ὃ σκοποῦμεν;

ΙΦ. Προσποιήσομαί σε προκαθαρεῖν θαλάσσῃ.

ΟΡ. Τὸ δ' ἄγαλμα τί; ἐφ' ὃ ἡμῖν ὁ πλοῦς ἐνταῦθα;

ΙΦ. Κἀκεῖνο ἁγνιστέον, ὡς σοῦ θιγόντος τούτου.

ΟΡ. Πῇ δὴ ταῦτ' ἔσται, ἢ ἐν τῇ παραλίᾳ;

ΙΦ. Ἔνθ' ἡ ναῦς ἡ σὴ σαλεύει ἐπ' ἀγκύρας.

ΟΡ. Τίς δὲ μετὰ σοῦ ἄλλος συγκομίσει τὸ βρέτας;

ΙΦ. Οὐδείς· ἐμοὶ γὰρ μόνῃ θέμις θιγεῖν τούτου·

ΟΡ. Πυλάδης δ' οὗτος τίνα αἰτίαν ἕξει;

ΙΦ. Τὸ αὐτὸ δὲ καὶ οὗτος ὑποδύσεται ἄγος.

ΟΡ. Λαθοῦσα τὸν τύραννον, ἢ ἄλλως πράξεις ταῦτα;

---

νως, ἀντὶ τοῦ ἐρῶ, ἐρᾷ κεῖται· κἀν τῷ τρίτῳ στίχῳ, ἀντὶ τοῦ, Εἶπας ἔκβολον, γράφεται, εἰ ἐπ' ἔκβολον, ἑρμηνευομένου, τοῦ, Εἰ, ἀντὶ τοῦ Ἆρα.

ΙΦ. Πείσασα μύθοις· οὐ γὰρ ἂν λάθοιμί γε.
ΟΡ. Καὶ μὴν νεώς γε πίτυλος εὐήρης πάρα·
ΙΦ. Σοὶ δὴ μέλειν χρὴ τἄλλ', ὅπως ἕξει καλῶς·
ΟΡ. Ἑνὸς μόνου δεῖ, τάσδε συγκρύψαι τάδε·
Ἀλλ' ἀντίαζε καὶ λόγους πειστηρίους
Εὕρισκ'. ἔχει τοι δύναμιν εἰς οἶκτον γυνή·
Τὰ δ' ἄλλ' ἴσως ἅπαντα συμβαίη καλῶς·
ΙΦ. Ὦ φίλταται γυναῖκες, ὡς ὑμᾶς βλέπω,
Καὶ τἄμ' ἐν ὑμῖν ἐστιν ἢ καλῶς ἔχειν,
Ἢ μηδὲν εἶναι, καὶ στερηθῆναι πάτρας,
Φίλου τ' ἀδελφοῦ, φιλτάτης τε συγγόνου·
Καὶ πρῶτα μέν μοι τοῦ λόγου τάδ' ἀρχέτω.
Γυναῖκες ἐσμὲν, φιλόφρον ἀλλήλων γένος,
Σώζειν τε κοινὰ πράγματ' ἀσφαλέσταται·
Σιγήσαθ' ἡμῖν, καὶ συνεκπονήσατε
Φυγάς. καλόν τοι γλῶσσ', ὅτῳ πίστις παρῇ·
Ὁρᾶτε δ', ὡς τρεῖς μία τύχη τοὺς φιλτάτους,
Ἢ γῆς πατρῴας νόστος, ἢ θανεῖν, ἔχει.
Σωθεῖσα δ', ὡς ἂν καὶ σὺ κοινωνῇς τύχης,
Σώσω σ' ἐς Ἑλλάδ'· ἀλλὰ πρὸς σὲ δεξιᾶς,
Σέ καὶ σ' ἱκνοῦμαι, σὲ δὲ φίλης παρηΐδος,
Γονάτων τε καὶ τῶν ἐν δόμοισι φιλτάτων,
Μητρὸς, πατρός τε καὶ τέκνων, ὅτῳ κυρεῖ.
Τί φατέ; τίς ὑμῶν φησίν; ἢ τίς οὐ θέλει;
Φθέγξασθε ταῦτα; μὴ γὰρ αἰνουσῶν λόγους,
Ὄλωλα κἀγὼ καὶ κασίγνητος τάλας.

ΙΦ. Λόγῳ πείσασα· οὐ γάρ ἐστι λανθάνειν.

ΟΡ. Καὶ μὴν ἡ ναῦς ἑτοιμός ἐστι πλεῦσαι.

ΙΦ. Ἐκεῖνα δή σοι μελέτω εὖ θέσθαι πάντα.

ΟΡ. Ταῦτα μὲν οὕτως ἕξει· νῦν δ' ὅπως αἱ γυναῖκες αἵδε ἀπόῤῥητα φυλάξουσι ταῦτα, σκοπεῖσθαι δεῖ· διὸ προσιοῦσα ἐκλιπάρει, παντίοις πείθουσα λόγοις, μηδὲν τῶν σκευωρουμένων ἐκφῆναι· γυνὴ γὰρ παρὰ γυναικὸς ῥᾶστ' ἂν ἐκκαλοῖτο τὸν οἶκτον· τὰ δ' ἄλλα πάντα τάχ' ἂν καλῶς ἡμῖν προχωροίη.

ΙΦ. Ὦ φίλταται γυναῖκες, εἰς ὑμᾶς ἔχω τὴν γνώμην πᾶσαν· ἐφ' ὑμῖν γὰρ κεῖται, ἢ καλῶς τἀμὰ σχεῖν, ἢ μηκέθ' ὅλως εἶναι, πατρίδος θ' ἅμα καὶ ἀδελφοῦ, καὶ τῆς φιλτάτης ἀδελφῆς ἀποστερηθεῖσαν· δότε δέ μοι νῦν ἐντεῦθεν προοιμιάσασθαι· ἴστε γὰρ δήπου ὑμεῖς γε φιλοφρονεστάτας ἀλλήλων τὰς γυναῖκας γεγενημένας, καὶ τὰ κοινὰ σώζειν ἀσφαλεστάτας· σιγὴν τοίνυν ἔχετε τῶν παρόντων, μηδὲν πρὸς μηδένα τῶν πραττομένων ἐκφέρουσαι· καὶ ἡμῖν τόγε ἐφ' ὑμῖν συμπράττετε, ὡς εἰκὸς, τὴν φυγήν· ἄξιον δὲ χρῆμα γλῶσσα πιστή· ὁρᾶτε δὲ ὅπως ἡμῖν τρισὶ φιλτάτοις γεγενημένοις ἐπ' ἀκμῆς ξυροῦ τὰ πράγματα κεῖται, ἢ τὴν πατρίδα ἰδεῖν, ἢ ἀκλεεῖς ἀπολέσθαι· ἐπειδὰν δὲ τάχιστ' ἐκεῖσε διασωθῶ, σώσω καὶ ὑμᾶς, ἵνα τῆς αὐτῆς τύχης μέτοχοι γένησθε· ἀλλὰ πρὸς τῆς δεξιᾶς τῆσδε, δέομαί σου, καὶ σοῦ δ' ὁμοίως, καὶ σοῦ πρὸς τῆς παρειᾶς καὶ τῶν φιλτάτων, τοῦ τε πατρὸς, τῆς τε μητρὸς, καὶ τῶν τέκνων, αἷς εἴη· τί οὖν φατέ; τίς μὲν ὑμῶν νεύει, τίς δὲ οὐ νεύει ταῦτα; λέγετε· μὴ γὰρ ὑμῶν συναινουσῶν, οἰχήσεται τὰ ἡμέτερα.

ΧΟ. Θάρσει, φίλη δέσποινα, καὶ σώζου μόνον·
Ὡς ἔκ γ' ἐμοῦ σοι πάντα σιγηθήσεται,
Ἴστω μέγας Ζεὺς, ὧν ἐπισκήπτεις πέρι.

ΙΦ. Ὄναισθε μύθον καὶ γένοισθ' εὐδαίμονες!
Σὸν ἔργον ἤδη καὶ σὸν, ἐσβαίνειν δόμους,
Ὡς αὐτίχ' ἥξει τῆσδε κοίρανος χθονὸς,
Θυσίαν ἐλέγχων, εἰ κατείργασται, ξένων.
Ὦ πότνι', ἥπερ μ' Αὐλίδος κατὰ πτύχας
Δεινῆς ἔσωσας ἐκ πατροκτόνου χερὸς,
Σῶσόν με καὶ νῦν, τούσδε τ'· ἢ τὸ Λοξίου
Οὐκέτι βροτοῖσι διά σ' ἐτύτημον στόμα.
Ἀλλ' εὐμενὴς ἔκβηθι βαρβάρου χθονὸς
Ἐς τὰς Ἀθήνας· καὶ γὰρ ἐνθάδ' οὐ πρέπει
Ναίειν, παρόν σοι πόλιν ἔχειν εὐδαίμονα.

ΧΟ. Ὄρνις, ἃ παρὰ τὰς πετρίνας (Στρ. α΄.)
Πόντου δειράδας, Ἀλκυὼν,
Ἔλεγον οἶτον ἀείδεις,
Εὐξύνετον ξυνετοῖσι βοὰν,
Ὅτι πόσιν κελαδεῖς ἀεὶ μολπαῖς,
Ἐγώ σοι παραβάλλομαι
Θρήνους, ἄπτερος ὄρνις,
Ποθοῦσ' Ἑλλάνων ἀγόρους,
Ποθοῦσ' Ἄρτεμιν λοχίαν,
Ἃ παρὰ Κύνθιον ὄχθον οἰκεῖ,
Φοίνικά θ' ἁβροκόμαν,
Δάφνα τ' εὐερνέα, καὶ

1048. Σὸν ἔργον ἤδη, καὶ σὸν] πρὸς Πυλάδην καὶ Ὀρέστην ταῦτα λέγει·

ΧΟ. Θάῤῥει φίλη δέσποινα, καὶ σώζου εὐτυχῶς· ἃ γὰρ ἐπισκήπτεις, πάντ' ἀνέκπυςα ὑφ ἡμῶν φυλαχθήσεται· μάρτυς δὲ τοῦ λόγου ἐστὶν ὁ Ζεὺς αὐτός.

Φ. Ὄναισθε ὑμεῖςγε, ὧν λέγετε, καὶ εὐδαιμονοίητε· Ὑμεῖς τοίνυν ἄμφω εἰσέρχεσθε οἴκαδε· αὐτίκα γὰρ ἥξει ὁ τύραννος ἐξετάσων περὶ τῶν ξένων, εἰ ἐσφάγησαν.

Ὦ πότνια θεὸς, ἡ ἐν Αὐλίδι θυγατροκτόνου με χειρὸς διασώσασα, σῶσόν με καὶ νῦν σὺν τοῖσδε. εἰ δὲ μὴ, οὐκέτι Φοῖβος ὁ σὸς ἀδελφὸς ἀληθὴς διὰ σὲ παρ' ἀνθρώποις· ἀλλ' εὐμενὴς καταλιποῦσα τὴν βάρβαρον, ἐλθὲ εἰς τὰς κλεινὰς Ἀθήνας· οὐ γὰρ εὐπρεπές σοι ἐνθάδε κατοικεῖν, παρὸν ἔχειν ἐν Ἑλλάδι πόλιν εὐδαιμονεςάτην.

ΧΟ. Ὦ μελῳδὸς Ἀλκυὼν, ἡ παρὰ τὰς τοῦ πόντου ἀκτὰς ᾠδὴν ᾄδεις ἐλεεινὴν, τοιαύτην προϊεμένη φωνὴν, οἵαν εἰκάζειν τοὺς εὖ φρονοῦντας, ὅτι Κήϋκα τὸν ἑαυτῆς ἄνδρα θρηνοῦσα ᾄδεις, ἐγὼ ἡ ὁμοιοπαθὴς, ἄπτερος οὖσα ὄρνις, τοὺς ἐμαυτῆς θρήνους ἤδη πρὸς τοὺς σοὺς παραβάλλω, τάςτε τῶν Ἑλλήνων ποθοῦσα ἰδεῖν ἀγορὰς, ποθοῦσα Ἄρτεμιν τὴν λοχείαν, ἣ παρὰ τὸ Κύνθιον ὄρος τυγχάνει κατοικοῦσα, φοίνικάτε τὸν ἁβροκόμην καὶ τὴν εὐρύκλαδον δάφνην· καὶ πρὸς τούτοις

---

οὐ πρὸς τὸν Χορόν. 1059. Ἀλκυὼν] ὄρνις τις ἐν τοῖς παραθαλασσίοις διαιτωμένη· ἣν δὲ γυνή ποτε, ἄνδρα τὸν Κήϋκα ἔχουσα, βασιλέα ὄντα τῆς Τραχινίας. κλαίει τοίνυν τὸν ἑαυτῆς ἄνδρα ἀεὶ ἐπὶ τῶν αὐτῶν καθημένη. 1060. Ἔλεγον οἶτον] θρηνητικὴν τύχην· ληφθήτω δ' ὡς ἐπίθετον θάτερον. 1067. Κύνθιον ὄχθον] ὄρος τοῦτο τῆς Δήλου νήσου· τὰ δὲ περὶ τοῦ

Γλαυκᾶς θαλλὸν ἱερὸν ἐλαί-
Ας, Λατοῦς ὠδῖνα φίλαν,
Λίμναν θ' εἱλίσσουσαν ὕδωρ
Κύκνειον, ἔνθα κύκνος μελῳδὸς
Μούσας θεραπεύει.
Ὦ πολλαὶ δακρύων λιβάδες, (Ἀντ. α΄.)
Αἳ παρηΐδας εἰς ἐμὰς
Ἔπεσον, ἀνίκα πύργων
Ὀλλυμένων ἐνὶ ναυσὶν ἔβαν
Πολεμίων ἐρετμοῖσι καὶ λόγχαις!
Ζαχρύσου δὲ δι' ἐμπολᾶς
Νόστον βάρβαρον ἦλθον,
Ἔνθα τᾶς ἐλαφοκτόνου
Θεᾶς ἀμφίπολον κούραν,
Παῖδ' Ἀγαμεμνονίαν, λατρεύω
Βωμούς τε μηλοθύτας,
Ζηλοῦσ' ἄταν διαπαν-
Τὸς δυσδαίμον'. ἐν γὰρ ἀνάγ-
Καις οὐ κάμνει, σύντροφος ὤν,
Μεταβάλλει δυσδαιμονία.
Τὸ γὰρ μετ' εὐτυχίας κακοῦσθαι
Θνατοῖς βαρὺς αἰών.
Καὶ σὲ μὲν, πότνι', Ἀργεία (Στρ. β΄.)
Πεντηκόντορος οἶκον ἄξει·
Συρίζων δ' ὁ κηροδέτας
Κάλαμος οὐρείου Πανὸς,
Κώπαις ἐπιθωΰξει,
Ὁ Φοῖβός θ' ὁ μάντις, ἔχων

τόθ' ἱερὸν βλάστημα τῆς ἐλαίας, τὴν τῆς Λητοῦς φίλην ὠδῖνα, καὶ λίμνην τὴν τὸ κύκνειον περιέχουσα ὕδωρ, ἔνθ' ὁ κύκνος μελῳδεῖ, θεραπεύων τὰς Μούσας.

Ὦ πολλῶν δακρύων ῥοαὶ, τῶν ἐμῶν παρειῶν ποτε καταῤῥεύσασαι, ἡνίκα, πεσούσης τῆς πόλεως, ὑπὸ δορὸς πολεμίων ἐπέβην τῆς νεὼς, ἀπαγομένη αἰχμάλωτος, εἰς τήνδε τὴν βάρβαρον γῆν πολλοῦ πωληθεῖσα χρυσοῦ, ἔνθα τέταγμαι θεραπεύειν τὴν τῆς θηροκτόνου θεᾶς ἱέρειαν, τὴν τοῦ Ἀγαμέμνονός φημι θυγατέρα, καὶ τοὺς μηλοθύτας βωμοὺς τουτουσὶ διηνεκεῖ κακοδαιμονίᾳ ἐγκαρτεροῦσα· ἐν γὰρ ἀνάγκαις ἐθάς τις γενόμενος, πρᾳότερον φέρει τὴν δυστυχίαν, τὴν τοῦ πάθους αἴσθησιν παραιρούμενος κατ' ὀλίγον τῷ ἔθει· τὸ δὲ ἐν εὐτυχίαις πάσχειν ἀπροσδοκήτως τὸν βίον ἀβίωτον ἀπεργάζεται.

Σὲ μὲν, ὦ πότνια, πεντηκότορος Ἀργόθεν ἐλθοῦσα, εὐτυχῶς ἄξει οἴκαδε, Πανὸς μὲν τοῦ Ὀρείου κηροδέτοις παρὰ ταῖς κώπαις συρίζοντος σύριγξι· Φοίβου δὲ, ἑπτα-

Φοίνικος καὶ τῆς Δάφνης· ἴδε Ἑκάβη στίχ. 455. καὶ ἑξῆς. 1072. Λίμναν . . κύκνειον] τὴν παρ' Ἡροδότῳ Τροχοειδῆ καλουμένην· ἐν ᾗ οἱ κύκνοι, τικτομένου τοῦ Ἀπόλλωνος, ᾖδον μέλποντες αὐτὸν ἡμέρας ἑπτά· καθ' ἃς ὕστερον τὰς ἑπτὰ χορδὰς ἐκεῖνος τῇ ἑαυτοῦ ἔστησε λύρᾳ. 1086. Ζηλοῦσα] ἐν ἄλλοις, ζητοῦσα. 1094. Κηροδέτης] ὁ συνημμένος, εἴτουν ἡρμοσμένος κηρῷ· οἱ γὰρ τῆς

Κέλαδον έπτατόνου λύρας,
Ἀείδων ἄξει λιπαρὰν
Εὖ σ' Ἀθηναίων ἐπὶ γᾶν.
Ἐμὲ δ' αὐτοῦ λιποῦ-
Σα βήσῃ ῥοθίοις πλάταις·
Ἀέρι δ' ἱστία, πρότονοι κατὰ πρῶ-
Ραν ὑπὲρ στόλον ἐκπετάσουσι πόδα
Ναὸς ὠκυπόμπου.
Λαμπρὸν ἱππόδρομον βαίην, (Ἀντ. β'.)
Ἔνθ' εὐάλιον ἔρχεται πῦρ.
Οἰκείων δ' ὑπὲρ θαλάμων
Πτέρυγας ἐν νώτοις ἁμοῖς
Λήξαιμι θοάζουσα!
Χοροῖς δὲ σταίην, ὅθι καὶ
Παρθένος εὐδοκίμων γάμων,
Παρὰ πόδ' εἱλίσσουσα φίλας
Ματρὸς ἡλίκων θιάσους.
Ἐς ἁμίλλας χαρίτων,
Χαίτας ἁβρόπλουτον εἰς
Ἔριν ὀρνυμένα, πολυποίκιλα φά-
Ρεα καὶ πλοκάμους περιβαλλομένα
Γένυσιν ἐσκίαζον.

---

σύριγγος δάκτυλοι κηρῷ ἐπὶ γῆς τρόπιος αὐτῆς ἐμφυτεύονται. 1100. Εὖ σ' Ἀθηναίων] οὕτω μᾶλλον ἀντὶ τοῦ, εἰς Ἀθηναίων. 1104. Στόλον] τὸ ὑπὲρ τὴν πρώραν ἐς τοὔμπροσθεν πλαγίως ἐκτεταμένον ξύλον· Ἐνταῦθα δὲ τὸ Ἱστία δοκεῖ συγκεχύσθαι πρὸς τὸ Πρότονοι, καὶ τοῦτ' αὖ πρὸς τὸ Πόδα ἐν τοῖς ναυτικοῖς καὶ οὐκ ἴσμεν σαφῶς, ὅπου ἑκάτερα ἂν εἴη τακτέα· δοκοῦσι δὲ μᾶλλον πρότονοι μὲν οἱ κάλῳ εἶναι, οἱ κατά τε πρώραν καὶ πρύμνην ἑκατέρωθεν ἐπιστηρίζοντες τὸν ἱσόν. πόδες δὲ, οἱ ἐκ τῶν πλαγίων ἐπιτείνοντες τὴν κεραίαν·

χόρδῳ ἐπάδοντος λύρα, μέχρις ἂν ἀφίκῃ Ἀθήναζε εὐτυχῶς· ἐμὲ δὲ τὴν τάλαιναν καταλείψεις ἐνταῦθα, νεὼς ἐπιβᾶσα ταχυναυτούσης, τῶν θ' ἱςίων τῇ τοῦ πνεύματος κολπώσει, καὶ τῶν κατὰ τὴν πρώραν προτόνων τὸν ὑπὲρ τὸν ςόλον τῆς νεὼς πόδα ἐπιτεινόντων.

Ἀλλ' εἴθε εἴη κἀμοὶ τὸν λαμπρὸν ἐκεῖνον διϊέναι ἱππόδρομον τοῦ αἰθέρος, ἔνθα διφρεύων ὁ τῆς ἡμέρας φωςὴρ, διαχεῖ τὸ πῦρ ἐπὶ πάντα· κινοῦσαν δὲ τὰς ἐπὶ τῶν νώτων μου πτέρυγας, καταβῆναι τελευτῶσαν ἐπὶ τῶν πατρῴων θαλάμων, καὶ χοροῖς παραςῆναι, ἔνθ' ἔτι παρθένος οὖσα ὑπὸ μητρὶ, καὶ θιάσους ἐν γάμοις εὐγενῶν ὁμιλήκων ἱςᾶσα, τήντε κόμην φιλοκάλως πρὸς ἅμιλλαν τῶν χαρίτων ἁβρῶς τε καὶ φιλοτιμότερον βοςρυχίζουσα, καὶ ποικίλας ἀμοργίδας ἀμπισχομένη, συνεκάλυπτον τὸ πρόσωπον τοῖς πλοκάμοις.

---

ἀλλ' οὐδ' οὕτω πω σαφὲς τὸ χωρίον· πότερον γὰρ τὸ Ἱςία ἐνταῦθα εὐθεῖά ἐστὶν, ἢ πλαγία ἀποδοτέα ἐκ τρίτου εἰς τὸ ἐκπετάσσουσιν; εἰ μὲν τὸ πρῶτον (ὃ καὶ μᾶλλον· φύσει γὰρ τὸ ἱστίον κολπωθὲν πνεύματι, ἐκπετάσει τὸν πόδα.) παρέλκει τὸ, Πρότονοι· εἰδὲ τὸ δεύτερον, ποῦ ἀποδοτέον τὸ, Πόδα; ληφθήτω τοίνυν τὸ, πρότονοι, ὡς ἐπεξήγησις τοῦ, ἱστία· εἰδὲ μὴ, μεταβλητέον τοῦτο εἰς γενικὴν, ἱστίων. 1106. Λαμτρὸν ἱππόδρομον] τὸ λαμπρὸν στάδιον τοῦ ἡλίου, ἔνθα ἥλιος σταδιεύων, ποιεῖ τὴν ἡμέραν· ὅ ἐστι τὸν λαμπρὸν αἰθέρα. 1112. Εὐδοκίμων γάμων] τοῦτο τινὲς ἀξιοῦσι γράφειν εὐδοκίμουν· ὁμοίως δὲ καὶ κατωτέρω ἀντὶ τοῦ, χαίτης, χλιδῆς γράφουσι· κατὰ τοῦτο τοίνυν παραφράσειεν ἄντις οὕτως· Ὅθι καὶ παρθένος ἔτι οὖσα, καὶ παρὰ πόδα τῆς φίλης μητρὸς (πλησίον τῆς μητρὸς, ἢ ὑπὸ μητρὶ στρεφομένη) γάμων ἡλίκων θιάσους εἱλίσσουσα (ἐν γάμοις τῶν ὁμιλίκων χορεύουσα) εὐδοκίμουν, κεκοσμημένη εἰς ἅμιλλαν χάρτων, καὶ εἰς ἔριν χλιδῆς (τρυφῆς) ἁβροπλούτου· πολυποίκιλον δὲ ἐσθῆτα καὶ πλοκάμους ἀμπεχομένη, ἐσκίαζον γένυσιν· (καθειμένη δηλονότι τοὺς βοστρύχους ἐπὶ πολὺ, ἐπεσκίαζον τὸ πρόσωπον ἐπ' αἰδοῖ,) 1116. Χαίτας ἁβρόπλουτον] ἐν ἄλλοις, χαίτας ἁβροπλούτοιο· ὅ ἐστιν εἰς ἅμιλλαν ἁβρόπλουτον



ΙΚΗ ΔΗΜΟΚ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΘΟΑΣ, ΧΟΡΟΣ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΓΕΛΟΣ, ΑΘΗΝΑ.

ΘΟ. Ποῦ 'σθ' ἡ πυλωρὸς τῶνδε δωμάτων, γυνὴ
Ἑλληνίς; ἦ δὴ τῶν ξένων κατήρξατο;
Ἀδύτοις ἐν ἁγνοῖς σῶμα λάμπονται πυρί;
ΧΟ. Ἥδ' ἐστιν, ἥ σοι πάντ', ἄναξ, ἐρεῖ σαφῶς.
ΘΟ. (Ἔα) τί τόδε μεταίρεις ἐξ ἀκινήτων βάθρων,
Ἀγαμέμνονος παῖ, θεᾶς ἄγαλμ' ἐν ὠλέναις;
ΙΦ. Ἄναξ, ἔχ' αὐτοῦ πόδα σὸν ἐν παραστάσιν.
ΘΟ. Τί δ' ἐστιν, Ἰφιγένεια, καινὸν ἐν δόμοις;
ΙΦ. Ἀπέπτυσ'. ὁσίᾳ γὰρ δίδωμ' ἔπος τόδε·
ΘΟ. Τί φροιμιάζει νεοχμόν; ἐξαύδα σαφῶς·
ΙΦ. Οὐ καθαρά μοι τὰ θύματ' ἠγρεύσασθ', ἄναξ·
ΘΟ. Τί τοὐκδιδάξαν τοῦτό σ'; ἢ δόξαν λέγεις;
ΙΦ. Βρέτας τὸ τῆς θεοῦ πάλιν ἕδρας ἀπεστράφη.
ΘΟ. Αὐτόματον, ἤ νιν σεισμὸς ἔστρεψε χθονός;
ΙΦ. Αὐτόματον· ὄψιν δ' ὀμμάτων ξυνήρμοσεν.
ΘΟ. Ἡ δ' αἰτία τίς; ἢ τὸ τῶν ξένων μύσος;
ΙΦ. Ἥδ', οὐδὲν ἄλλο· δεινὰ γὰρ δεδράκατον.
ΘΟ. Ἀλλ' ἦ τιν' ἔκανον βαρβάρων ἀκτῆς ἔπι;
ΙΦ· Οἰκεῖον ἦλθον τὸν φόνον κεκτημένοι.

---

τῆς χαίτης. 1128. Ἀπέπτυσα] προσποιεῖται Ἰφιγένεια ἀγανάκτησιν ἐπὶ τῷ μιάσματι δῆθεν τοῦ εἰδώλου· διὸ λέγει, ἀπέπτυσα, εἴτουν ἀφοσιοῦμαι, βδελύττομαι· λέγω γὰρ τοῦτο οὐ πρὸς σε, μὴ τοῦθ' ὑπολάβῃς σύ γε, ἀλλὰ διὰ τὴν

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΘΟΑΣ, ΧΟΡΟΣ, ΙΦΙΓΕΝΕΙΑ, ΑΓΓΕΛΟΣ, ΑΘΗΝΑ.

ΘΟ. Ποῦ ἐστιν ἡ Ἑλληνὶς, ἡ τῶν ἀνακτόρων τούτων τῆς θεοῦ τὴν φυλακὴν ἐπιτέτραπται ἔχειν; ἆρά γε κατήρξατο ἤδη τῶν ξένων; τὰ δὲ σώματα αὐτῶν ὡλοκαύτωται ἐν ἀδύτοις, ἢ οὐδὲν οὔπω τούτων πέπρακται ὧδε;

ΧΟ. Ἰδοὺ αὕτη· μάνθανε παρ' αὐτῆς ἀνιςορῶν ὅ,τι βούλει·

ΘΟ. Ἔα! τί τοῦθ' ὁρῶ; τί τὸ τῆς θεοῦ ἕδος ἐκ βάθρων ἀκινήτων ἀναμοχλεύσασα οὑτωσὶ μεταίρεις, ἐν ὠλέναις;

ΙΦ. Ἄναξ, ςῆθι αὐτοῦ ἐν προθύροις, μὴ χωρῶν ἐγγυτέρω.

ΘΟ. Τίποτε καινοτομεῖς αὐτὴ, ταῦτα πράττουσα ὧδε;

ΙΦ. Ἀφοσιοῦμαι· τοῦτο γὰρ πρὸς τὸ πρᾶγμα θέμις εἰπεῖν.

ΘΟ· Τίσοι βούλεται τὰ προοίμια ταῦτα; λέγε σαφῶς.

ΙΦ. Ἃ γὰρ ἠγρεύσατε θύματα τῇ θεῷ οὐχ ἁγνά.

ΘΟ. Πόθεν ἔχεις τοῦτο μαθοῦσα, ἢ γνώμην λέγεις;

ΙΦ. Τὸ γὰρ βρέτας ἀπεςράφη τῆς ἕδρας πάλιν.

ΘΟ. Αὐτόματον, ἢ σεισμοῦ τινὸς γενομένου;

ΙΦ. Αὐτόματον δήπου, κατάμυσαν γε αἴφνης.

ΘΟ. Ἐφ' ὅτῳ δήποτε, ἢ τοὺς ξένους ἀποςρεφόμενον;

ΙΦ. Δοκεῖ· δεινὰ γὰρ τυγχάνουσι πεπραχότες.

ΘΟ. Μή τινα τῶν βαρβάρων ἀποβάντες ἀνεῖλον;

ΙΦ. Οὔκ· ἀλλὰ συγγενῆ φόνον ἦκον τετολμηκότες.

---

ὁσίαν, ὅ ἐστι τὸ θεμιτὸν καθῆκον πρὸς τὸ θεῖον· ἐν ἄλλοις δὲ ἀντὶ τοῦ ὁσίᾳ κεῖται Ὁσία ἐν εὐθεία· οὕτω δὲ ἀναφέρεται εἰς τὴν ἱέρειαν ἀντὶ τοῦ καθαρὰ

ΘΟ. Τίν'; εἰς ἔρον γὰρ τοῦ μαθεῖν πεπτώκαμεν.
ΙΦ. Μητέρα κατειργάσαντο κοινωνῷ ξίφει.
ΘΟ. Ἄπολλον, οὐδ' ἐν βαρβάροις τόδ' ἔτλη τις ἄν.
ΙΦ. Πάσης διωγμοῖς ἠλάθησαν Ἑλλάδος.
ΘΟ. Ἦ τῶνδ' ἕκατι δῆτ' ἄγαλμ' ἔξω φέρεις;
ΙΦ. Σεμνόν γ' ὑπ' αἰθέρ', ὡς μεταστήσω φόνου.
ΘΟ. Μίασμα δ' ἔγνως τοῖν ξένοιν ποίῳ τρόπῳ;
ΙΦ. Ἤλεγχον, ὡς θεᾶς βρέτας ἀπεστράφη πάλιν.
ΘΟ. Σοφήν σ' ἔθρεψεν Ἑλλὰς, ὡς ᾔσθου καλῶς.
ΙΦ. Καὶ νῦν καθεῖσαν δέλεαρ ἡδύ μοι φρενῶν.
ΘΟ. Τῶν Ἀργόθεν τι φίλτρον ἀγγέλλοντε σοί;
ΙΦ. Τὸν μόνον Ὀρέστην ἐμὸν ἀδελφὸν εὐτυχεῖν.
ΘΟ. Ὡς δή σφε σώσαις ἡδοναῖς ἀγγελμάτων;
ΙΦ. Καὶ πατέρα γε ζῆν καὶ καλῶς πράσσειν ἐμόν.
ΘΟ. Σὺ δ' ἐς τὸ τῆς θεοῦ γ' ἐξένευσας εἰκότως.
ΙΦ. Πᾶσάν γε μισοῦσ' Ἑλλάδ', ἥ μ' ἀπώλεσεν.
ΘΟ. Τί δῆτα δρῶμεν, φράζε, τοῖν ξένοιν πέρι;
ΙΦ. Τὸν νόμον ἀνάγκη τὸν προκείμενον σέβειν.
ΘΟ. Οὔκουν ἐν ἔργῳ χέρνιβες ξίφος τε σόν;
ΙΦ. Ἁγνοῖς καθαρμοῖς πρῶτά νιν νίψαι θέλω.
ΘΟ. Πηγαῖσιν ὑδάτων, ἢ θαλασσίᾳ δρόσῳ;
ΙΦ. Θάλασσα κλύζει πάντα τἀνθρώπων κακά.
ΘΟ. Ὁσιώτερον γοῦν τῇ θεῷ πέσοιεν ἄν.
ΙΦ. Καὶ τἀμά γ' οὕτω μᾶλλον ἂν καλῶς ἔχοι.
ΘΟ. Οὔκουν πρὸς αὐτὸν ναὸν ἐκπίπτει κλύδων;

---

ἁγνή. 1148. Δέλεαρ] ἡδονήν· μεταξὺ δ' ἀνιστοροῦσα περὶ τοῦ πράγματος ἔμαθον, καὶ περὶ τῶν ἐμῶν τι. 1162. Καὶ τἀμὰ οὕτω μᾶλλον ἂν καλῶς ἔχοι]

ΘΟ. Τίνα τοῦτον φής; βούλομαι γὰρ εἰδέναι.
ΙΦ. Κοινῷ ξίφει τὴν ἑαυτῶν ἀνεῖλον μητέρα.
ΘΟ. Ἄπολλον! οὐδὲ βαρβάροις τετόλμηται τοιαῦτα.
ΙΦ. Διὸ παντοίως ἐξελήλανται τῆς Ἑλλάδος.
ΘΟ. Τούτου οὖν ἕνεκα ἐκτοπίζεις τὸ βρέτας;
ΙΦ. Ὅπως ἐν τῷ αἰθέρι ἀποκαθάρω τοῦ φόνου.
ΘΟ. Πῶς δὲ συνῆκας τὸ μίασμα τῶν ξένων;
ΙΦ. Ἀνιςοροῦσα, τοῦ εἰδώλου μεταςραφέντος.
ΘΟ. Ὡς σοφή γε εἶ, καλῶς ἀνατραφεῖσα.
ΙΦ. Ἀλλὰ καὶ πρὸς ἡδονήν μοι τὶ ἐξέφρασαν ἐκεῖνοι·
ΘΟ. Φίλον τι Ἀργόθεν σοι ἐξηγγελκότες;
ΙΦ. Ὀρέστην εὐτυχεῖν τὸν φίλτατόν μοι πάντων·
ΘΟ. Συνῆκα· τὴν ἑαυτῶν πραγματεύονται σωτηρίαν.
ΙΦ. Καὶ τὸν πατέρα δὲ ζῆν εὐδαιμονοῦντα.
ΘΟ. Σὺ δ᾽ οὖν τὴν θεὸν προὐτίμησας εἰκότως.
ΙΦ. Πῶς γὰρ οὔ, μισοῦσα τὴν Ἑλλάδα;
ΘΟ. Τὶ οὖν πρακτέον ἡμῖν περὶ τῶν ξένων;
ΙΦ. Ἀνάγκη τὸν ὑπάρχοντα τηρῆσαι νόμον.
ΘΟ. Ποῦσοι τοίνυν οἱ χέρνιβες καὶ τὸ ξίφος;
ΙΦ. Δεῖ δὴ καθαρμῷ αὐτοὺς ἁγνίσας πρῶτον·
ΘΟ. Πηγαίοις ὕδασιν, ἢ ἐν θαλαττίοις;
ΙΦ. Καθαρτικώτερον τὸ τῆς θαλάσσης πάντως.
ΘΟ. Ὁσιώτερον δ᾽ οὕτω καὶ τῇ θεῷ τάχ᾽ ἂν εἴη.
ΙΦ. Ἀλλὰ καὶ πρὸς τἀμαυτῆς συντείνει μᾶλλον·
ΘΟ. Τὸν δ᾽ ἁγνισμὸν ἐν τῷ ναῷ ποιήσεις;

---

Ἐν μελετᾷ δρασμὸν ὑπαινίττεται τούτοις· δισήμαγτος γὰρ ὁ λόγος.

ΙΦ. Ἐρημίας δεῖ· καὶ γὰρ ἄλλα δράσομεν·
ΘΟ. Ἄγ', ἔνθα χρήζεις. οὐ φιλῶ τἄῤῥηθ' ὁρᾷν.
ΙΦ. Ἀγνιστέον μοι καὶ τὸ τῆς θεοῦ βρέτας.
ΘΟ. Εἴπερ γε κηλὶς ἔϐαλέ νιν μητροκτόνος.
ΙΦ. Οὐ γὰρ ποτ' ἄν νιν ἠράμην βάθρων ἄπο.
ΘΟ. Δίκαιος ἡυσέϐεια καὶ προμηθία.
Ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις.
ΙΦ. Οἶσθα νῦν ἅ μοί γενέσθω;
ΘΟ. Σὸν τὸ σημαίνειν τόδε.
ΙΦ. Δεσμὰ τοῖς ξένοισι πρόσθες.
ΘΟ. Ποῖ δέ σ' ἐκφύγοιεν ἄν;
ΙΦ. Πιστὸν Ἑλλὰς οἶδεν οὐδέν.
ΘΟ. Ἴτ' ἐπὶ δεσμὰ, πρόσπολοι.
ΙΦ. Κἀκκομιζόντων δὲ δεῦρο τοὺς ξένους.
ΘΟ. Ἔσται τάδε.
ΙΦ. Κρᾶτα κρύψαντες πέπλοισιν·
ΘΟ. Ἡλίου πρόσθεν φλογός;
ΙΦ. Σῶν τέ μοι σύμπεμπ' ὀπαδῶν.
ΘΟ. Οἵδ' ὁμαρτήσουσί σοι.
ΙΦ. Καὶ πόλει πέμψον τιν', ὅστις σημανεῖ.
ΘΟ. Ποίας τύχας;
ΙΦ. Ἐν δόμοις μίμνειν ἅπαντας.
ΘΟ. Μὴ συναντῷεν φόνῳ;
ΙΦ. Μυσαρὰ γὰρ τὰ τοιάδ' ἐστί.

---

1167. Ἔϐαλεν] ἐν ἄλλοις, ἔλαϐεν· ἄμεινον ἴσως. 1170. Ὡς εἰκότως σε πᾶσα θαυμάζει πόλις] εἰκότως τις ἐνταῦθα τὸν στίχον μετέθηκε τοῦτον, κείμενον ἐν ἄλλοις μετὰ ἕνδέκατον τούτου στίχον, ἰαμϐικὸν ὄντα ἐν τροχαϊκοῖς ἀναρμόςως.

ΙΦ. Ἐρημίας ἡμῖν δεῖ, ὡς καὶ ἄλλων πραχθησομένων.

ΘΟ. Ἄγε, ὅποι ἂν θέλῃς· τὰ γὰρ ἀόρατα ὁρᾶν οὐκ ἂν βουλοίμην.

ΙΦ. Ἀγνιστέον δέ μοι καὶ τὸ τῆς θεοῦ βρέτας.

ΘΟ. Εἴπερ ἀνεπλήσθη τῆς μητροκτονίας.

ΙΦ. Οὐ γὰρ ἂν ἐκίνουν αὐτὸ ἀπὸ τῆς ἕδρας.

ΘΟ. Ἐπαινῶ σε πρὸς τῷ εὐσεβεῖ καὶ τὸ τῆς προμηθείας· καὶ δικαίως σε πᾶσα θαυμάζει πόλις.

ΙΦ. Οἶσθ' οὖν, ὃ ὀφείλεις μοι συμπρᾶξαι;

ΘΟ. Πῶς γὰρ, εἰ μὴ σὺ τοῦτ' εἴποις πρῶτον;

ΙΦ. Ἐπίθες εὖ μάλα δεσμὰ τοῖς ξένοις.

ΘΟ. Μάτην τοῦτο οἶμαι· ποῖ γὰρ ἂν ἐκφύγοιέν σε;

ΙΦ. Ἄπιςα γὰρ ἐστ' ἀεὶ τὰ τῆς Ἑλλάδος.

ΘΟ. Ἴτε οὖν ὑμεῖς οἱ πρόσπολοι, δεσμεῖτε.

ΙΦ. Ἀγέτωσαν δὲ δεῦρο καὶ τοὺς ξένους.

ΘΟ. Ἔςαι σοι καὶ ταῦτα.

ΙΦ. Καλύψαντες αὐτοὺς ὑπὸ θοιματίῳ πρὸς τὸ φῶς τοῦ ἡλίου· δεῖ δέ μοι συμπέμψαι καί τινας τῶν σαυτοῦ θεραπόντων.

ΘΟ. Ἰδοὺ οἵδε, ἀκολουθήσουσί σοι.

ΙΦ. Σήμανον καὶ τοῖς πολίταις ἅπαντας μένειν οἴκοι.

ΘΟ· Τί δή; ἢ ὅπως μὴ μιανθῶσιν;

ΙΦ. Ἀποτρόπαια καὶ μυσαρὰ τὰ τοιαῦτα.

---

1171. Οἶσθα νῦν ἅ μοι γενέσθω] ὅμοιον τοῦτο τῷ, Οἶσθα, ὃ δρᾶσον (ἴδε Ἰφ. Αὐλ. στίχ. 731) ἔστι δὲ ἀντὶ τοῦ οἶσθα. ὃ γενήσεταί μοι παρὰ σοῦ, ἢ ὃ δράσεις μοι; 1175. Κρᾶτα κρύψαντες] ἐν ἄλλοις κεῖται, κατακρύψαντες.

ΘΟ. Στεῖχε, καὶ σήμαινε σύ.
ΙΦ. Μηδέν' εἰς ὄψιν πελάζειν.
ΘΟ. Εὖ γε κηδεύεις πόλιν.
ΙΦ. Καὶ φίλων γ' οὐδεὶς μάλιστα.
ΘΟ. Τοῦτ' ἔλεξας εἰς ἐμέ.
ΙΦ. Σὺ δὲ μένων αὐτοῦ πρὸ ναῶν, τῇ θεῷ
ΘΟ. Τί χρῆμα δρῶ;
ΙΦ. Ἅγνισον πυρσῷ μέλαθρον.
ΘΟ. Καθαρὸν ὡς μόλῃς πάλιν;
ΙΦ. Ἡνίκ' ἂν δ' ἔξω περῶσιν οἱ ξένοι,
ΘΟ. Τί χρή με δρᾶν,
ΙΦ. Πέπλον ὀμμάτων προθέσθαι.
ΘΟ. Μὴ παλαμναῖον λάβω;
ΙΦ. Ἢν δ' ἄγαν δοκῶ χρονίζειν,
ΘΟ. Τοῦδ' ὅρος τίς ἐστι μοι;
ΙΦ. Θαυμάσῃς μηδέν.
ΘΟ. Τὰ τῆς θεοῦ πρᾶσσ' ἐπὶ σχολῆς καλῶς.
ΙΦ. Εἰ γὰρ, ὡς θέλω, καθαρμὸς ὅδε πέσοι!
ΘΟ. Συνεύχομαι.
ΙΦ. Τούσδ' ἄρ' ἐκβαίνοντας ἤδη δωμάτων ὁρῶ ξένους
Καὶ θεᾶς κόσμους, νεογνούς τ' ἄρνας, ὡς φόνῳ φόνον
Μυσαρὸν ἐκνίψω, σέλας τε λαμπάδων τάτ' ἄλλ', ὅσα
Προὐθέμην ἐγὼ ξένοισι, καὶ θεᾷ καθάρσια.

1183. Πυρσῷ μέλαθρον] οὕτως ἐξ ἄλλης γραφῆς ἀντὶ τοῦ χρυσῷ· ἢ γραπτέον Χρυσοῦν μέλαθρον. 1188. Εἰ γὰρ] εἴθε μοι γένοιτο εὖ θέσθαι τὰ περὶ τοῦ καθαρμοῦ· ὑπαι-

ΘΟ. Ἴθι σὺ, λέγε μηδένα ἐξελθεῖν εἰς θέαν.

ΙΦ. Εὖγε τῆς πόλεως κήδῃ· ἀλλὰ καὶ τῶν φίλων αὐτῶν μηδεὶς ὧδε προσίτω.

ΘΟ. Οἶδα· πρὸς ἐμὲ ταῦτ' αἰνίττῃ·

ΙΦ. Σοὶ γὰρ αὐτοῦ παρὰ τῇ θεῷ μενετέον.

ΘΟ. Τί δήποτε πράττοντα;

ΙΦ. Τὸ ἱερὸν γὰρ πυρί σε δεῖ καθάραι.

ΘΟ. Ἵν' εὕρῃς καθαρὸν, ἐπανελθοῦσα;

ΙΦ. Ἡνίκα δ' αὖ οἱ ξένοι ἐξέλθοιεν τοῦ οἴκου.

ΘΟ. Τί με δεῖ πράττειν τότε;

ΙΦ. Καλύψασθαι θοιματίῳ.

ΘΟ. Μή τις προστροπήμοι γένηται τοῦ φόνου;

ΙΦ. Κἂν δὲ δόξω πολὺν χρονίζειν χρόνον —

ΘΟ. Τίνα προμήθειάν μοι πρὸς τοῦτο τίθῃς;

ΙΦ. Μὴ θαυμάσῃς εἰς τοῦτο μηδὲν αὐτός γε.

ΘΟ. Πρᾶττε ἡσύχως τὰ θεῖα, ὅπως οἶσθα.

ΙΦ. Εἴη μοι γενέσθαι τὸν καθαρμὸν ὡς θέλω.

ΘΟ. Κἀγὼ συνεύχομαί σοι ταῦτα.

ΙΦ. Ἤδη δ' ὁρῶ τοὺς ξένους προϊόντας, τόν τε κόσμον τῆς θεοῦ, καὶ ἄρνας νεογνοὺς, ἵνα σφάξασα τούτους, φόνῳ τὸν παλαμναῖον ἐκνίψω φόνον, τό,τε φῶς τῶν λαμπάδων, καὶ τἄλλα, ὅσα μοι προμεμήθευται τῇτε θεῷ καὶ τοῖς ξένοις καθάρσια. Εἴτις οὖν τῶν πυλωρῶν τῶν

---

νίττεται αὖθις ὃ βούλεται δρᾶσαι· ὁ δὲ, καὶ συνεύχεται ταῦτα, μὴ εἰδὼς τὸ σκευώρημα. 1190. Νεογνούς τε ἄρνας] διώρθωσα τοῦτο οὕτως ἀντὶ τοῦ νεογνούς τ' ἄρσενας κατ' ἄλλους, καὶ ἔοικεν ἡ διόρθωσις ὀρθῶς ἔχειν, ἵν' ᾖ, ὡς φόνῳ τῶν

Ἐκποδὼν δ' αὐδῶ πολίταις τοῦδ' ἔχειν μιάσματος,
Εἴ τις ἢ ναῶν πυλωρὸς χεῖρας ἁγνεύει θεοῖς,
Ἢ γάμον στείχει συνάψων, ἢ τόκοις βαρύνεται,
Φεύγετ', ἐξίστασθε, μή τῳ προσπέσῃ μύσος τόδε.
Ὦ Διὸς Λητοῦς τ' ἄνασσα παρθέν', ἢν νίψω φόνον
Τῶνδε καὶ θύσωμεν, οὗ χρὴ, καθαρὸν οἰκήσεις δόμον,
Εὐτυχεῖς δ' ἡμεῖς ἐσόμεθα. τἆλλα δ' οὐ λέγουσ', ὅμως
Τοῖς τὰ πλείον' εἰδόσιν θεοῖς, σοί γε σημαίνω, θεά.

ΧΟ. Εὔπαις ὁ Λατοῦς γόνος, (Στρ.)
Ὅν ποτε Δηλιάσιν καρποφόροις
Γυάλοισι χρυσοκόμαν
Φοῖβον ἐν κιθάρᾳ σοφὸν, ἅ τ' ἐπὶ
Τόξων εὐστοχίᾳ γάνυται,
Φέρε νιν ἀπὸ δειράδος ἐναλίας,
Λοχεῖα κλεινὰ λιποῦσα
Ἀστάκτων μάτηρ ὑδάτων,
Τὰν βακχεύουσαν Διονύ-
σῳ Παρνάσιον κορυφὰν,
Ὅθι ποικιλόνωτος οἰνωπὸς δράκων
Σκιερᾷ κατάχαλκος εὐφύλλῳ δάφνᾳ,
Γᾶς πελώριον τέρας, ἄμφεπε *
* * Μαντεῖον χθόνιον.
Ἔτι μιν ἔτι βρέφος, ἔτι φίλας
Ἐπὶ ματέρος ἀγκάλαισι θρώσκων
Ἔκανες, ὦ Φοῖβε, μαν-
τείων δ' ἐπέβας ζαθέων,

---

ἀρνῶν ἐκνίψω φόνον μυσαρὸν, ὅ ἐστι τὴν μητροκτονίαν. 1198. Οὗ χρὴ] ἐννοεῖ

ναῶν, ἁγνὸς ὢν θεοῖς, ἢ πρὸς γάμον σπεύδει, ἢ εἴτις ἐστὶν ἐπίτεξ, πάντες ἵστασθε ἐκποδὼν τοῖς παροῦσι, μήτῳ προστριβὴ τις γένηται φόνου. Ὦ Λητοῦς καὶ Διὸς θύγατερ, ἄνασσα παρθένε, ἣν τὸ τούτων ἄγος ἐκτρίψωμεν καλῶς, καὶ θυσωμεν, οὗ χρὴ, ἐν καθαρωτάτῳ ναῷ οἰκήσεις· χ' ἡμεῖς ἐσόμεθα εὐτυχεῖς· τὰ δὲ πλείω σιωπῇ σοί τε καὶ τοῖς ἄλλοις εὔχομαι θεοῖς τοῖς τὰ πάντα ἐπισταμένοις.

ΧΟ. Ὡς εὐτυχὴς καὶ καλλίπαις ἐστὶν ἡ τῆς Λητοῦς τέκνωσις, ὅ,τε χρυσοκόμης Ἀπόλλων, ὁ μάλιστ' εὖ εἰδὼς κιθαρίζειν, καὶ ἡ Ἄρτεμις ἡ παρθένος, ἣ ἐπ' εὐςοχίᾳ ἀγγάλλεται τόξων· οὓς ἡ μήτηρ ἐν καρποφόροις τῆς Δήλου χώραις ποτὲ τεκοῦσα, τὰ κλεινὰ τῶν ἀειῤῥόων ὑδάτων καταλιποῦσα λοχεῖα, ἤγαγεν αὐτὸν Φοῖβον εἰς τὴν τοῦ Παρνασοῦ κορυφὴν τὴν Διονύσῳ ἀνατεθειμένην καὶ βακχικήν· ἔνθα Δράκων φοινικόεις ποικιλόμορφος, ὑπὸ σκιαρᾷ κατάχαλκος δάφνῃ, τέρας τῆς γῆς ἐποφώλιον, ὑποχθόνιον κατεῖχε μαντεῖον· ὃν αὐτὸς ὦ Φοῖβε ἄναξ, βρέφος ἔτι ὢν, ἔτι ἐν ἀγκάλαις τῆς φίλης κινούμενος μητρὸς, ἀποκτείνας, ἐκράτησας τοῦ

---

τὰς Ἀθήνας. 1201. Εὔπαις γόνος] οὐ μόνον Ἀπόλλωνα, ἀλλὰ καὶ Ἄρτεμιν ἐννοεῖ, ὡς εἰ ἔλεγεν, εὐγενὴς ἡ τῆς Λητοῦς ἐστι τέκνωσις· τὸ δὲ Δηλίας (ἐν ἄλλοις Δηλιάσι) συνυπακούει δὲ τὸ, γῆς, ἔξωθεν. 1204. Ἅ τ' ἐπὶ τόξων] ἀνορθώσας τὸν λόγον, κατέλιπέ πως τὸν ἀνωτέρω ἀναπόδοτον, δέον εἰπεῖν, τήντ' ἐπὶ τόξων εὐστοχίᾳ γενομένην Ἄρτεμιν.. 1206. Φέρε νίν] ἐν ἄλλοις κεῖται φέρει· ἀπῴκισεν αὐτοὺς ἡ μήτηρ ἀπὸ τῆς ἀκτῆς τῆς Δήλου εἰς τὸν Παρνασὸν (ὅπου ἐστὶν ἄμπελος ἀφιερωμένη τῷ Διονύσῳ. ἴδε Φοίνισ- στίχ. 236.) καταλιποῦσα τὰ λοχεῖά τῶν ἀστάκτων ὑδάτων (τὸν παραθαλάσσιον τόπον, ἔνθα ἐγέννησεν αὐτοὺς παρὰ τῇ θαλάσῃ τῇ στασίμῳ καὶ μὴ ῥεούσῃ· ἢ τῇ

Τρίποδί τ' ἐν χρυσέῳ
Θάσσεις, ἐν ἀψευδεῖ θρόνῳ,
Μαντείας βροτοῖς ἀναφαίνων
Θεσφάτων ἐμῶν ἀδύτων, ὕπερ
Κασταλίας ῥεέθρων γείτων, μέσον
Γᾶς ἔχων μέλαθρον.
Θέμιν δ' ἐπεὶ γᾶς ἰὼν (Ἀντ.)
Παῖδ' ἀπενάσσατ' Ἀπόλλων ζαθέων
Χρηστηρίων, νύχια
Χθὼν τεκνώσατο φάσματ' ὀνείρων,
Οἳ πολέσιν μερόπων τά τε πρῶ-
Τα, τά τ' ἔπειθ', ὅσα τ' ἔμελλε τυχεῖν,
Ὕπνου κατὰ δνοφερᾶς γᾶς
Εὐνὰς φράζον· Γαῖα δὲ τὰν
Μαντείων ἀφείλετο τι-
Μὰν Φοῖβον φθόνῳ θυγατρός.
Ταχύπου δ' ἐς Ὄλυμπον ὁρμαθεὶς ἄναξ,
Χέρα παιδνὸν ἕλιξεν ἐκ Διὸς θρόνων
Πυθίων δόμων χθονίαν ἀφελεῖν
Θεᾶς μῆνιν, νυχίους τ' ἐνοπάς.
Γέλασε δ', ὅτι τέκος ἄφαρ ἔβα,
Πολύχρυσα θέλων λατρεύματα σχεῖν.

---

πολυῤῥόῳ. 1223. Μέσον γῆς ἔχων μέλαθρον] οὕτω κἀν τῇ Μηδ. (στίχ. 666 ὀμφαλὸν γῆς θεσπῳδόν· δόξα γὰρ αὕτη παρὰ τοῖς παλαιοῖς ἐπεκράτει μέσον τῆς γῆς τοὺς Δελφοὺς εἶναι. ἴδε Ὀρ. στίχ. 325, 584. 1225. Θέμιν] Ἀπόλλων, μαθὼν τὴν μαντικὴν παρὰ τοῦ Πανὸς, ἧκεν εἰς Δελφοὺς χρησμῳδούσης τότε Θέμιδος· ὡς δὲ ὁ Φρουρῶν τὸ Μαντεῖον Πύθων ὄφις ἐκώλυεν αὐτὸν παρελθεῖν ἐπὶ τὸ χάσμα, ἀνελὼν τοῦτον, παραλαμβάνει τὸ μαντεῖον· κἀκ τούτου

μαντείου· καὶ τοῦ τρίποδος ἐπιβὰς, τῆς ἀψευδοῦς ἕδρας τῶν θεοφαντορικῶν ἔμοιγ' ἀδύτων ἐγγὺς Κασταλίας τῆς Καλλιῤῥόου κατὰ τὸν τῆς γῆς ὀμφαλὸν, προφαίνει τοῖς βροτοῖς τὰς μαντείας.

Ἐπειδὴ δ' ἐλθὼν αὐτοῦ, ἀπεώσατο Θέμιν τὴν παῖδα τῆς γῆς, ἀγανακτήσασα ἐπὶ τούτῳ ἡ μήτηρ, καὶ παντοίους ὀνείρους τεκνώσασα, οἱ ἐν σκοτεινῇ τῇ εὐνῇ οἷον ὑπὸ γῆν, γενόμενοι τοῖς ἀνθρώποις καθ' ὕπνους ἔφραζον αὐτοῖς τά τε παρόντα, τά τε προόντα, τάτ' ἐσόμενα, ἀφείλετο Φοῖβον τὸ τιμᾶσθαι ἐπὶ τῇ μαντείᾳ. τῇ θυγατρὶ εἰκότως ἀμύνουσα· ὁ δὲ ἀναΐξας εἰς Ὄλυμπον, ἥψατο χειρὶ ἁπαλῇ τοῦ θρόνου τοῦ Διὸς, δεόμενος αὐτοῦ τὴν τῆς θεοῦ μῆνιν κατὰ τοῦ μαντείου, καὶ τὰ ἐν ὕπνοις γενόμενα φάσματα ἀφελεῖν· Ζεὺς δὲ, ἰδὼν τὸ παιδίον, εὐθὺς ἐλθὸν ὡς αὐτὸν, καὶ τὸ ζάπλουτον μαντεῖον ἐφιέμενον κατασχεῖν, ἐμειδίασε καὶ δὴ σείσας

---

όμασται Πύθιος· ὁ δὲ τρίπους ἦν μὲν πρῶτον τῆς γῆς· ἔπειτα τῆς θυγα-ὸς αὐτῆς Θέμιδος, ἣν ἀπεωσάμενος Ἀπόλλων, κατέσχεν αὐτός. 1225. Θέ-ν ἐπεὶ γᾶς ἰὼν παῖδα] ἀντὶ τοῦ Ἐπὶ, ἔγραψα Ἐπεί· ὡς ἐν ἄλλοις. 1229 ολέσι] πολλοῖς· ἡ κλίσις, ὁ πολὺς τοῦ πολέος. 1231. Εὐνὰς] κατ' εὐνὰς τῆς οφνερᾶς γῆς τοῦ ὕπνου· ὅ ἐστι καθ' ὕπνους ἐν σκότῳ. 1239. Φθόνῳ θυγατρὸς] θόνῳ πρὸς τὸν Φοῖβον ὑπὲρ τῆς θυγατρός. 1236. Ἕλιξε] οὕτως ἀντὶ ῦ Ἕλεξε, παρὰ τὸ ἑλίσσω· ἵνα ᾖ, χεῖρα νεογνὸν ἑλίξας, εἴτουν ἐξαρτήσας πὸ τοῦ θρόνου, ἐδεῖτο. 1240. Πολύχρυσα] διὰ τὸν πανταχόθεν ἐν τοῦ-οις ἀθροιζόμενον πλοῦτον, καὶ τοὺς χρυσοὺς πλίνθους τοῦ Κροίσου.

Ἐπεὶ δ' ἔσεισε κόμαν,
Παῦσεν ὀνείρους νυχίους,
Ἀπὸ δὲ μαντοσύναν
Νυκτωπὸν ἐξεῖλεν βροτῶν,
Καὶ τιμὰς πάλιν
Θῆκε Λοξίᾳ, πολυάνορι δ'
Ἐν ξενόεντι θρόνῳ θάρση βροτοῖς
Θεσφάτων ἀοιδαῖς.

ΑΓ. Ὦ ναοφύλακες βώμιοί τ' ἐπιστάται,
Θόας, ἄναξ γῆς τῆσδε, ποῦ κυρεῖ βεβώς;
Καλεῖτ', ἀναπτύξαντες εὐγόμφους πύλας,
Ἔξω μελάθρων τῶνδε κοίρανον χθονός.

ΧΟ. Τί δ' ἐστιν, εἰ χρὴ μὴ κελευσθεῖσαν λέγειν;

ΑΓ. Βεβᾶσι φροῦδοι δίπτυχοι νεανίαι,
Ἀγαμεμνονείας παιδὸς ἐκ βουλευμάτων
Φεύγοντες ἐκ γῆς τῆσδε, καὶ σεμνὸν βρέτας
Λαβόντες ἐν κόλποισιν Ἑλλάδος νεώς.

ΧΟ. Ἄπιστον εἶπας μῦθον· ὃν δ' ἰδεῖν θέλεις
Ἄνακτα χώρας, φροῦδος ἐκ ναοῦ συθείς.

ΑΓ. Ποῖ; δεῖ γὰρ αὐτὸν εἰδέναι τὰ δρώμενα.

ΧΟ. Οὐκ ἴσμεν· ἀλλὰ στεῖχε καὶ δίωκέ νιν,
Ὅπου κυρήσας, τούσδ' ἀπαγγελεῖς λόγους.

ΑΓ. Ὁρᾶτ', ἄπιστον ὡς γυναικεῖον γένος,
Μέτεστί θ' ὑμῖν τῶν πεπραγμένων μέρος.

---

1241. Ἐπεὶ δ' ἔσεισε κόμην] τὸ μεγαλοπρεπὲς καὶ παντοδύναμον τοῦ Διὸς ἐν βραχέσιν ἐδήλωσεν ἀπομιμησάμενος Ὅμηρον. (Ἰλ. Α- στίχ- 418.)

τὴν κόμην, ἔπαυσε τοὺς ὀνείρους, ὥστε μηκέτι εἶναι· κἀντεῦθεν ἐξελὼν τῶν βροτῶν τὴν καθ' ὕπνους ψευδομαντείαν, ἀπέδωκεν αὖθις τῷ μὲν Φοίβῳ τὴν τῶν θεσπισμάτων ἀξίαν, τοῖς δ' ἀνθρώποις τὸ πιστεύειν τοῖς ἐν μέλεσιν ἐκ τοῦ ξενοδόχου ἐκείνου θρόνου χρησμῳδουμένοις.

ΑΓ. Ὦ σεμνοὶ ἱεροφύλακες, καὶ τοῦ ναοῦ ἐπιστάται, ποῦ ἐστι Θόας ὁ τῆσδε κρατῶν τῆς γῆς; ἀναπετάσαντες δὴ τὰς πύλας ταύτας, καλεῖτε ταχέως ἐξελθεῖν αὐτὸν δεῦρο.

ΧΟ. Τί δ' ἐστιν, εἰ δεῖ ἐρωτᾷν, μήπω ἐρωτηθεῖσαν;

ΑΓ. Τί δ' ἄλλο, ἢ οἱ δύο νεανίαι, ἀναλαβόντες τὸ ἄγαλμα τῆς θεοῦ εἰς τὴν ναῦν, βουλομένης ταῦτα καὶ τῆς Ἰφιγενείας, ᾤχοντο ἀπιόντες.

ΧΟ. Οὐ πιστὰ ταῦτα φής· ὁ δ' ἄναξ, ὃν ζητεῖς, ἐξελήλυθεν ἀρτίως ἐντεῦθεν.

ΑΓ. Ποῖ δήποτ' ἐλθών; ἀνάγκη γὰρ αὐτὸν μαθεῖν τὰ τετολμημένα.

ΧΟ. Ἡμεῖς μὲν οὐκ ἴσμεν· σὺ δὲ σπεῦσον, ὅπως εὑρὼν ἐπαγγείλῃς ταῦτα.

ΑΓ. Ὁρᾶθ', ὅπως ἄπιστοι ὑπάρχεθ' ὑμεῖς αἱ γυναῖκες; οὐ γὰρ ἔσθ' ὅπως μὴ μετέχετε γ' ὑμεῖς τῶν πεπραγμένων·

---

» Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
» Ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπεῤῥώσαντο ἄνακτος
» Κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

1258. Συθείς] ὁρμηθεὶς ἐξῆλθεν] ἑκὼν δὲ ψεύδεται πρὸς τὸν Ἄγγελον ὁ Χορὸς, καιρὸν διδοὺς τοῖς περὶ τὸν Ὀρέστην φεύγειν· διὸ καὶ ὑπόνοιάν τινα πα-

ΧΟ. Μαίνῃ· τί δ' ἡμῖν τῶν ξένων δρασμοῦ μέτα;
Οὐκ εἶ κρατούντων πρὸς πύλας, ὅσον τάχος;
ΑΓ. Οὔ, πρίν γ' ἂν εἴποι τοὔπος ἑρμηνεὺς τόδε,
Εἴτ' ἔνδον, εἴτ' οὐκ ἔνδον ἀρχηγὸς χθονός.
Ὠή, χαλᾶτε κλῇθρα, τοῖς ἔνδον λέγω,
Καὶ δεσπότῃ σημήναθ', οὕνεκ' ἐν πύλαις
Πάρειμι, καινῶν φόρτον ἀγγέλλων κακῶν.
ΘΟ. Τίς ἀμφὶ δῶμα θεᾶς τόδ' ἵστησιν βοὴν,
Πύλας ἀράξας καὶ φόβον πέμψας ἔσω;
ΑΓ. Ψευδῆ λέγουσαί μ' αἵδ', ἀπήλαυνον δόμων,
Ὡς ἐκτὸς εἴης· σὺ δὲ κατ' οἶκον ἦσθ' ἄρα.
ΘΟ. Τί προσδοκῶσαι κέρδος, ἢ θηρώμεναι;
ΑΓ. Αὖθις τὰ τῶνδε σημανῶ· τὰ δ' ἐν ποσὶ
Παρόντ' ἄκουσον· ἡ νεᾶνις, ἣ 'νθάδε
βωμοῖς παρίστατ', Ἰφιγένει' ἔξω χθονὸς
Σὺν τοῖς ξένοισιν οἴχεται, σεμνὸν θεᾶς
Ἄγαλμ' ἔχουσα· δόλια δ' ἦν καθάρματα.
ΘΟ. Πῶς φής; τί πνεῦμα συμφορᾶς κεκτημένη;
ΑΓ. Σώζουσ' Ὀρέστην· τοῦτο γὰρ σὺ θαυμάσῃ.
ΘΟ. Τὸν ποῖον; ἆρ' ὃν Τυνδαρὶς τίκτει κόρη;
ΑΓ. Ὃν τοῖσδε βωμοῖς θεᾷ καθωσιώσατο.
ΘΟ. Ὦ θαῦμα! πῶς σε μεῖζον ὀνομάσας τύχω;
ΑΓ. Μὴ 'νταῦθα τρέψῃς σὴν φρέν', ἀλλ' ἄκουέ μου.
Σαφῶς δ' ἀθρήσας καὶ κλύων, ἐκφρόντισον,
Διωγμὸς ὅστις τοὺς ξένους θηράσεται.

---

ἔσχε τῷ Ἀγγέλῳ μετέχειν τῶν σκευωρειῶν. 1266. Οὐκ εἶ κρατούντων] ὁ

ΧΟ. Μαίνῃ. τί γὰρ κοινὸν ἡμῖν κἀκείνοις διαφυγοῦσιν; οὐκ ἀνύττεις πρὸς τὰς θύρας τῶν κρατούντων;

ΑΓ. Οὔμενουν, πρὶν ἄν τις εἴπῃ ἡμῖν, εἰ ἔνδον ἐκεῖνος εἴη· Ὠή· οὐκ ἀκούετε; ὑμῖν τοῖς ἔνδον λέγω, ἀνοίξατε τὰς πύλας, καὶ εἴπατε τῷ δεσπότῃ ἥκειν με ᾧδε, βάρος ἔχοντα νέων κακῶν αὐτῷ ἀγγεῖλαι.

ΘΟ. Τίς ἀράξας τὰς θύρας τοῦ ναοῦ, βοᾷ ᾧδε, ὥστε φόβον ἐμποιῆσαι τοῖς ἔνδον;

ΑΓ. Ἐψεύσαντο ἄρ' αἵδε πρὸς ἐμὲ, ἐξελθεῖν σε ἐντεῦθεν εἰποῦσαι· καί με ἀπήλαυνον ἔξω τῶν δόμων τούτων πλανᾶσθαι, σοῦ ἐντὸς ὄντος.

ΘΟ. Ἵνα τί αὐταῖς γένηται ἐκ τοῦ ψεύδους;

ΑΓ. Τὰ μὲν περὶ τούτων ἐσαῦθις· νῦν δ' ὃ μάλιστα κατεπείγει ἀκουςέον σοι. Ἰφιγένεια γὰρ ἡ τοῦδε τοῦ βωμοῦ προστατεύουσα, ᾤχετο ἀπιοῦσα μετὰ τῶν ξένων, συνεπαγομένη καὶ τὸ σεμνὸν τῆς θεοῦ ἄγαλμα· τὰ δ' πρὸς καθαρμὸν πρὸς δόλον αὐτῇ ἐσκευώρηται πάντα·

ΘΟ. Τί φὴς αὐτός; ὑπὸ τίνος ἐλαυνομένη κακοβουλίας;

ΑΓ. Σώζουσα τὸν Ὀρέςην· τοῦτο γάρ σε ἐκπλήσσει.

ΘΟ. Τὸν ποῖον φής; μῶν τὸν τῆς Κλυταιμνήστρας;

ΑΓ. Τοῦτον αὐτὸν τὸν τῇ θεᾷ καθωσιωμένον.

ΘΟ. Ὦ θαῦμα· τί γὰρ μεῖζον τούτου ἂν εἴποιμι;

ΑΓ. Μὴ διάτριβε ἐντρυφῶν τοῖς τοιούτοις· ἀλλ' ἄκουέ μου ἀκούσας δὲ καὶ ἰδὼν, σκέψαι, ὅπως ἐκπέμψεις τοὺς διώξοντας ὅσον τάχος.

---

Χορὸς λεγέτω ταῦτα· ἐν ἄλλοις δὲ κακῶς ἔχει. 1274. Ψευδῶς λέγουσαί μ' αἵδε. οὕτως ἐξ ἄλλης ἀντὶ τοῦ, ψευδῶς ἔλεγον αἵδε καί μ', κακομέτρου ὄντος· ἐγὼ δ' οὖν ἔγραψα, Ψευδῆ.

ΘΟ. Λέγ'· εὖ γὰρ εἶπας· οὐ γὰρ ἀγχίπλουν πόρον
Φεύγουσιν, ὥστε διαφυγεῖν τοὐμὸν δόρυ.
ΑΓ. Ἐπεὶ πρὸς ἀκτὰς ἤλθομεν θαλασσίας,
Οὗ ναῦς Ὀρέστου κρύφιος ἦν ὡρμισμένη,
Ἡμᾶς μὲν, οὓς σὺ δεσμὰ συμπέμπεις ξένων
Ἔχοντας, ἐξένευσ' ἀποστῆναι πρόσω
Ἀγαμέμνονος παῖς, ὡς ἀπόρρητον φλόγα
Θύουσα καὶ καθαρμὸν, ὃν μετῴχετο.
Αὐτὴ δ' ὄπισθεν δέσμ' ἔχουσα τοῖν ξένοιν
Ἔστειχε χερσί· καὶ τάδ' ἦν ὕποπτα μὲν,
Ἤρεσκε μέντοι σοῖσι προσπόλοις, ἄναξ.
Χρόνῳ δ', ἵν' ἡμῖν δρᾷν τι δὴ δοκοῖ πλέον,
Ἀνωλόλυξε καὶ κατῆδε, βάρβαρα
Μέλη ματεύουσ', ὡς φόνον νίζουσα δή.
Ἐπεὶ δὲ δαρὸν ἦμεν ἥμενοι χρόνον,
Ἐσῆλθεν ἡμᾶς, μὴ λυθέντες οἱ ξένοι,
Κτάνοιεν αὐτὴν, δραπέται τ' οἰχοίατο.
Φόβῳ δ', ἃ μὴ χρῆν, εἰσορᾷν, καθήμεθα
Σιγῇ, τέλος δὲ πᾶσιν ἦν ὡυτὸς λόγος,
Στείχειν, ἵν' ἦσαν, καίπερ οὐκ ἐωμένοις.
Κἀνταῦθ' ὁρῶμεν Ἑλλάδος νεὼς σκάφος
Ταρσῷ κατήρει πίτυλον ἐπτερωμένον,

---

1290. Ἀγχίπλουν] εἰ γὰρ βραχὺς ἦν αὐτοῖς ὁ πλοῦς, ἐξέφυγον ἄν· νῦν δὲ ὅλον πόντον μέλλοντες διαβαλεῖν, κἂν καταληφθεῖεν. 1302. Ἀνωλόλυξεν] ηὔξατο· τὸ γὰρ ἀνολολύζειν γυναικεῖαν ἐστί τινα εὐχὴν εὔχεσθαι μετὰ ἐνθουσιασμοῦ, καὶ ἐμμελοῦς καὶ λείου ἤχου· τὸ δὲ Ματεύουσα ἐν ἄλλοις κεῖται Μαγεύουσα 1311. Ἐπτερωμένον] ἕτοιμον. ὥσπερ πτεροῖς, τοῖς ἐρετμοῖς πρὸς κίνησιν· καὶ

ΘΟ. Εὖ λέγεις· μακροῦ γὰρ ὄντος αὐτοῖς τοῦ πλοῦ, οὐκ ἂν διαφύγοιέν μου τὸ δόρυ· ἀλλὰ λέγε σὺ πρῶτον, ὡς συνέβη τὸ πρᾶγμα.

ΑΓ. Πρὸς γὰρ ταῖς ἀκταῖς γενομένων ἡμῶν, ἔνθ' ἡ ναῦς Ὀρέστη ἐτύγχανεν ἐν ἀπόπτῳ πῇ ὁρμοῦσα, ἡμᾶς μὲν τοὺς παρὰ σοῦ πεμφθέντας συνέχειν τοὺς ξένους δεσμώτας, ἐξένευσεν Ἰφιγένεια ἐκποδὼν γενέσθαι τοῦ πυρὸς καὶ τοῦ καθαρμοῦ, ὃν προσεποιεῖτο τελέσειν ἀπόῤῥητον· αὐτὴ δὲ λαβοῦσα ὄπισθεν τὰ δεσμὰ, ἐβάδιζεν ἄγουσα· καὶ τὸ πραττόμενον ὑπόνοιαν μὲν παρεῖχεν ἡμῖν, ἤρεσκε δὲ μᾶλλον πείθεσθαι τοῖς κεκελευσμένοις· προϊόντος δὲ τοῦ χρόνου, ἵνα δόξῃ ἡμῖν ἐκείνη τί πράττειν, ηὔξατο κατᾴδουσα, καὶ βάρβαρα μαστεύουσα μέλη, ὡς δῆθεν ἐκνίπτουσα τὸν φόνον· ἐπεὶ δὲ πολὺν ἤδη χρόνον ἐτυγχάνομεν καθήμενοι οὕτως, εἰσῆλθε μὲν ἡμᾶς ὑπόνοιά τις ἐκείνη, μήποτε λυθέντες οἱ ξένοι, χρήσωνται δρασμῷ, τὴν καθαίρουσαν ἀνελόντες ἐκείνην· δεδιότες δὲ μὴ ἴδωμεν, ἃ ἀθέατα ἡμῖν ἦν, ἡσυχίαν ἤγομεν· ὡς δὲ πᾶσιν, αὐξομένης ἤδη τῆς ὑπονοίας, ὁμοφώνως ἐδόκει καὶ παρὰ τὰ προστεταγμένα προσιέναι ἐκείνοις, ἐβαδίζομεν πρόσω· καὶ ἐγγὺς γενόμενοι, ὁρῶμεν, τί ὁρῶμεν; τὴν Ἑλληνικὴν ναῦν ηὐτρεπισμένην καὶ μετέωρον πρὸς τὸ πλεῖν, καὶ πεντή-

---

παρ' Ὁμήρῳ (Ὀδ. Λ'. στίχ. 124.) Ἐρετμὰ, τά τε πτερὰ νηυσὶ πέλονται. Ταρσὸς δὲ τὸ πλατὺ τῆς κώπης· λαμβάνεται δὲ ἡ λέξις κἀπι τῶν πτερύγων τῶν

Ναύτας τε πεντήκοντ' ἐπὶ σκαλμῶν πλάτας
Ἔχοντας, ἐκ δεσμῶν δὲ τοὺς νεανίας
Ἐλευθέρους πρύμνηθεν ἑστῶτας νεώς.
Κοντοῖς δὲ πρῷραν εἶχον, οἱ δ' ἐπωτίδων
Ἄγκυραν ἐξανῆπτον, οἱ δὲ κλίμακας
Σπεύδοντες, ἦγον διὰ χερῶν πρυμνήσια,
Πόντῳ δὲ δόντες τοῖν ξένοιν καθίεσαν.
Ἡμεῖς δ' ἀφειδήσαντες, ὡς ἐσείδομεν
Δόλια τεχνήμαθ', εἰχόμεσθα τῆς ξένης
Πρυμνησίων τε, καὶ δι' εὐθυντηρίας
Οἴακας ἐξῃροῦμεν εὐπρύμνου νεώς.
Λόγοι δ' ἐχώρουν· τίνι λόγῳ πορθμεύετε,
Κλέπτοντες ἐκ γῆς ξόανα καὶ θυηπόλους;
Τίνος τίς ὢν σὺ τήνδ' ἀπεμπολᾷς χθονός;
Ὁ δ' εἶπ' Ὀρέστης, τῆσδ' ὅμαιμος, ὡς μάθῃς,
Ἀγαμέμνονος παῖς, τήνδ' ἐμὴν κομίζομαι
Λαβὼν ἀδελφὴν, ἣν ἀπώλεσ' ἐκ δόμων.
Ἀλλ' οὐδὲν ἧσσον εἰχόμεσθα τῆς ξένης,
Καὶ πρὸς σ' ἕπεσθαι διεβιαζόμεσθά νιν·
Ὅθεν τὰ δεινὰ πλήγματ' ἦν γενειάδων.
Κεῖνοί τε γὰρ σίδηρον οὐκ εἶχον χεροῖν,
Ἡμεῖς τε· πυγμαὶ δ' ἦσαν ἐγκροτούμεναι,
Καὶ κῶλ' ἀπ' ἀμφοῖν τοῖν νεανίαιν ἅμα
Ἐς πλευρὰ καὶ πρὸς ἧπαρ ἠκοντίζετο,
Ὡς ξύν τ' ἀπειπεῖν καὶ ξυναποκαμεῖν μέλη

---

ὀρνίθων, καὶ τοῦ ποδὸς καὶ τῆς χειρὸς τῶν ἀνθρώπων. 1315. Ἐπωτίδων] εἰσὶ

κοντα ναύτας ἐπ' αὐτῆς ἤδη ἔχοντας τὰ ἐρετμὰ ἐπὶ τῶν σκαλμῶν· τοὺς δὲ δύο νεανίας ἐλευθέρους τῶν δεσμῶν ἑςῶτας ἐπὶ τῆς πρύμνης· καὶ τοὺς μὲν, κοντοῖς διακυβερνῶντας τὴν πρώραν· τοὺς δὲ, ἐξαρτῶντας ἤδη τῶν ἐπωτίδων τὴν ἄγκυραν· ἄλλους δ' αὖ, ἀναφέροντας διὰ τῶν κλιμάκων σπουδῇ τὰ πρυμνήσια· καὶ ἄλλους, ἄγοντας ἤδη τὴν Ἰφιγένειαν πρὸς τὴν ναῦν διὰ τῆς θαλάσσης: ἃ ἰδόντες ἡμεῖς, καὶ ἑαυτῶν ἀφειδήσαντες, ἐχωροῦμεν πρόσω, καὶ τῆς τε ξένης καὶ τῶν πρυμνησίων εἰχόμεθα, ἐπιβαλλόμενοι ἀφελεῖν τοὺς τὴν ναῦν διευθύνοντας οἴακας, καὶ λέγοντες πρὸς ἐκείνους τοιαῦτα· τί δήποτε, τίνες ὄντες ὑμεῖς, καὶ ποδαποὶ, τό, τε ξόανον, καὶ τὴν ἱέρειαν δέχεσθε ὑφελόντες; ὁ δὲ, Ὀρέςης, ἔφη, ὅδ' αὐτὸς ὁ τοῦ Ἀγαμέμνονος, ἀδελφὸς τῆσδε ὢν, κομίζομαι αὐτὴν οἴκαδε, πάλαι ποτὲ ἀπολέσας· ἀλλὰ καὶ τούτων ῥηθέντων, οὐδὲν ἧττον τῆς ξένης εἰχόμεθα· καὶ πρὸς σὲ ἐπαναγαγεῖν προσεβιαζόμεθα· κἀνταῦθα μάχη ἦν κρατερὰ κατὰ τῶν προσώπων πολλῶν πληγῶν ἀλλήλοις ἐπιπιπτουσῶν ἑκατέρωθεν· σίδηρος γὰρ οὐδετέροις παρῆν, ἀλλὰ πυγμῆς ἀγὼν ἀπαράμιλλος ἦν τὸ πρᾶγμα, καὶ χεῖρες τῶν ξένων καὶ πόδες ἅμα κατὰ τῶν πλευρῶν ἡμῶν καὶ τοῦ πνεύμονος πολλῇ λακτίζοντες τῇ φορᾷ, ὥςε συναποκαμεῖν τὰ μέλη μαχόμενα· τέλος δὲ κακῶς διατιθέντες ἡμεῖς

---

δ' ἐπωτίδες τὰ ἑκατέρωθεν τῆς πρώρας ἐξέχοντα ξύλα. 1318. Τοῖν ξένοιν] μήτι γραπτέον, τὴν ξένην; ἄλλως δ' οὐκ οἶδα ὅ,τι καὶ λέγει, 1321. Δι' εὐθυντηρίας] τόπος οὗτος τῶν οἰάκων. 1336. Ὡς ξύντ' ἀπειπεῖν] οὕτως ἐξ ἑτέρας ἀντὶ τοῦ ὥστε ξυνάπτειν· ἀποκαμόντα γὰρ τὰ μέλη, οὐκέτι ἐκτείνονται, ἀλλὰ

Δεινοῖς δὲ σημάντροισιν ἐσφραγισμένοι,
Ἐφεύγομεν πρὸς κρημνὸν, οἱ μὲν ἐν κάρᾳ
Κάθαιμ' ἔχοντες τραύμαθ', οἱ δ' ἐν ὄμμασιν.
Ὄχθοις δ' ἐπισταθέντες, εὐλαβεστέρως
Ἐμαρνάμεσθα, καὶ πέτρους ἐβάλλομεν.
Ἀλλ' εἶργον ἡμᾶς τοξόται, πρύμνης ἔπι
Σταθέντες, ἰοῖς, ὥσ' ἀναστεῖλαι πρόσω.
Κἀν τῷδε, (δεινὸς γὰρ κλύδων ὤκειλε ναῦν
Πρὸς γῆν, φόβος δ' ἦν, ὥςε μὴ τέγξαι πόδα,)
Λαβὼν Ὀρέστης ὦμον εἰς ἀριστερὸν,
Βὰς ἐς θάλασσαν κἀπὶ κλίμακος θορὼν,
Ἔθηκ' ἀδελφὴν ἐντὸς εὐσέλμου νεὼς,
Τὸ τ' οὐρανοῦ πέσημα, τῆς Διὸς κόρης
Ἄγαλμα· νηὸς δ' ἐκ μέσης ἐφθέγξατο
Βοή τις· ὦ γῆς Ἑλλάδος ναῦται νεὼς,
Λάβεσθε, κώπαις τε ῥόθια λευκαίνετε·
Ἔχομεν γὰρ, ὧνπερ οὕνεκ' Εὔξενον πόρον
Συμπληγάδων ἔσωθεν εἰσεπλεύσαμεν.
Οἱ δὲ στεναγμὸν ἡδὺν ἐκβρυχώμενοι,
Ἔπαισαν ἅλμην· ναῦς δ', ὡς μὲν ἐντὸς ἦν
Λιμένος, ἐχώρει· στόμια διαπερῶσα δὲ,
Λάβρῳ κλύδωνι συμπεσοῦσ', ἠπείγετο·
Δεινὸς γὰρ ἐλθὼν ἄνεμος ἐξαίφνης, νεὼς
Ὤθει πάλιν πρυμνήσι'· οἱ δ' ἐκαρτέρουν

---

παρειμένα λύονται. 1345. Φόβος δ' ἦν ναυάταις] πότερον, ἵνα μὴ τέγξωσι τὴν τῆς νεὼς πόδα, τὸν κάλων, καὶ ναυαγήσωσιν. ἢ ἁπλῶς οὐκ ἤθελον κα-

ὑπὸ τῶν τραυμάτων, ἐνεδώκαμεν καταφυγόντες ἐπὶ τὴν ἀκτὴν, οἱ μὲν τὰ κρανία τρωθέντες, οἱ δὲ τὰ πρόσωπα κάθαιμα ἔχοντες· ὡς δὲ ἐπὶ τῶν κρημνῶν ἐγενόμεθα, συςραφέντες ἐνταῦθα, ἐμαχόμεθ' ὁρμώμενοι ἀπὸ ἀσφαλεστέρου, βάλλοντες ἄνωθεν τοῖς λίθοις· ἀλλ' ἦν κἀνταῦθα ἡμῖν τὸ δεινὸν οἱ τοξόται, οἴςοις ἀπὸ τοῦ καταςρώματος εἴργοντες· οἳ οὐ χαλεπῶς ἡμᾶς ἐξεκρούσαντο πόῤῥω· κᾀν τούτῳ κλύδωνος σφοδροῦ ἐξοκέλλοντος τὴν ναῦν πρὸς τὴν γῆν, τῶν δὲ ναυτῶν μὴ τολμώντων, ἀποβάντας εἰς τὸ ὕδωρ, ἀναλαβεῖν Ἰφιγένειαν, Ὀρέστης ἀράμενος αὐτὴν εἰς τὸν εὐώνυμον ὦμον, καὶ ἐμβὰς ἐς τὸ ὕδωρ, καὶ διὰ τῆς κλίμακος ἀναῤῥιχησάμενος, καθῆκεν αὐτήν τε καὶ τὸ διοπετὲς ἄγαλμα τῆς θεοῦ ἐπὶ τῆς νεώς· κᾀν τούτῳ παρακέλευσμάτι ἠκούσθη ἀπὸ μέσης νεώς· ἄνδρες Ἕλληνες, κράτιστοι ναῦται, ἔργου πᾶς ἐσχέσθω, λαβόμενοι κώπης, καὶ τὴν τῆς θαλάσσης λευκαίνετε ἐπιφάνειαν· κεκρατήκαμεν γάρ, ἐφ' ἃ διὰ τῶν Συμπληγάδων τυγχάνομεν εἰσπεπλευκότες ἐς τὸν Εὔξεινον πόντον· οἱ δὲ ςεναγμόν τινα ἔνδοθεν ἀφέντες ὑφ' ἡδονῆς ἀθρόον, ἐχρῶντο τῷ ῥοθίῳ ῥαγδαίως· ἀλλ' ἡ ναῦς, τέως μὲν ἐντὸς ἦν τοῦ λιμένος, ἐπείθετο· παραλλάξασα δὲ τὸ ςόμα, καὶ λαύρῳ κλύδωνι ἐξ ἐναντίου πνεύματος ἐμπεσοῦσα, ἀντωθεῖτο πάλιν ἐπὶ τὴν γῆν· οἱ δὲ διεκαρτέρουν, ἀμιλλώμενοι

---

ταβῆναι εἰς τὸ ὕδωρ ἀναλαβεῖν τὴν Ἰφιγένειαν ἔςιν, ἐν τοῖς ὕδασιν οὖσαν; τὸ δεύτερον ἔοικε· ἐν ἄλλοις δὲ κεῖται, φόβος δ' ἦν ναυαύταις τέγξαι πόδα.

Πρὸς κῦμα λακτίζοντες· ἐς δὲ γῆν πάλιν
Κλύδων παλίῤῥους ἦγε ναῦν· σταθεῖσα δὲ
Ἀγαμέμνονος παῖς εὔξατ', ὦ Λητοῦς κόρη,
Σῶσόν με, τὴν σὴν ἱερίαν, πρὸς Ἑλλάδα
Ἐκ βαρβάρου γῆς, καὶ κλοπαῖς σύγγνωθ' ἐμαῖς.
Φιλεῖς δὲ καὶ σὺ σὸν κασίγνητον, θεά.
Φιλεῖν δὲ κἀμὲ τοὺς ὁμαίμονας δόκει.
Ναῦται δ' ἐπευφήμησαν εὐχαῖσιν κόρης
Παιᾶνα, γυμνὰς ἐξ ἐπωμίδων χέρας
Κώπῃ προσαρμόσαντες ἐκ κελεύσματος.
Μᾶλλον δὲ μᾶλλον πρὸς πέτρας ᾔει σκάφος·
Χῶ μέν τις ἐς θάλασσαν ὡρμήθη ποσὶν,
Ἄλλος δὲ πλεκτὰς ἐξανῆπτεν ἀγκύρας.
Κἀγὼ μὲν εὐθὺς πρὸς σὲ δεῦρ' ἀπεστάλην,
Σοὶ τὰς ἐκεῖθεν σημανῶν, ἄναξ, τύχας.
Ἀλλ' ἕρπε δεσμὰ καὶ βρόχους λαβὼν χεροῖν·
Εἰ μὴ γὰρ οἶδμα νήνεμον γενήσεται,
Οὐκ ἔστιν ἐλπὶς τοῖς ξένοις σωτηρίας.
Πόντου δ' ἀνάκτωρ Ἴλιόν τ' ἐπισκοπεῖ
Σεμνὸς Ποσειδῶν, Πελοπίδαις δ' ἐναντίος.
Καὶ νῦν παρέξει τὸν Ἀγαμέμνονος γόνον
Σοὶ καὶ πολίταις, ὡς ἔοικεν, ἐν χεροῖν,
Λαβεῖν τ' ἀδελφὴν, ἣ φόνον τὸν Αὐλίδι
Ἀμνημόνευτον θεᾷ προδοῦσ' ἁλίσκεται·

---

1369. Γυμνὰς ἐξ ἐπωμίδων χέρας] οὕτω μᾶλλον ἀντὶ τοῦ, Ἐκ χειρῶν, ἐπωμίδας. 1373. Πλεκτὰς ἀγκύρας] ἃς Ὅμηρος Εὐνὰς λέγει· ἦσαν δ', ὡς ἔοικεν ἐκ σχοίνων, ἢ σχοινίων πλέγματι, οὗ ἐτίθετο βάρος, ὥστε μὴ παρασύρεσθαι τὴν ναῦν ὑπὸ τῶν κυμάτων· ἐν ἄλλοις δὲ ἀντὶ τοῦ ἀγκύρας ἀγκύλας κεῖται.

πρὸς τὸ κῦμα, ὡς δὲ ἐκνικῆσαν τὸ πνεῦμα, ἐξέβραζε λαμπρῶς τὴν ναῦν παρὰ τὴν ἀκτὴν, ἀναστᾶσα ἡ παῖς Ἀγαμέμνονος ηὔξατο ταῦτα· ὦ παῖ Διὸς, σῶσόν με τὴν σὴν Ἱέρειαν ἐκ βαρβάρου γῆς εἰς τὴν φίλην Ἑλλάδα, συγγνοῦσά μοι, ἐφ' οἷς ἄγω σου τὸ ἄγαλμα κλοπιμαῖον· καθάπερ γὰρ αὐτὴ τὸν σαυτῆς φιλεῖς ἀδελφὸν, οὕτω νόμιζε τὸν αὐτὸν κἀμὲ κνίζειν πόθον περὶ τῶν ἐμῶν συγγενῶν· οἱ δὲ ναῦται ἐπευφήμισαν παιανίσαντες ἐπὶ τούτοις, γυμνοὶ ἀπὸ τῶν ἐπωμίδων τὰς χεῖρας ἐπιβαλόντες τοῖς ἀρετμοῖς ἐκ κελεύσματος. ἀλλὰ καὶ οὕτω τὸ πλοῖον οὐδὲν ἧττον ἠπείγεθ' ὑπὸ τοῦ πνεύματος, ἐξωθούμενον πρὸς τὴν ἀποῤῥῶγα· κἀν τούτῳ εἶδον τὸν μὲν αὐτῶν, ὁρμώμενον βαλεῖν ἑαυτὸν εἰς τὴν θάλασσαν· τοὺς δὲ, ἀμφὶ τὰς ἀγκύρας ἐνασχολουμένους· ἐγὼ δὲ ὁρῶν ἐν τούτῳ, ὦ βασιλεῦ, ἀναγκαῖόν μοι ὂν ἐξαγγεῖλαί σοι ταῦτα, ὅπως ἔχοι συμβάντα, ἦλθον, προσῆκον πεποιηκώς· σὺ δὲ, δεσμὰ καὶ βρόχους λαβὼν, τάχυνε ἐπιών· ἢν γὰρ μὴ λωφήσῃ τὸ κῦμα, οὐδεμία σωτηρίας ἐλπὶς ὕπεστι τοῖς ξένοις. Ποσειδῶν γὰρ αὐτὸς ὁ θαλάσσης κρατῶν, Τροίας κηδόμενος, πολέμιός ἐστι Πελοπίδαις· καὶ νῦν ἔοικε παρέξειν σοί τε καὶ τοῖς πολίταις συλλαβεῖν τὸν Ἀγαμέμνονος παῖδα, καὶ τὴν ἐκείνου ἀδελφήν· ἡ σωθεῖσα ὑπὸ τοῦ θεοῦ ἐν Αὐλίδι ἀπὸ τοῦ θανάτου, ἐξελήλεγκται νῦν μηδεμίαν μνείαν τῆς χάριτος ποιουμένη.

---

1379. Ἴλιον ἐπισκοπεῖ] ὡς δῆθεν σὺν Ἀπόλλωνι οἰκοδομήσας τὰ τείχη τῆς πόλεως αὐτῆς Λαομέδοντι. 1384. Ἀμνημόνευτον] ἀχάριστον φόνον· ὅ ἐστιν οὗ

ΧΟ· Ὦ τλῆμον Ἰφιγένεια, συγγόνου μέτα
Θανεῖ, πάλιν μολοῦσα δεσποτῶν χέρας.
ΘΟ· Ὦ πάντες ἀστοὶ τῆςδε βαρβάρου χθονὸς,
Οὐκ εἶα, πώλοις ἐμβαλόντες ἡνίας
Παράκτιοι δραμεῖσθε, κἀκβολὰς νεὼς
Ἑλληνίδος δέξεσθε, σὺν δὲ τῇ θεῷ
Σπεύδοντες, ἄνδρας δυσσεβεῖς θηράσετε;
Οἱ δ' ὠκυπομποὺς ἕλξετ' ἐς πόντον πλάτας;
Ὡς ἐκ θαλάσσης ἔκ τε γῆς ἱππεύμασιν
Λαβόντες αὐτοὺς, ἢ κατὰ στυφλοῦ πέτρας
Ῥίψωμεν, ἢ σκόλοψι πήξωμεν δέμας.
Ὑμᾶς δὲ, τὰς τῶνδ' ἵστορας βουλευμάτων
Γυναῖκας, αὖθις, ἡνίκ' ἂν σχολὴν λάβω,
Ποινασόμεσθα· νῦν δὲ τὴν προκειμένην
Σπουδὴν ἔχοντες, οὐ μενοῦμεν ἥσυχοι.
ΑΘ. Ποῖ ποῖ διωγμὸν τόνδε πορθμεύεις, ἄναξ
Θόας; ἄκουσον τῆσδ' Ἀθηναίας λόγους.
Παῦσαι διώκων, ῥεῦμά τ' ἐξορμῶν στρατοῦ.
Πεπρωμένοις γὰρ θεσφάτοισι Λοξίου
Δεῦρ' ἦλθ' Ὀρέστης, τόν τ' Ἐριννύων χόλον
Φεύγων, ἀδελφῆς τ' Ἄργος ἐσπέμψων δέμας,
Ἄγαλμά θ' ἱερὸν εἰς ἐμὴν ἄξων χθόνα,
Τῶν νῦν παρόντων πημάτων ἀναψυχάς.
Πρὸς μὲν σ' ὅδ' ἡμῖν μῦθος· ὃν δ' ἀποκτενεῖν
Δοκεῖς Ὀρέστην, ποντίῳ λαβὼν σάλῳ,
Ἤδη Ποσειδῶν χάριν ἐμὴν ἀκύμονα
Πόντου τίθησι νῶτα, πορθμεύων πλάτῃ.

---

μέμνηται, ὅτι ἡ θεὸς ἀπήλλαξεν αὐτὴν τοῦ ἐν Αὐλίδι φόνου. 1385. Ω τλῆμον] Δῆλον, ὅτι ὁ Χορὸς αὐτὸς ἑαυτῷ ταῦτα λέγει, μὴ ἀκουόμενος παρὰ Θόαντος.

ΧΟ. Ὦ τλῆλον Ἰφιγένεια, ἀπολεσθήσῃ συλληφθεῖσα σὺν τῷ ἀδελφῷ.

ΘΟ. Ἄνδρες, τῆςδε τῆς γῆς κάτοικοι, τί μέλλετε; οὐ δραμεῖσθε ἐς τὸν αἰγιαλὸν συλληψόμενοι τὴν ναῦν ἐξοκέλλουσαν, καὶ ἄνδρας ἀσεβεῖς ἐκείνους σὺν θεῷ θηρασόμενοι, οἱ μὲν ἐμβαλόντες τὰς ἡνίας τοῖς ἵπποις, οἱ δὲ καθελκύσαντες τὰς ναῦς εἰς τὴν θάλασσαν, ὅπως ἔκτε ξηρᾶς καὶ θαλάσσης συλλαβόντες αὐτοὺς, καὶ κατὰ πετρῶν ἀποῤῥώγων ἐξώσαντες, ἢ ἄλλως ἀνασκολοπίσαντες, κακοὺς κακῶς αὐτοὺς ἀπολέσωμεν; ὑμᾶς δ', ὦ κάκιστα γύναια ὕστερον, ὡς εἰδήμονας πάντων τούτων, ἐπειδὰν τάχιστ' ἀπὸ τούτων σχολάσω, τιμωρήσομαι τὰ εἰκότα· νῦν δ' ἐπ' ἐκείνους με πρῶτον καιρὸς λαμβάνει.

ΑΘ. Ποῖ, ποῖ δήποτ', ὦ Θόας, πέμπεις τούτους, τίνας διώξοντας; σύντεινον δέ μοι πρὸς ὀλίγον τὸ οὖς· Ἀθηνᾶ γάρ εἰμι ἡδ' αὐτή· παῦσαι διώκων, καὶ στρατοὺς ἐξορμῶν· οὐδὲν γὰρ ἀνύσεις. Ὀρέστης γὰρ ἐκ μήνιδος τῶν Εὐμενίδων οἰςρηλατούμενος, οὐκ ἄνευ τῶν Φοιβικῶν θεσπισμάτων ἐλήλυθε δεῦρο, τὴν ἀδελφὴν τῶν τῆδε ἀπαλλαξόμενος, καὶ τὸ τῆς θεοῦ ἄγαλμα εἰς τὴν ἐμὴν κομισόμενος πόλιν πρὸς ἀναψυχὴν ἀπὸ τῶν παρόντων αὐτῷ κακῶν· ταῦτα μὲν περὶ σοῦ. Ὃν δὲ δοκεῖς Ὀρέςην συλλήψεσθαι πρὸς θάνατον κατὰ θάλασσαν κυματούμενον, ἴσθι ὡς ὁ Ποσειδῶν, ἐμοὶ χαριζόμενος, οὐρίῳ πνεύματι διαπορθμεύσει τοῦτον ἀκύματον. Σὺ δ',

1388. Οὐκ εἶα;] οὐχ ὁρμᾶτε; παρακελευστικὸν γὰρ τὸ Εἶα. 1407. Τῶν νῦν . . . ἀναψυχὰς] ὁ στίχος οὗτος οὐκ ἔστιν ἐν τῇ ἀρχαίᾳ ἐκδόσει. 1424.

Μαθὼν δ', Ὀρέστα, τὰς ἐμὰς ἐπιστολὰς,
(Κλύεις γὰρ αὐδὴν, καίπερ οὐ παρὼν, θεᾶς)
Χώρει, λαϐὼν ἄγαλμα σύγγονόν τε σήν.
Ὅταν δ' Ἀθήνας τὰς θεοδμήτους μόλῃς,
Χῶρός τίς ἐστιν Ἀτθίδος πρὸς ἐσχάτοις
Ὅροισι, γείτων δειράδος Καρυστίας,
Ἱερὸς, Ἀλάς νιν ούμὸς ὀνομάζει λεώς·
Ἐνταῦθα τεύξας ναὸν, ἵδρυσον βρέτας,
Ἐπώνυμον τῆς Ταυρικῆς πόνων τε σῶν,
Οὓς ἐξεμόχθεις, περιπολῶν καθ' Ἑλλάδα
Οἴστροις Ἐρινύων· Ἄρτεμιν δέ νιν βροτοὶ
Τὸ λοιπὸν ὑμνήσουσι Ταυροπόλον θεάν.
Νόμον τε θὲς τόνδ'· ὅταν ἑορτάζῃ λεὼς
Τῆς σῆς σφαγῆς ἄποιν', ἐπισχέτω ξίφος
Δέρῃ πρὸς ἀνδρὸς, αἷμά τ' ἐξανιέτω
Ὁσίας ἕκατι θεᾶς, ὅπως τιμὰς ἔχῃ.
Σὲ δ' ἀμφὶ σεμνὰς, Ἰφιγένεια, κλίμακας
Βραυρωνίας δεῖ τῆσδε κληδουχεῖν θεᾶς.
Οὗ καὶ τεθάψῃ κατθανοῦσα, καὶ πέπλων
Ἄγαλμά σοι θήσουσιν εὐπήνους ὑφὰς,
Ἃς ἂν γυναῖκες ἐν τόκοις ψυχοῤῥαγεῖς
Λείπωσ' ἐν οἴκοις· τάσδε δ' ἐκπέμπειν χθονὸς
Ἑλληνίδας γυναῖκας ἐξεφίεμαι
Γνώμης δικαίας οὕνεκ', ἐκσώσασά σε
Καὶ πρίν γ' Ἀρείοις ἐν πάγοις, ψήφους ἴσας

Νόμον τε θὲς τόν δ', ὅταν· ἐν ἄλλοις κεῖται, θέσθε· καὶ ἄλλη, θέσθε τόν δ' ἐθ
428. Κλίμακας] ἤτοι τὰς ἕδρας τοῦ ναοῦ ἐννοεῖ, ἢ ἐξέλαβε τοὔνομα ἀντὶ
τ.ῶ κλίματα, τοὺς ἐκεῖ κεκλιμένους χώρους. 1429, Βραυρωνίας θεᾶς] τῆς Ἀρ·

ὦ Ὀρέςα, (ἀκούεις γάρ μου καὶ ἀπὼν) εἰδὼς τὰς ἐμὰς ἐντολὰς, λαϐὼν τὸ τῆς θεοῦ ἄγαλμα, καὶ τὴν σαυτοῦ ἀδελφὴν, χώρει θαῤῥῶν· κἀπειδὰν πρὸς ταῖς θεοδμήτοις Ἀθήναις γένῃ, ἔστι τις χῶρος αὐτόθι πρὸς τὰς ἐσχατιὰς τῆς Ἀτθίδος καταντικρὺ Καρύστου ἱερὸς, Ἀλαὶ ὑπὸ τοῦ ἐμοῦ λαοῦ ὀνομαζόμενος, ἐνταῦθα ναὸν ἀνεγείρας, καθιδρύσῃ τὸ βρέτας, Ταυροπούλου θεᾶς, καὶ τῶν σῶν ἐπώνυμον πόνων, οὓς ὑπέςης, ἐλαυνόμενος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ὑπὸ τῶν Ἐριννύων· τήν δ᾽ Ἄρτεμιν ὑμνήσουσιν τοὐντεῦθεν οἱ ἄνθρωποι, Ταυροπόλον καλοῦντες· ἡνίκα δ᾽ ὁ λαὸς ἑορτάζῃ τὰ τῆς σῆς σφαγῆς ἐλευθερωτήρια, ἐπισχέτω ξίφος παρὰ τῷ λαιμῷ ἀνδρὸς τινὸς, καὶ ἐξανιέτω αἷμα τιμῆς ἕνεκα τῆς θεοῦ· Σὲ δ᾽ αὖ, ὦ Ἰφιγένεια, κλειδοῦχον τῆς Βραυρωνίας θεᾶς περὶ τὰς σεμνὰς κλίμακας δεῖ γενέσθαι, ὅπῃ σοι ὁ τάφος ἀποθανούσῃ ἔςαι, καὶ κόσμον ἐσθῆτός σοι ἐπιθήσουσιν ὑφάσματα ἄξια, ἃ ἂν τῶν γυναικῶν αἱ ἐν τόκῳ ψυχοῤῥαγοῦσαι, καταλείπωσιν οἴκοι. Πρὸς δὲ τούτοις καὶ τὰς Ἑλληνίδας ταυτασὶ, ὦ Ὀρέςα, ἐφίεμαι ἐκπέμψαι εἰς τὴν Ἑλλάδα ἐκ γνώμης δικαίας, ἣ καὶ σὲ πρὶν ἐν Ἀ-

---

τέμιδος ἀπὸ Βραυρῶνος δήμου, ἐν ᾧ ἦν. Περὶ ἧς Παυσανίας (Ἀτ. σελ. 21. φησὶ ταῦτα· καὶ Ἀρτέμιδος ἱερόν ἐστι Βραυρωνίας, — Πραξιτέλους μὲν τέχνη τὸ ἄγαλμα, τῇ θεῷ δέ ἐστιν ἀπὸ Βραυρῶνος δήμου τὸ ὄνομα· καὶ τὸ ἀρχαῖον ξόανόν ἐστιν Βραυρῶνι Ἄρτεμις, ὡς λέγουσιν, ἡ Ταυρική. Καὶ κατωτέρω (σελ. 32.) Μαραθῶνος δὲ ἀπέχει τῇ μὲν Βραυρὼν, ἔνθα Ἰφιγένειαν τὴν Ἀγαμέμνονος, ἐκ Ταύρων φεύγουσαν, τὸ ἄγαλμα ἀγομένην τῆς Ἀρτέμιδος, ἀποϐῆναι λέγουσι, καταλιποῦσαν δὲ τὸ ἄγαλμα ταύτῃ, (καὶ) εἰς Ἀθήνας, καὶ ὕςερον καὶ εἰς Ἄργος ἀφικέσθαι· ξόανον μὲν δὴ καὶ αὐτόθι ἐστὶν Ἀρτέμιδος ἀρχαῖον. 1433. Ἐκπέμπειν] ὁ μὲν λόγος πρὸς Ὀρέστην ἀποτείνεται· τὸ δὲ πρᾶγμα πλαγίως ἀπαιτεῖται παρὰ τοῦ Θόαντος· ὃς καὶ ὑπισχνεῖται κατωτέρω

Κρίνασ', Ὀρέστα, καὶ νόμισμ' ἐς ταὐτό γε,
Νικᾷν, ἰσήρεις ὅστις ἂν ψήφους λάβῃ.
Ἀλλ' Ἐκκομίζου σὴν κασίγνητον χθονὸς,
Ἀγαμέμνονος παῖ, καὶ σὺ μὴ θυμοῦ, Θόας.
ΘΟ. Ἄνασσ' Ἀθάνα, τοῖσι τῶν θεῶν λόγοις
Ὅστις κλύων ἄπιστος, οὐκ ὀρθῶς φρονεῖ.
Ἐγὼ δ' Ὀρέστῃ τ', εἰ φέρων βρέτας θεᾶς
Βέβηκ' ἀδελφῇ τ' οὐχὶ θυμοῦμαι· τί γὰρ
Πρὸς τοὺς σθένοντας θεοὺς ἁμιλλᾶσθαι καλόν;
Ἴτωσαν ἐς σὴν σὺν θεᾶς ἀγάλματι
Γαῖαν, καθιδρύσαιντό τ' εὐτυχῶς βρέτας.
Πέμψω δὲ καὶ τάσδ' Ἑλλάδ' εἰς εὐδαίμονα
Γυναῖκας, ὥσπερ σὸν κέλευσμ' ἐφίεται.
Παύσω δὲ λόγχην, ἣν ἐπαίρομαι ξένοις,
Νηῶν τ' ἐρετμὰ, σοὶ τάδ' ὡς δοκεῖ, θεά.
ΑΘ. Αἰνῶ· τὸ γὰρ χρεὼν σοῦ τε καὶ θεῶν κρατεῖ.
Ἴτ', ὦ πνοαὶ, ναυσθλοῦσθε τὸν Ἀγαμέμνονος
Παῖδ' εἰς Ἀθήνας· συμπορεύσομαι δ' ἐγὼ,
Σώζουσ' ἀδελφῆς τῆς ἐμῆς σεμνὸν βρέτας.
Ἴτ' ἐπ' εὐτυχίᾳ, τῆς σωζομένης
Μοίρας εὐδαίμονες ὄντες.
ΧΟ. Ἀλλ', ὦ σεμνὴ παρά τ' ἀθανάτοις
Καὶ παρὰ θνητοῖς, Παλλὰς Ἀθάνα,
Δράσομεν οὕτως, ὡς σὺ κελεύεις.
Μάλα γὰρ τερπνὸν κἀνέλπιστον
Φήμην ἀκοαῖσι δέδεγμαι.
Ὦ μέγα σεμνὴ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

---

στίχ. 1494. 1448. Νόμισμα] νόμιμον, ὥσθ' ὅστις ἂν τῶν ἐναγομένων λάβῃ ψήφους ἴσας ταῖς τοῦ ἐνάγοντος, νικᾷν. 1452. Τὸ χρεὼν] τὸ ἀναγκαῖον, ἢ

ρείῳ πάγῳ διέσωσα, ὁπότ' ἠρίθμησα τὰς τῶν δικασάντων θεῶν ψήφους ἑκατέρωθεν ἴσας, καὶ νόμιμον ἔθηκα τοῦθ', ὃς ἂν τῶν ἐναγαμένων ἴσους τὰς ψήφους λάβῃ, τοῦτον τὴν νίκην ἔχειν· ἀλλ' ἴθι, Ἀγαμέμνονος τέκνον, τὴν σαυτοῦ ἀδελφὴν ἀπαλλάττων ἐντεῦθεν· καὶ σύ, ὦ Θόας, πραΰνου.

Ο. Ἄνασσ' Ἀθηνᾶ, εἴτις τοῖς τῶν κρειτόνων κελεύσμασιν ἀπειθεῖ, μωρὸς ἔμοιγ' οὗτος· ἐγὼ γὰρ οὐκέτ' Ὀρέστῃ, εἰ τὸ τῆς θεοῦ βρέτας ὑφελόμενος, ἐχρήσατο δρασμῷ, οὐδὲ τῇ ἀδελφῇ αὐτοῦ χαλεπῶς ἔχω· ἴτωσαν, τὸ τῆς θεοῦ εἰς τὴν σὴν κομίζοντες γῆν· καὶ εἴθε καθιδρύσαιντ' ἐκεῖνο αὐτοῦ εὐτυχῶς· ἐκπέμψω δέ, ὡς κελεύεις καὶ τάσδε εἰς τὴν Ἑλλάδα· ἃ δ' ἠπείλησα καταδιώξειν τοὺς ξένους ἐκ γῆς καὶ θαλάσσης, ἐάσω, πειθόμενός σοι πάντα.

Θ. Ἐπαινῶ· ἡ γὰρ πεπρωμένη κρείσσων θεῶν τε καὶ ἀνθρώπων. Ἴτε τοίνυν, ὦ πνοαί, ναυστολεῖτε Ἀθήναζε τὸν Ἀγαμέμνονος παῖδα· συμπλευσοῦμαι δὲ καὶ αὐτή, τὸ τῆς ἐμῆς ἀδελφῆς διασώζουσα βρέτας. Ἴτε δὲ καὶ ὑμεῖς σώζεσθε, εὐτυχεῖτε, εὐδαίμονες ὄντες, σωζούσης ὑμᾶς τῆς μοίρας.

Ο. Ἀλλ' ὦ πότνια Ἀθηνᾶ, παρά τε ἀθανάτοις καὶ θνητοῖς σεμνοτάτη, δράσομεν οὕτως, ὡς σὺ κελεύεις· ὡς γὰρ τερπνὰ καὶ ἡδέα ταῦτα ἀπροσδοκήτως ἐς τὴν ἐμὴν προσέπεσον ἀκοήν. Ὦ σεμνοτάτη Νίκη, σὺ τὸν ἐμὸν ἀεὶ διακυβερνῴης βίον, καὶ μὴ λήγοις με στεφανοῦσα.

---

επρωμένον· ἀνάγκᾳ γὰρ καὶ θεοὶ πείθονται. 1456. Ἴτ' ἐπ' εὐτυχίᾳ τῆς σωζούσης ὑμᾶς μοίρας· πρὸς τὸν Χορὸν ταῦτα μᾶλλον ἔοικε λέγειν. 1463. Ὦ μέγα σεμνὴ Νίκη] ἴδε Φοίνισ. ἐν τῷ τέλει.

# ΡΗΣΟΣ.

# ΥΠΟΘΕΣΙΣ.

ῬΗΣΟΣ παῖς μὲν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης, Μουσῶν μιᾶς, Θρακῶν δὲ ἡγούμενος, εἰς Ἴλιον παραγίνεται νυκτὸς, στρατευομένων Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης, κατάσκοποι ὄντες, ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης, ὡς μέγαν ἐσόμενον τοῖς Ἕλλησι κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα, τὸ τοῦ παιδὸς σῶμα ἀφείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δολωνος.

Ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ δὲ Χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωϊκῶν, οἳ καὶ προλογίζουσι. περιέχει δὲ νυκτεγερσίαν.

Τὸ δὲ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν, ὡς οὐκ ὂν Εὐριπίδου· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνει χαρακτῆρα. Ἐν μέντοι ταῖς διδασκαλίαις ὡς γνήσιον ἐπιγέγραπται, καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ.

Πρόλογοι δὲ διττοὶ φέρονται· ὁ γοῦν δικαίαν ἐπιτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως·

Νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος—

καὶ ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

Ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος

## ΥΠΟΘΕΣΙΣ.

Παλλὰς, παρῶμεν· οὐκ ἐχρῆν ἡμᾶς ἔτι
Μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματα.
Νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορὸς,
Λόγχῃ βιαίᾳ γ' Ἕκτορος στροβούμενοι.
Ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
Ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδος θεὰν
Κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας
Καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
Εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βία πρόῤῥιζον ἐκτετριμμένην.

## ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΧΟΡΟΣ φυλάκων Τρωϊκῶν.
ΕΚΤΩΡ.
ΑΙΝΕΙΑΣ.
ΔΟΛΩΝ.
ΑΓΓΕΛΟΣ.
ΡΗΣΟΣ.
ΟΔΥΣΣΕΥΣ.
ΔΙΟΜΗΔΗΣ.
ΑΘΗΝΑ.
ΠΑΡΙΣ.
ΜΟΥΣΑ.
ΡΗΣΟΥ ΗΝΙΟΧΟΣ.

# ΡΗΣΟΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΧΟΡΟΣ, ΕΚΤΩΡ, ΑΙΝΕΙΑΣ, ΔΟΛΩΝ.

ΧΟ. Βαθι πρὸς εὐνὰς τὰς Ἑκτορέους
Τὶς ὑπασπιστῶν ἄγρυπνος βασιλέως,
Εἰ τευχοφόρων δέξαιτο νέων
Κληδόνα μύθων,
Οἳ τετράμοιρον νυκτὸς φρουρὰν
Πάσης στρατιᾶς προκάθηνται.
Ὄρθου κεφαλὴν, πῆχυν ἐρείσας·
Λῦσον βλεφάρων γοργωπὸν ἕδραν·
Λεῖπε χαμεύνας φυλλοστρώτους,
Ἕκτορ· καιρὸς γὰρ ἀκοῦσαι.

1. Βᾶθι] ἡ ὕλη τοῦ παρόντος δράματος εἴληπται ὅλως ἀπὸ τῶν τοῦ Ὁμήρου· τὸν οὖν βουλόμενον ἀκριβῶς τοῦτο διελθεῖν, ἀναγνῶναι δεῖ πρῶτον τὸ Ἰῶτα καὶ Κάπα τῆς Ἰλιάδος. Βᾶθι] οἱ φύλακες ὁρῶντες πολλὰ πυρὰ τοὺς Ἕλληνας ἀνακαύσαντας, ἔρχονται παρὰ τὴν τοῦ Ἕκτορος σκηνὴν, καὶ κελεύουσι

# ΡΗΣΟΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

**ΧΟΡΟΣ, ΕΚΤΩΡ, ΑΙΝΕΙΑΣ, ΔΟΛΩΝ·**

**ΧΟ.** Ἴθι πρὸς τὴν τοῦ Ἕκτορος σκηνὴν, ὅστις ὑμῶν τῶν αὐτοῦ ὑπασπιςῶν ἐςιν ἄγρυπνος μάλιστα, ἵν' εἰδῇς εἰ δέξεται νέους λόγους παρὰ τῶν φυλάκων· οἳ προκάθηνται παντὸς τοῦ ςρατοπέδου, τὴν τετάρτην φυλακὴν ἐπιτετραμμένοι· Ἕκτορ, ἀνάςα, ἀνάςα, τήν τε κεφαλὴν ἀνορθώσας, καὶ τὸν πῆχυν ἐρείσας ἐπὶ τοῦ ἀγκῶνος· ἀνοίξας δὲ τοὺς ὀφθαλμοὺς, λίπε τὴν ςιβάδα καὶ τὴν φυλλόςρωτον τήνδε χαμευνίαν· καιρὸς γὰρ ἤδη λαμβάνει ἀκοῦσαί τι.

---

τοὺς ὑπασπιστὰς διεγείρειν αὐτόν· ἀκούσας δὲ ὁ Ἕκτωρ τοὺς λόγους ἐκείνων μεστοὺς θορύβων ἐγείρεται 5. Τετράμοιρον] εἰς φυλακὰς τῆς νυκτὸς διαιρουμένης, τὴν τετάρτην οὗτοι οἱ φύλακες ἐγρηγόρουν· ἦν δὲ ἤδη ὄρθρος βαθύς·

ΕΚ. Τίς ὅδ'; ἢ φίλιος φθόγγος; τίς ἀνήρ;
Τί τὸ σῆμα; θρόει·
Τίνες ἐκ νυκτῶν τὰς ἁμετέρας
Κοίτας πλάθουσ'; ἐνέπειν χρή.
ΧΟ. Φύλακες στρατιᾶς.
ΕΚ. Τί φέρῃ θορύβῳ;
ΧΟ. Θάρσει.
ΕΚ. Θαρσῶ.
Μῶν τις δόλος ἐκ νυκτῶν;
ΧΟ. Οὐκέτι.
ΕΚ. Τί σὺ γὰρ, φυλακὰς προλιπὼν ἤδη,
Κινεῖς στρατιὰν, εἰ μή τιν' ἔχων
Νυκτηγορίαν; οὐκ οἶσθα δορὸς
Πέλας Ἀργείου νυχίαν ἡμᾶς
Κοίταν πανόπλους κατέχοντας;
ΧΟ. Ὁπλίζου χέρα σύμμαχον, Ἕκτορ, (Στρ.)
Βᾶθι πρὸς εὐνὰς,
Ὄτρυν' ἔγχος ἀείρειν, ἀφύπνισον·
Πέμπε φίλους ἰέναι ποτὶ σὸν λόχον.
Ἁρμόσατε ψαλίοις ἵππους.
Τίς δ' εἶσ' ἐπὶ Πανθοΐδαν, ἢ τὸν
Εὐρώπας, Λυκίων ἀγὸν ἀνδρῶν;
Ποῦ σφαγίων ἔφοροι;
Ποῦ δὲ γυμνητῶν μόναρχοι,
Τοξοφόροι τε Φρυγῶν;
Ζεύγνυτε κερόδετα τόξα νευραῖς.

12. Τί το σῆμα; θρόει] ἐν ἄλλοις δὲ κεῖται, τί τὸ σῆμα; θροεῖ; καὶ, τί τὸ

ΕΚ. Τίς οὗτος; ἆρ' ἡ φωνὴ φίλων ἔσθ' ἥδε; τίς ἐςιν ἀνήρ; τί το σύνθημα; λέγε· τίνες ἐν νυκτὶ τῇ ἐμῇ οὕτω προσπελάζουσι κοίτῃ; δεῖ γὰρ λέγειν.

ΧΟ. Οἱ τοῦ ςρατοπέδου τὴν φυλακὴν ἐμπεπιςευμένοι.

ΕΚ. Τίποθ' οὕτω θορύβῳ φέρῃ;

ΧΟ. Θάῤῥει.

ΕΚ. Καὶ μὴν θαῤῥῶ· μήτις δόλος ἐν νυκτὶ παρὰ τῶν πολεμίων;

ΧΟ. Οὔμενουν.

ΕΚ. Τί οὖν προλιπὼν τὴν φυλακὴν, συνταράττεις τὸν ςρατὸν, μηδὲν τῶν ἐν νυκτὶ συμβαινόντων ἔχων εἰπεῖν; ἢ οὐκ οἶσθ' ὅτι ἐγγὺς τῶν πολεμίων τυγχάνομεν αὐλιζόμενοι;

ΧΟ. Ἕκτορ, ἀναςὰς, θέμενος τὰ ὅπλα, καὶ πρὸς τὰς εὐνὰς τῶν ἡγεμόνων γενόμενος, ἔγειρε τούτους, καὶ παρακελεύου ὁπλίζεσθαι· πέμπε φίλους πρὸς τὸν σὸν ςρατὸν, χαλινούντων οὗτοι τοὺς ἵππους, ἡκέτω τις πρὸς Πανθοίδαν, ἢ Σαρπηδόνα τὸν τῆς Εὐρώπης παῖδα, τὸν ςρατηγὸν τῶν Λυκίων· ποῦ δ' εἰσιν οἱ τῶν ἱερῶν ἐπιςάται; ποῦ δὲ οἱ ἡγεμόνες τῶν γυμνητῶν, καὶ τῶν Φρυγῶν οἱ τοξόται; τεινέτωσαν καὶ οὗτοι τὰ ἑαυτῶν τόξα.

---

σῆμα θροεῖ; λέγει δὲ, τί ἐςιν ἡμῖν σύνθημα; τὸ δὲ σῆμα ἀντὶ τοῦ συνθήματος ἐλήφθη οὕτω καὶ κατωτέρω στίχ. 690. 28. Πανθοίδαν] Ἔφορβός ἐςιν οὗτος ὁ τοῦ Πάνθοος· περὶ οὗ Ὅμηρος (Ἰλ. Ρ. 80.) Τρώων τὸν ἄριστον ἔπεφνε Πανθοίδην Ἔφορβον· ὁ δὲ Εὐρώπης παῖς ὁ Σαρπηδών ἐςιν, ὡς καὶ Ὅμηρος (Ἰλ. Β'. 876. Σαρπηδὼν δ' ἦρχεν Λυκίων καὶ Γλαῦκος ἀμύνων.

ΕΚ· Τὰ μὲν ἀγγέλλεις δείματ' ἀκούειν,
Τὰ δὲ θαρσύνεις, κοὐδὲν καθαρῶς·
Ἀλλ' ἤ Κρονίου Πανὸς τρομερᾷ
Μάστιγι φοϐῇ, φυλακὰς δὲ λιπὼν,
Κινεῖς στρατιάν· τί θροεῖς; τί σε φῶ
Νέον ἀγγέλλειν; πολλὰ γὰρ εἰπὼν,
Οὐδὲν τρανῶς ἀπέδειξας·

ΧΟ· Πυραίθει στρατὸς Ἀργόλας, Ἕκτορ, (Ἀντ.)
Πᾶσαν ἀν' ὄρφναν·
Διϊπετῆ δὲ νεῶν πυρσοῖς σταθμά.
Πᾶς δ' Ἀγαμεμνονίαν προσέϐα στρατὸς
Ἐννύχιος θορύϐῳ σκηνὰν,
Νεαράν τιν' ἐφιέμενοι βάξιν.
Οὐ γάρ πω πάρος ὧδ' ἐφοϐήθη
Ναυσιπόρος στρατιά.
Σοὶ δ', ὑποπτεύων τὸ μέλλον,
Ἤλυθον ἄγγελος, ὡς
Μή ποτέ τινα μέμψιν εἰς ἔμ' εἴπῃς.

ΕΚ. Ἐς καιρὸν ἦλθες, καίπερ ἀγγέλων φόϐον·
Ἄνδρες γὰρ ἐκ γῆς τῆσδε νυκτέρῳ πλάτῃ,
Λαθόντες ὄμμα τοὐμὸν, αἴρεσθαι φυγὴν
Μέλλουσι· σαίνει μ' ἔννυχος φρυκτωρία.
Ὦ δαῖμον, ὅστις μ' εὐτυχοῦντ' ἐνόσφισας
Θοίνης λέοντα, πρὶν τὸν Ἀργείων στρατὸν
Σύρδην ἅπαντα τῷδ' ἀναλῶσαι δορί·
Εἰ γὰρ φαεννοὶ μὴ ξυνέσχον ἡλίου

---

36. Πανὸς μάστιγι] στρατηγὸς ὢν ποθ' ὁ Πᾶν, πολλὰ δείματα ἐνεποίει τοῖς πολεμίοις

ΕΚ. Τί ταῦθ' οὕτω συγκυκᾷς ἀναμὶξ, ὁτὲ μὲν εἰς φόβον, ὁτὲ δὲ πρὸς θάρσος προτρέπων, κοὐδὲν σαφὲς λέγων; μῶν πανικῷ φόβῳ κατασχεθεὶς, συνταράττεις μάτην τὸν στρατὸν, λιπὼν, ἣν τέταξαι τάξιν φυλάττειν; τίποθ' οὕτω θροεῖς; ἐγὼ γὰρ οὐκ οἶδ' ὅ,τι φῶ παρὰ σοῦ μεμαθηκέναι, συγκεχυμένα καὶ φύρδην πάντ' εἰρηκότος.

ΧΟ. Ἕκτορ, τοσαῦτα πυρὰ διὰ πάσης νυκτὸς ἀνέκαυσαν οἱ πολέμιοι, ὥςε τὰ ςαθμὰ τῶν νεῶν ἐκ τῶν πυρσῶν ἐφαίνοντο πόῤῥωθεν· καὶ πάντες σὺν πολλῷ θορύβῳ εἰς τὴν τοῦ Ἀγαμέμνονος συνῆλθον σκηνὴν, γνώμην τινὰ ἐκεῖθεν, ὡς ἔοικεν, ἀκουσόμενοι. ὁ γὰρ ναυτικὸς οὗτος στρατὸς οὐδέπω ὤφθη τοσοῦτον ἐπτοημένος· ὡς οὖν ἐν ὑπονοίᾳ πρὸς τὸ μέλλον γενόμενος, ἧκον ταῦτάσοι ἀγγελῶν, ἵνα μήτις ἔπειθ' ἡμῖν παρὰ σοῦ κατάμεμψις γένηται.

ΕΚ. Εὖ τυγχάνεις τοῦτο πεποιηκὼς, καί τοι μάταιον ἤγγειλας φόβον. οἱ γὰρ πολέμιοι δρασμὸν, ὡς ἔοικεν, ὑπὸ σκότῳ βουλεύονται, ὅπως λάθοιεν τὴν ἐμὴν ὀξυδέρκειαν· ταράττει γάρ με ἡ νυκτερινὴ φρυκτωρία· Ὦ δαῖμον, ὅστις ἂν ᾖς, τίποθ' οὕτω με εὐτυχοῦντ' ἀφαιρεῖς τοῦ θηράματος, οἷον λέοντα θοίνης προκειμένης, πρὶν ἢ πάντα τὸν τῶν Ἑλλήνων ςρατὸν διαφθείρω; εἰμὴ γὰρ ὁ ἥλιος ἐπέσχε με δὺς, οὐκ ἂν ἔληξα πάλλων τὸ εὐτυ-

---

νύκτωρ. ἐκ δὴ τούτου καὶ πανικὰ φέβοι τὰ κατὰ νύκτα μάτην συμβαίνοντα δείματα ἤκουσαν· ἴδε Πολυαίνου ςρατηγήματα. Κεφ. Β'. ἴδε δὲ καὶ Ἀνωνυμον μυθολόγον περὶ ἀπίστων. ιά. καὶ Ὠγυγίων. Α. σελ. 460. καὶ ἑξῆς. 43. Πυρσοῖσι] ἐν ἄλλοις, πυρσοῖ. ὁ δὲ νοῦς, τὰ τῶν νεῶν σταθμὰ εἰσὶ διϊπετῆ

Λαμπτῆρες, οὐκ ἂν ἔσχον ἀτυχοῦν δόρυ,
Πρὶν ναῦς πυρῶσαι καὶ διὰ σκηνῶν μολεῖν,
Κτείνων Ἀχαιοὺς τῇδε πολυφόνῳ χερί.
Κἀγὼ μὲν ἦν πρόθυμος ἰέναι δόρυ
Ἐν νυκτὶ, χρῆσθαί τ' εὐτυχεῖ ῥύμῃ θεοῦ·
Ἀλλ' οἱ σοφοί με καὶ τὸ θεῖον εἰδότες
Μάντεις ἔπεισαν ἡμέρας μεῖναι φάος,
Κἄπειτ' Ἀχαιῶν μηδέν' ἐν χέρσῳ λιπεῖν.
Οἱ δ' οὐ μένουσι τῶν ἐμῶν θυοσκόπων
Βουλάς· ἐν ὄρφνῃ δραπέτης μέγα σθένει.
Ἀλλ' ὡς τάχιστα χρὴ παραγγέλλειν στρατῷ,
Τεύχη πρόχειρα λαμβάνειν, λῆξαί θ' ὕπνου,
Ὡς ἄν τις αὐτῶν, καὶ νεὼς θρώσκων ἔπι,
Νῶτον χαραχθεὶς, κλίμακας ῥάνῃ φόνῳ,
Οἱ δ', ἐν βρόχοισι δέσμιοι λελησμένοι,
Φρυγῶν ἀρούρας ἐκμάθωσι γηπονεῖν.
ΧΟ. Ἕκτορ, ταχύνεις, πρὶν μαθεῖν τὸ δρώμενον.
Ἄνδρες γὰρ εἰ φεύγουσιν, οὐκ ἴσμεν τορῶς.
ΕΚ. Τίς γὰρ πυραίθειν πρόφασις Ἀργείων στρατόν;
ΧΟ. Οὐκ οἶδ'· ὕποπτον δ' ἐστὶ κάρτ' ἐμῇ φρενί.
ΕΚ. Πάντ' ἂν φοβηθεὶς ἴσθι, δειμαίνων τόδε.
ΧΟ. Οὔπω πρὶν ἧψαν πολέμιοι τοσόνδε φῶς.
ΕΚ. Οὐδ' ὧδέ γ' αἰσχρῶς ἔπεσον ἐν τροπῇ δορός.
ΧΟ. Σὺ ταῦτ' ἔπραξας· καὶ τὰ λοιπὰ νῦν σκόπει.
ΕΚ. Ἁπλοῦς ἐπ' ἐχθροῖς μῦθος, ὁπλίζειν χέρα.
ΧΟ. Καὶ μὴν ὅδ' Αἰνέας μάλα σπουδῇ ποδὸς
Στείχει, νέον τι πρᾶγμ' ἔχων φίλοις φράσαι.

---

εἶτουν λαμπρὰ διὰ τοὺς πυρσούς. 74 Λελησμένοι] λελῃστευμένοι, παρὰ τὸ Ληΐζειν

χὲς τοῦτο δόρυ, πρὶν ἢ κατακαῦσαι τὰς ναῦς ἐκείνων, διά τε τῶν σκηνῶν ἐπιὼν, κἀκείνους τῷ σιδαρῷ τούτῳ καὶ πολυφόνῳ κατακαίνων βραχίονι· καίτοι ἔγωγε μὲν ἐβουλόμην νυκτὸς ἐπιθέσθαι αὐτοῖς, καὶ τῇ τῶν θεῶν ἐπικουρίᾳ χρήσασθαι ἐν καιρῷ· ἀλλ' οἱ μάντεις, ἄνδρες σοφοὶ καὶ τὰ θεῖα εἰδότες, ἔπεισάν με περιμεῖναι τὸ φῶς τῆς ἡμέρας· εἶθ' οὕτω μηδένα τῶν Ἑλλήνων καταλιπεῖν εἰς τὴν χέρσον· οἳ ἐοίκασι μηκέτι περιμένειν τὰ τῶν ἐμῶν θυοσκόπων βουλεύματα, καὶ ἡ νὺξ τῷ δραπετεύοντι μάλιστα σύμμαχος· ἀλλ' ὡς τάχιστα κηρύξατε παντὶ τῷ στρατῷ, ἐξεγερθέντας περιθέσθαι τὰ ὅπλα· δεῖ γὰρ δή τινα ἐκείνων, ἀναβαίνοντα εἰς τὴν ναῦν, τῷ ἑαυτοῦ αἵματι περιῤῥάναι τὴν ἀναβάθραν, τραῦμ' ὄπισθεν δεξάμενος εἰς τὰ νῶτα· τοὺς δὲ πολλοὺς ἀνδραποδισθέντας, καὶ δεσμοῖς ἐμβληθέντας ἀλύτοις, τὴν τῶν Φρυγῶν μαθεῖν ἐργάζεσθαι χώραν.

ΧΟ. Ἕκτορ, σπεύδεις πρὶν μαθεῖν ἀκριβῶς τὸ γιγνόμενον. οὐ γὰρ ἴσμεν σαφῶς, εἰ ἐκεῖνοι ἀποδιδράσκοιεν.

ΕΚ. Τίς γὰρ αἰτία τῶν τοσούτων πυρσῶν παρ' ἐκείνοις;

ΧΟ. Ἐγὼ μὲν οὐκ οἶδα· ὑπόνοια δέ μοι τις ὑποτρέχει.

ΕΚ. Εἰ τοῦτο φοβῇ, τί ἂν εἴη σοι ἔξω φόβου;

ΧΘ. Οὐδέπω γὰρ ἐκεῖνοι τοσαῦτα πυρὰ ἀνῆψαν.

ΕΚ. Ἀλλ' οὐδ' οὕτω πρίν πω ἡττήθησαν ἐν μάχαις.

ΧΟ. Σὸν ἀγώνισμα τοῦτο, καὶ τὸ λοιπόν σε μένει.

ΕΚ. Ἁπλοῦς οὖν ὁ λόγος, ἐπιέναι τοῖς πολεμίοις.

ΧΟ. Καὶ μὴν Αἰνείας ὅδε, συνεχῶς κατατείνει, νέοντι δοκῶν ἔχειν εἰπεῖν τοῖς φίλοις.

ΑΙ. Ἕκτορ, τί χρῆμα νύκτεροι κατὰ στρατὸν
Τὰς σὰς πρὸ εὐνὰς φύλακες ἐλθόντες φόβῳ
Νυκτηγοροῦσι, καὶ κεκίνηται στρατός;
ΕΚ. Αἰνία, πύκαζε τεύχεσιν δέμας σέθεν.
ΑΙ. Τί δ' ἐστι; μῶν τις πολεμίων ἀγγέλλεται
Δόλος κρυφαῖος ἑστάναι κατ' εὐφρόνην;
ΕΚ. Φεύγουσιν ὥνδρες κἀπιβαίνουσιν νεῶν.
ΑΙ. Τί τῶνδ' ἂν εἴποις ἀσφαλὲς τεκμήριον;
ΕΚ. Αἴθουσι πᾶσαν νύκτα λαμπάδας πυρός·
Καί μοι δοκοῦσιν οὐ μενεῖν ἐς αὔριον,
Ἀλλ' ἐκκέαντες πύρσ' ἐπ' εὐσέλμων νεῶν,
Φυγῇ πρὸς οἴκους τῆσδ' ἀφορμήσειν χθονός.
ΑΙ. Σὺ δ' ὡς τί δράσων πρὸς τάδ' ὁπλίζῃ χέρα;
ΕΚ. Φεύγοντας αὐτοὺς κἀπιθρώσκοντας νεῶν
Λόγχῃ καθέξω, κἀπικείσομαι βαρύς·
Αἰσχρὸν γὰρ ἡμῖν, καὶ πρὸς αἰσχύνῃ κακὸν,
Θεοῦ διδόντος, πολεμίους ἄνευ μάχης
Φεύγειν ἐᾶσαι, πολλὰ δράσαντας κακά.
ΑΙ. Εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος, ὡς δρᾶσαι χερί!
Ἀλλ' οὐ γὰρ ωὐτὸς πάντ' ἐπίστασθαι βροτῶν
Πέφυκεν· ἄλλῳ δ' ἄλλο πρόσκειται γέρας,
Σοὶ μὲν μάχεσθαι, τοῖς δὲ βουλεύειν καλῶς.
Ὅστις πυρὸς λαμπῆρας ἐξήρθης κλύων
Φεύγειν Ἀχαιοὺς, καὶ στρατὸν μέλλεις ἄγειν,
Τάφρους ὑπερβὰς νυκτὸς ἐν καταστάσει.
Καίτοι περάσας κοῖλον αὐλώνων βάθος,
Εἰ μὴ κυρήσεις πολεμίους ἀπὸ χθονὸς
Φεύγοντας, ἀλλὰ σὸν βλέποντας ἐς δόρυ,
Νικώμενος μὲν, τήνδε μὴ [οὐ] μόλῃς πόλιν.
Πῶς γὰρ περάσεις σκόλοπας ἐν τροπῇ δορός;

I. Ἕκτορ, τί ποθ' οἱ φύλακες νύκτωρ ᾧδε συλλεγέντες, νυκτηγοροῦσιν, ἐξ ὧν συντετάρακται ἅπας ὁ στρατός;

K. Αἰνεία, ἴθι ἐν τάχει περιβαλοῦ τὰ ὅπλα.

I. Τί δή; μήτις δόλος ἡμῖν τετύρευται ἐν νυκτί;

K. Φεύγουσιν οἱ ἐχθροὶ, μονονουχὶ τῶν νεῶν ἐπιβάντες.

I. Πόθεν ἔχεις τοῦτ' εἰδὼς, καὶ τί τὸ σημεῖον τούτου;

K. Πολλὰ πυρὰ ἀνακαύσαντες, ἐοίκασι μὴ μενεῖν τὴν ἐπιοῦσαν, ἀλλ' ἐπιβάντες οἰχήσεσθαι οἴκαδε.

I. Σὺ δὲ τί βουλόμενος ὁπλίζῃ πρὸς ταῦτα;

K. Ὡς ἐπιπεσούμενος εἰσβαίνουσιν αὐτοῖς εἰς τὰς ναῦς ἰσχυρῶς· αἰσχρὸν γὰρ, καὶ κακῶν ἅμ' ἐστι, θεοῦ διδόντος, ἐᾶσαι πολεμίους ἀναιματὶ ἀπιέναι, πολλαχῶς ἡμᾶς κακῶς δεδρακότας.

AI. Εὔδαιμον ἂν εἴη πρὸς τῷ ἀνδρείῳ καὶ τὸ εὔβουλον ἔχειν· ἀλλ' οὐκ ἂν ῥαδίως ὁ αὐτὸς ἀνὴρ ἀμφότερα εὐτυχοίη, ἄλλων ἄλλοις παρὰ τῆς φύσεως διδομένων· τοῖς μὲν, εὖ βουλεύειν· σοὶ δὲ, μάχεσθαι· ὃς ἅμ' ἀκούσας πολλὰ πυρὰ ἀνακαῦσαι τοὺς πολεμίους, ὑπονοήσας βουλομένους ἀποδιδράσκειν, ἐπήρθης, τάφρους νύκτωρ ὑπερβὰς, ἀναζευγνύουσιν αὐτοῖς ἐπιθέσθαι, μὴ εἰδὼς ἀντίξουν σοι τοῦτο ἐσόμενον ἑκατέρωθεν· διαβὰς γὰρ τὴν τάφρον, εἴσοι καὶ τοῦτο εὖ προχωροίη, εἰ εὕροις τοὺς πολεμίους ἐναντιουμένους, νικηθεὶς μὲν, οὐκέτ' ἂν ἐς τήνδε τὴν πόλιν ἔλθοις, αὐτοῦ ἀπολόμενος· πῶς γὰρ ἂν διαβαίης πάλιν τοὺς σκόλοπας ἐν τροπῇ μάχης;

Πῶς δ' αὖ γεφύρας διαβαλοῦσ' ἱππηλάται,
Ἢν ἄρα μὴ θραύσαντες ἀντύγων χνόας;
Νικῶν δ', ἔφεδρον παῖδ' ἔχεις τὸν Πηλέως,
Ὅς σ' οὐκ ἐάσει ναυσὶν ἐμβαλεῖν φλόγα,
Οὐδ' ὧδ' Ἀχαιοὺς, ὡς δοκεῖς, ἀναρπάσαι.
Αἴθων γὰρ ὡνὴρ, καὶ πεπύργωται θράσει.
Ἀλλὰ στρατὸν μὲν ἥσυχον παρ' ἀσπίδας
Εὕδειν ἐῶμεν ἐκ κόπων ἀρειφάτων,
Κατάσκοπον δὲ πολεμίων, ὃς ἂν θέλῃ,
Πέμπειν δοκεῖ μοι. κἂν μὲν αἴρωνται φυγὴν,
Στείχοντες ἐμπέσωμεν Ἀργείων στρατῷ.
Εἰ δ' ἐς δόλον τίν' ἥδ' ἄγει φρυκτωρία,
Μαθόντες ἐχθρῶν μηχανὰς κατασκόπου,
Βουλευσόμεσθα· τήνδ' ἔχω γνώμην, ἄναξ.

ΧΟ. Τάδε δοκεῖ, τάδε μεταθέμενος νόει. (Στρ.)
Σφαλερὰ δ' οὐ φιλῶ στρατηγῶν κράτη.
Τί γὰρ ἄμεινον, ἢ
Ταχυβάταν νεῶν κατόπτην μολεῖν
Πέλας, ὅ τι ποτ' ἄρα δαΐοις
Πυρὰ κατ' ἀντίπρωρα ναυστάθμων δαίεται.

ΕΚ. Νικᾶτ', ἐπειδὴ πᾶσιν ἁνδάνει τάδε.
Στείχων δὲ κόσμει συμμάχους· τάχ' ἂν στρατὸς
Κινοῖτ' ἀκούσας νυκτέρους ἐκκλησίας.
Ἐγὼ δὲ πέμψω πολεμίων κατάσκοπον.
Κἂν μέν τιν' ἐχθρῶν μηχανὴν πυθώμεθα,

---

118. Ἢν ἄρα μὴ θραύσαντες] τὸ μὲν Ἄρα ἀπῖδος εἰς τὸ, διαβα-

πῶς δ' ἂν καὶ οἱ ἱππηλάται διαβάλοιεν τὰς γεφύρας, μὴ κατάξαντες τὰς τοῦ ἄξωνος χοινικίδας; νικῶν δ' αὖ, ἕξεις ἀντίπαλον τὸν τοῦ Πηλέως παῖδα· οὐ γὰρ ἂν ἐκεῖνος ἐάσειέ σε πῦρ προσενεγκεῖν ταῖς ναυσίν· οὐδ' οὕτως, ὡς δοκεῖς, τῶν Ἑλλήνων κρατῆσαι· ῥαγδαῖος γὰρ ὠνὴρ, καὶ πολλῷ σου προὔχει βραχίονι. Ἐῶμεν οὖν τὸν στρατὸν ἐκ πολλῶν ἀναπαύσασθαι πόνων, ὡς εἰκὸς, παρὰ τὰς ἀσπίδας· κατάσκοπον δὲ πέμπειν, εἴτις τοῦθ' ὑποσταίη, οὐκ ἀλυσιτελὲς οἶμαί γε τοῖς πράγμασιν ἔσεσθαι· εἰ μὲν γὰρ βουλεύονται δρασμὸν, ἐπιθώμεθα, ὁμόσ' ἐπιόντες· εἰ δὲ δολίως ἐκκαλεῖται ἡμᾶς ἡ φρυκτωρία, ταῦτα μαθόντες, βουλευσόμεθα περὶ τούτου ὕστερον εἰδότες καὶ καθ' ἡσυχίαν· ταῦτ' ἔμοιγε δοκεῖ.

ΧΟ. Εὖ μὲν εἴρηται τούτῳ· συνδοκεῖν δὲ καί σοι χρὴ γνώμην μεταβαλόντι· τί γὰρ ἂν εἴη λυσιτελέστερον, ἢ κατάσκοπον πέμπειν μαθησόμενον, πρὸς τί ἄρα τοσαῦτα πυρὰ τοῖς ἐχθροῖς ἀνακέκαυται.

ΕΚ. Κρατείτω ταῦτα, ἐπειδὴ πᾶσι δοκεῖ οὕτως ἄμεινον ἔχειν· σὺ δέ μοι ἰὼν, κόσμει τὸν στρατὸν, ὥστε ἀτρέμας ἔχειν· εἰκὸς γὰρ αὐτὸν τεταράχθαι, ἐκκλησίας νυκτερινὰς ἐν ἡμῖν γιγνομένας αἰσθόμενον· ἐμοὶ δὲ μελήσει πέμψαι τὸν κατασκοπήσοντα· κἂν μὲν αἰσθώμεθα τοὺς πολεμίους ἰσῶντας ἡμῖν μηχανὰς, ταῦτ'

---

λοῦσι· τὸ δὲ, ἣν μὴ, ἐκληφθήτω ἀντὶ τοῦ, εἰμή· ἡ δὲ συνθήκη οὕτω· πῶς ἄρα διαβαλοῦσι τὰς γεφύρας; εἰ μὴ διαβάλοιεν, θραύσαντες τοὺς ἄξονας, ἢ τὰς

Σύμπαντ' ἀκούσῃ, καὶ παρὼν εἴσῃ λόγον·
Ἐὰν δ' ἀπαίρωσ' ἐς φυγὴν ὁρμώμενοι,
Σάλπιγγος αὐδὴν προσδοκῶν καραδόκει,
Ὡς οὐ μενοῦντά μ'· ἀλλὰ προσμίξω νεῶν
Ὁλκοῖσι νυκτὸς τῆσδ' ἐπ' Ἀργείων στρατόν.
ΑΙ. Πέμφ' ὡς τάχιστα· νῦν γὰρ ἀσφαλῶς φρονεῖς·
Σύν σοι δέ μ' ὄψει καρτεροῦνθ', ὅταν δέῃ.
ΕΚ· Τίς δῆτα Τρώων, οἳ πάρεισιν ἐν λόγῳ,
Θέλει κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν;
Τίς ἂν γένοιτο τῆσδε γῆς εὐεργέτης;
Τίς φησιν; οὔτοι πάντ' ἐγὼ δυνήσομαι
Πόλει πατρῴα, συμμάχοις θ' ὑπηρετεῖν.
ΔΟ. Ἐγὼ πρὸ γαίας τόνδε κίνδυνον θέλω,
Ῥίψας κατόπτης ναῦς ἐπ' Ἀργείων μολεῖν,
Καὶ πάντ' Ἀχαιῶν ἐκμαθὼν βουλεύματα,
Ἥξω· 'πὶ τούτοις τόνδ' ὑφίσταμαι πόνον.
ΕΚ. Ἐπώνυμος μὲν κάρτα, καὶ φιλόπτολις
Δόλων· πατρὸς δὲ καὶ πρὶν εὐκλεᾶ δόμον
Νῦν δὶς τόσως ἔθηκας εὐκλεέστερον.
ΔΟ Οὐκοῦν πονεῖν με χρὴ, πονοῦντα δ' ἄξιον
Μισθὸν φέρεσθαι· παντὶ γὰρ προσκείμενον
Κέρδος πρὸς ἔργῳ τὴν χάριν τίκτει διπλῆν.

---

χοίνικας τῶν τροχῶν. 158· Ἐπώνυμος] φερώνυμος. 169. Δόλων] παρὰ τὸ δόλους πλέκειν τοῖς πολεμίοις· τοῦτον δὲ καὶ Ὅμηρος ἐποίησε πλούσιον· φησὶ γὰρ (Ιλ. Κ. στίχ. 314)

» Ἦν δέ τις ἐν Τρώεσσι Δόλων, Εὐμήδεος υἱὸς
» Κήρυκος θείοιο, πολύχρυσος, πολύχαλκος.

εὐθὺς καὶ συγκοινωσόμεθα· εἰ δ' εὕροιμεν αὐτοὺς ὡρμημένους ἀποδιδράσκειν, ἀκούσας τῆς σάλπιγγος, μηκέτι με ἤλπιζε ἐπισχήσειν· ἀλλ' ὡς αὐτίκα μάλα προσμίξοντός μου αὐταῖς ναυσὶν, οὕτω σε δεῖ γινώσκειν.

ΑΙ. Ἄριστα ταῦτα, καὶ φρονοῦντος· πέμπε τοίνυν ὡς τάχος· ἴσθι δὲ κἀμὲ πρόθυμον ὄντα καὶ ποιεῖν καὶ πάσχειν σύν σοι ὅ,τι δέοι.

ΕΚ. Τίς οὖν ὑμῶν τῶν συνεκκλησιαζόντων γενναίων ὑποστήσεται ἐθελοντὴς ἰέναι κατασκοπήσων τὰ τῶν πολεμίων, καὶ τῆς πατρίδος ταυτηνὶν ἐσόμενος εὐεργέτης; τίς ἂν ὑπόσχοιτο τοῦτο; οὐ γὰρ ἔμοιγ' ἐφικτὸν, ἕνα ὄντα, πάντα πράττειν, τῇ τε πατρίδι καὶ τῷ ςρατῷ πάνθ' ὑπηρετοῦντα.

ΔΟ. Ἐγὼ ὅδ' αὐτὸς, ὦ Ἕκτορ, τόνδ' ὑπὲρ τῆς πατρίδος ὑποστήσομαι κίνδυνον, κατάσκοπος ἐς τὰς τῶν Ἑλλήνων ναῦς καταδύναι· μαθὼν δ' ἃ ἐκεῖνοι βουλεύονται, ἥξω πάλιν· ἐπὶ τούτοις οὖν ἀναδέχομαι τὸν ἀγῶνα.

ΕΚ. Εὖγε· ἐλελήθεις με ἄρα, ἐπώνυμος ὢν καὶ φιλόπολις μάλιστα· τὸ μὲν οὖν γένος τὸ σαυτοῦ καὶ πρὶν γενόμενον εὐκλεὲς, νῦν τῇ σαυτοῦ ἀρετῇ δὶς τοσοῦτον εὐκλεέστερον αὐτὸς ἀπειργάσω.

ΔΟ. Οὐκοῦν ὥρα ἔργου ἔχεσθαι ἤδη· ἀποκινδυνεύσαντα δὲ ἄξιον μισθὸν ἀπενέγκασθαι· ἐπὶ παντὸς γὰρ ἔργου γέρας προτιθέμενον, προθυμοτέρους τοὺς ἀνθρώπους καθίςησιν.

ΕΚ. Ναὶ, καὶ δίκαια ταῦτα, κοὐκ ἄλλως λέγω.
Τάξαι δὲ μισθὸν, πλὴν ἐμῆς τυραννίδος.
ΔΟ. Οὐ σῆς ἐρῶμεν πολυόχλου τυραννίδος.
ΕΚ. Σὺ δ' ἀλλὰ γήμας Πριαμιδῶν γαμβρὸς γενοῦ.
ΔΟ. Οὐκ ἐξ' ἐμαυτοῦ μειζόνων γαμεῖν θέλω.
ΕΚ. Χρυσὸς πάρεστιν, εἰ τόδ' αἰτήσεις γέρας.
ΔΟ. Ἀλλ' ἔστ' ἐν οἴκοις· οὐ βίου σπανίζομεν.
ΕΚ. Τί δῆτα χρήζεις, ὧν κέκευθεν Ἴλιος;
ΔΟ. Ἑλὼν Ἀχαιοὺς, δῶρά μοι ξυναίνεσον.
ΕΚ. Δώσω· σὺ δ' αἴτει, πλὴν στρατηλάτας νεῶν.
ΔΟ. Κτεῖν', οὔ σ' ἀπαιτῶ Μενέλεω σχέσθαι χέρας.
ΕΚ. Οὐ μὴν τὸν Οἰλέως παῖδά μ' ἐξαιτεῖς λαβεῖν;
ΔΟ. Κακαὶ γεωργεῖν χεῖρες εὖ τεθραμμέναι.
ΕΚ. Τίν' οὖν Ἀχαιῶν ζῶντ' ἀποινᾶσθαι θέλεις;
ΔΟ. Καὶ πρόσθεν εἶπον· ἔστι χρυσὸς ἐν δόμοις.
ΕΚ. Καὶ μὴν λαφύρων αὐτὸς αἱρήσῃ παρών.
ΔΟ. Θεοῖσιν αὐτὰ πασσάλευε πρὸς δόμους.
ΕΚ. Τί δῆτα μεῖζον τῶνδε μ' αἰτήσεις γέρας;
ΔΟ. Ἵππους Ἀχιλλέως· χρὴ δ' ἐπ' ἀξίοις πονεῖν,
Ψυχὴν προβάλλοντ' ἐν κύβοισι δαίμονος.
ΕΚ. Καὶ μὴν ἐρῶντί γ' ἀντερᾷς ἵππων ἐμοί.
Ἐξ ἀφθίτων γὰρ ἄφθιτοι πεφυκότες,
Τὸν Πηλέως φέρουσι θούριον γόνον.

---

168. Μειζόνων γαμεῖν] ταὐτὸν τῷ παλαιφάτῳ ἐκείνῳ, τὴν κατὰ σαυτὸν ἔλα 174. Κτεῖνε] ἐκείνους, εἰ βούλει· οὐ γὰρ τούτους αἰτῶ σῶσαι, ἵν' ἀργύρῳ λάβοιμι. 175. Οἰλέως] Αἴαντα τὸν Λοκρόν· διὰ τὸ νέον εἶναι ἴσως καὶ εὐειδῆ. 177. Ἀποινᾶσθαι] ἐξαργυρώσασθαι πωλήσας· οὕτω γὰρ συνάγεται ἐκ τῶν

Κ. Καὶ δίκαια καὶ ἀληθῆ ἅμα ταῦτ' εἴρηταί σοι· αἱροῦ δὲ ὅ,τι ποτέ σοί ἐστιν ἡδομένῳ λαβεῖν ἐπὶ τούτοις, πλὴν τῆς βασιλείας.

Ο. Τῆς σῆς ἔμοιγε ταραχώδους ἀρχῆς ἔρως οὐδείς.

Κ. Ἕξεις τοίνυν γυναῖκα μίαν τῶν Πριαμίδων.

Ο. Οὐκ ἂν βουλοίμην ἐμαυτοῦ μείζω γῆμαι.

Κ. Εἰ δὲ χρυσὸν βούλει, ἑλοῦ ὅσον θέλεις.

Ο. Οὔμενουν· πολὺς γὰρ ἡμῖν ἐστιν οἴκοι.

Κ. Τί οὖν αἱρῇ, ὧν ἔνδον ἡ Τροία ἔχει;

Ο. Κρατήσας τῶν ἐχθρῶν, ἐκεῖθέν μοι δώσεις γέρας.

Κ. Αἴτει ὅ,τι βούλει, πλὴν τοὺς Ἀτρείδας μόνους.

Ο. Κτεῖνον· οὐ γὰρ κωλύω σε ἀποσχέσθαι τοῦ Μενελάου·

Κ. Τί δε; τὸν Οἰλέως ἆρα λαβεῖν ἐθέλεις;

Ο. Μὰ δί οὔ· χεῖρες γὰρ ἀπαλαὶ ἄχρηστοι γεωργίᾳ.

Κ. Τίν' οὖν τῶν Ἑλλήνων πρὸς κέρδος λαβεῖν ἐθέλεις;

Ο. Εἴρηταί μοι, μὴ σπανίζειν με πλούτου.

Κ. Ἐκ δὲ τῶν λαφύρων αἱρήσεις ὅ,τι βούλει.

Ο. Τὰ δὲ λάφυρα θεοῖς ἔσται δοτέα.

Κ. Μεῖζον οὖν τούτων τί δήποτ' ἀπαιτήσεις;

Ο. Δός μοι ἵππους τοὺς Ἀχιλλέως· ὃς γὰρ ἂν παραβάληται ἑκὼν πρὸς τὴν τύχην, ἐπ' ἀνταξίοις χρὴ τὸν ἀγῶν' ὑποστῆναι.

Κ. Συνῆκα· ἀντεραστὴς εἶ μοι τῶν αὐτῶν παιδικῶν· ἢ οὐκ οἶσθ', ὅτι τούτων κἀμὲ ἔρως ἔχει; ἀθάνατοι γὰρ ἐκεῖνοι καὶ ἐξ ἀθανάτων, οἱ τὸν Πηλέως ἄγοντες παῖδα, Πο-

---

ἑπομένων. 185. Ἐξ ἀφθίτων] Ζεφύρου γὰρ καὶ Ἁρπυίας, ὡς Ὅμηρος (Ἰλ. Π

Δίδωσι δ' αὐτοὺς πωλοδαμνήσας ἄναξ
Πηλεῖ Ποσειδῶν, ὡς λέγουσι, πόντιος.
Ἀλλ' οὔ σ' ἐπάρας ψεύσομαι· δώσω δέ σοι
Κάλλιστον οἴκοις κτῆμ' Ἀχιλλέως ὄχον.

ΔΟ. Αἰνῶ· λαβὼν δὲ, φημὶ κάλλιστον Φρυγῶν
Δῶρον δέχεσθαι τῆς ἐμῆς εὐσπλαγχνίας.
Σὲ δ' οὐ φθονεῖν χρή· μυρί' ἐστὶν ἄλλα σοι,
Ἐφ' οἷσι τέρψῃ, τῆσδ' ἀριστεύων χθονός.

ΧΟ. Μέγας ἀγών· μεγάλα δ' ἐπινοεῖς ἑλεῖν. (Ἀντ')
Μακάριός γε μὴν κυρήσας ἔσῃ·
Πόνος δ' εὐκλεής.
Μέγα δὲ, κοιράνοισι γαμβρὸν πέλειν·
Τὰ θεόθεν ἐπιδέτω Δίκα,
Τὰ δὲ παρ' ἀνδράσιν τέλειά σοι φαίνεται.

ΔΟ. Στείχοιμ' ἄν· ἐλθὼν δ' ἐς δόμους ἐφέστιος,
Σκευῇ πρεπόντως σῶμ' ἐμὸν καθάψομαι,
Κἀκεῖθεν ἥσω ναῦς ἐπ' Ἀργείων πόδα.

ΧΟ. Εἴπ', εἴ τιν' ἄλλην ἀντὶ τῆσδ' ἕξεις στολήν.

ΔΟ. Πρέπουσαν ἔργῳ κλωπικοῖς τε βήμασιν.

ΧΟ. Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Λέξον, τίς ἔσται τοῦδε σώματος σαγή,

ΔΟ. Λύκειον ἀμφὶ νῶτον ἅψομαι δοράν,

---

στίχ. 150.) φησὶν, ἐγένοντο. 188. Πηλεῖ Ποσειδῶν] ἐν τοῖς Πηλέως γάμοις καταβάντες οἱ θεοὶ, ἐδωρήσαντο αὐτῷ, Ἥφαιστος μὲν μάχαιραν· Ἀφροδίτη δὲ, φιάλην ἐγγεγλυμμένην ἔρωτα χρυσῆν· Ποσειδῶν δὲ, ἵππους Βαλίον καὶ Ξάνθον· ἐν οἷς καὶ ὁ Χείρων, τὸ μείλινον δόρυ. 190. Ὄχον] τὸ ὄχημα σὺν τοῖς

σειδῶνος, ἤ φασι, Πηλεῖ αὐτοὺς δωρησαμένου· ἀλλ' ἐπειδὴ ἐπὶ τοιοῦτόν σε ἀγῶνα προτρέπω, οὐκ ἂν ψευσαίμην πρὸς σέ· δώσω γὰρ τὸν Ἀχιλλέως δίφρον κάλλιστον πάντων κτῆμα.

ΔΟ. Συντίθεμαί σοι· λαβὼν δὲ ταῦτα, καυχήσομαι πάντων Φρυγῶν κάλλιστον ἀρετῆς τῆς ἐμαυτοῦ γέρας ἔχειν· σὺ δὲ μὴ φθονήσῃς μοι ἐπὶ τούτοις, πολλῶν σοι ὑπαρχόντων πρὸς τέρψιν, πάντων Φρυγῶν κρατιστεύοντι.

ΧΟ. Μέγας μὲν ὁ ἀγὼν, ἀλλὰ καὶ μεγάλων ἄθλων ἐγκρατὴς ἐλπίζεις γενήσεσθαι· ὧν εἰ τύχοις, εὐδαίμων ἔσῃ, καὶ ὁ πόνος ἔσται σοι εὐκλεέστατος· μέγα μὲν γὰρ βασιλικὸν ἁρμόσασθαι γάμον· ἀλλὰ τούτου τῇ προνοίᾳ μελέτω· τὰ δὲ πρὸς ἀνθρώπων εὐκλεέστατα ἔσται πάντα.

ΔΟ. Ἰτέον μοι· ἐλθὼν δὲ πρῶτον οἴκαδε, περιβαλοῦμαι σκευὴν προσήκουσαν πρὸς τὸ τέλος· εἶθ' οὕτω κατατενῶ πρὸς τὸν ναύσταθμον.

ΧΟ. Τίνα δὲ σκευὴν φὴς δεξιωτέραν περιβαλεῖσθαι;

ΔΟ. Τὴν προσήκουσαν κατασκόπῳ νυκτιβατοῦντι.

ΧΟ. Εἰπὲ ἡμῖν σαφῶς· δεῖ γὰρ δὴ σοφοῦ ἀνδρός τι σοφὸν ἐπαΐειν· τί ποτέ σοι ἔσται τὸ σάγμα τοῦτο;

ΔΟ. Δορὰ μὲν λύκου περὶ τὰ νῶτα· εἰς δὲ τὴν κεφαλὴν

---

ἵπποις. 208. Λύκειον] δορὰν Λύκου διὰ τὸ ἐοικέναι ταύτην νυκτὶ, τεφροειδῆ, ἢ φαιὰν οὖσαν· τὸ δὲ χάσμα θηρὸς τὴν τοῦ λύκου ἐπικεφαλίδα δορὰν δηλοῖ· ὃ ἐν ἄλλοις, σχῆμα θηρὸς κεῖται· ἐκ δὲ τοῦ Ὁμήρου ταῦτα εἴληπται.

Καὶ χάσμα θηρὸς ἀμφ' ἐμῷ θήσω κάρᾳ;
Βάσιν τε χερσὶ προσθίαν καθαρμόσας
Καὶ κῶλα κώλοις, τετράπουν μιμήσομαι
Λύκου κέλευθον, πολεμίοις δυσεύρετον,
Τάφροις πελάζων καὶ νεῶν προβλήμασιν.
Ὅταν δ' ἔρημον χῶρον ἐμβαίνω ποδὶ,
Δίβαμός εἰμι· τῇδε σύγκειται δόλος.

ΧΟ. Ἀλλ' εὖ σ' ὁ Μαίας παῖς ἐκεῖσε καὶ πάλιν
Πέμψειεν Ἑρμῆς, ὅς γε φηλητῶν ἄναξ·
Ἔχεις δὲ τοὖργον, εὐτυχεῖν μόνον σε δεῖ.

ΔΟ. Σωθήσομαί τε, καὶ κτανὼν, Ὀδυσσέως
Οἴσω κάρα σοι (σύμβολον δ' ἔχων σαφὲς
Φήσεις, Δόλωνα ναῦς ἐπ' Ἀργείων μολεῖν)
Ἢ παῖδα Τυδέως· οὐδ' ἀναιμάκτῳ χερὶ
Ἥξω πρὸς οἴκους, πρὶν φάος μολεῖν χθόνα.

ΧΟ. Θυμβραῖε, καὶ Δάλιε, καὶ Λυκίας (Στρ. ά.)
Ναὸν ἐμβατεύων,
Ἄπολλον, ἃ δία κεφαλὰ, μόλε το-
ξήρης, ἵκου δ' ἐννύχιος
Ἁγεμὼν σωτήριος
Ἀνέρι πομπᾶς,
Καὶ γενοῦ, καὶ ξύλλαβε Δαρδανίδαις,
Ὦ παγκρατὲς, ὦ Τροίας
Τείχη παλαιὰ δείμας.

---

219 Ὀδυσσέως] Ὀδυσσέα καὶ Διομήδην εἰσάγει ἐνταῦθα ἀποθανουμένους ὁ ποιητὴς ἀντιφραστικῶς, τὸ κοῦφον καὶ ἀλαζονικὸν τοῦ Δόλωνος βουλόμενος φράσαι· ὁ γὰρ Δόλων ὑπ' ἐκείνων, συλληφθεὶς καθ' ὁδὸν ἀπέθανε· μέτιθι δὲ ταῦτα

τὸ τοῦ στόματος αὐτοῦ περιθήσομαι χάσμα· τάστε χεῖρας εἰς ἐμπροσθίους μεταῤῥυθμίσω πόδας, καὶ κῶλα πρὸς κῶλα συντάττων καὶ μετακοσμῶν, τὴν τοῦ λύκου τετραβάμονα μιμήσομαι πορείαν, λανθάνων μὲν τοὺς πολεμίους, πρὸς δὲ τὰς τάφρους καὶ τὰ τῶν νεῶν προτειχίσματα οὐ χαλεπῶς προσιών· ὁπότε δ' αὖ ἐν ἐρήμῳ ἀνθρώπων χωρίῳ γενοίμην, δίπους αὖ πάλιν ὀρθούμενος ἔσομαι· οὕτω μοι μεμηχάνηται ταῦτα.

ΧΟ. Ἀλλ' Ἑρμῆς ὁ τῆς Μαίας ὁ τῶν κλεπτῶν ἔφορος εἴη σοι πομπὸς ἐκεῖσε καὶ πάλιν αὖθις· τὸν μὲν γὰρ ἀγῶνα ὑποδείδεσαι ἤδη· εἴη δέ σοι ἔχειν σύμμαχον καὶ τὴν τύχην.

ΔΟ. Σωθήσομαί γε, σάφ' ἴσθι τοῦτο· μετὰ γὰρ βραχὺ ὄψει με φέροντα τὴν κάραν Ὀδυσσέως, ἢ τὴν Διομήδους. πρὶν γὰρ τὴν ἡμέραν ὑπομειδιάσαι ἥξω, οὐκ ἀναίμακτον ἔχων χεῖρα· ὁπότ' αὐτὸς ἰδὼν τὸ σύμβουλον τοῦτ' ἐρεῖς, ἀληθῶς ὁ Δόλων εἰσῆλθεν εἰς τὸν ναύσταθμον τῶν Ἑλλήνων.

ΧΟ Ἄπολλον, ὁ Θύμβρας, καὶ Δήλου, καὶ Λυκίας τοὺς ναοὺς κατοικῶν, ἐλθὲ, ὦ θεία κεφαλὴ, ἐλθὲ τοξήρης, καὶ γενοῦ ἡγεμὼν νυκτερινὸς καὶ σωτήριος ἀνδρὶ τουτωῒ καθ' ὁδὸν, ἐπίκουρος Δαρδανίδαις γιγνόμενος· ὦ κραταιόταθ', ὁ Τροίας τὰ τείχη πάλαι οἰκοδομήσας.

---

ἐντρυφῶν τῇ Ὁμηρικῇ φαντασίᾳ ἐν τῷ Κ. τῆς Ἰλιάδος. 224. Θυμβραῖε] τόπος μᾶλλον ἡ Θύμβρα περὶ τὴν Τροίαν, ἐν ᾗ καὶ Θυμβραίου Ἀπόλλωνος ἱερόν. 226. Ἆ δία κεφαλὰ] εὐχῆς δηλωτικὸν ἐνταῦθα τὸ, Ἀ· εἴη δ' ἂν οὖν καὶ ὡς κλητικὸν εἰλημμένον. 228. Σωτήριος] συντακτέον ἂν εἴη μᾶλλον τοῦτο πρὸς τὸ Γενοῦ. 232. Τείχη παλαιὰ δείμας] Ἀπόλλων σὺν Ποσειδῶνι κλεΐζεται οἰκοδομῆσαι τὰ τῆς Τροίας τείχη· ἴδε Ὅμηρος. Ἰλ. Η. στίχ. 452,

Μόλοι δὲ ναυκλήρια, καὶ στρατιᾶς (Ἀντ. ά.)
Ἑλλάδος διόπτας
Ἵκοιτο, καὶ κάμψειε πάλιν θυμέλας
Οἴκων πάτρας Ἰλιάδος.
Φθιάδων δ' ἵππων ἐπὶ
Ἄντυγα βαίη,
Δεσπότου πέρσαντος Ἀχαιὸν Ἄρη,
Τὰς πόντιος Αἰακίδᾳ
Πηλεῖ δίδωσι δαίμων.
Ἐπεὶ πρό τ' οἴκων, πρό τε γᾶς ἔτλα μόνος (Στρ. β'.)
Ναύσταθμα βὰς κατιδεῖν.
Ἄγαμαι λήματος· ἦ σπάνις
Τῶν ἀγαθῶν; ὅταν ᾖ
Δυσάνιος ἐν πελάγει καὶ
Σαλεύῃ πόλις, ἔστι Φρυγῶν τις,
Ἔστιν ἄλκιμος· ἔνι δὲ θάρσος
Ἐν αἰχμαῖς ποτὲ Μυσῶν,
Ὃς ἐμὰν συμμαχίαν ἀτίζει.
Τίν' ἄνδρ' Ἀχαιῶν ὁ πεδοστιβὴς σφαγεὺς ('Αντ. β'.)
Οὐτάσει ἐν κλισίαις,
Τετράπουν μῖμον ἔχων ἐπὶ
Γαίας; ἕλοι Μενέλαν,
Κτανὼν δ' Ἀγαμεμνόνιον κρᾶτ',
Ἐνέγκοιθ' Ἑλένᾳ κακόγαμβρον
Ἐς χέρας γόον, ὃς ἐπὶ πῶλον,
Ὃς ἐπὶ Τροίαν τὰν χι-
Λιόναυν ἦλυθ' ἔχων στρατείαν.

Ἀφίκοιθ' οὗτος εἰς τὸν ναύςαθμον κατάσκοπος τῆς τῶν Ἑλλήνων ἐκεῖ ςρατιᾶς· ἀφίκοιτο δὲ καὶ πάλιν σῶς εἰς τὴν πατρῴαν ἑςίαν ἴδοιμι δ' αὐτὸν καθήμενον ἐπὶ τοῦ ὀχήματος Ἀχιλλέως τοῦ τῶν Ἑλλήνων προμάχου, πεσόντος ὑφ' Ἕκτορος, ὑπὸ τῶν Φθιάδων ἑλκόμενον ἵππων, ἃς Ποσειδῶν δέδωκε Πηλεῖ.

Οὗτος γὰρ μόνος ὑπέστη εἰς τὰ τῶν Ἑλλήνων ναύσταθμα καταδύναι ὑπὲρ τῆς πατρίδος· ἐπαινῶ τοῦ φρονήματος· ζηλῶ τῆς ἀνδρείας τὸν ἄνδρα· ἆράγ' ἐστὶν ἀγαθῶν ἀνδρῶν σπάνις; οὔμενουν· ἡνίκα γὰρ ἡ πόλις πολυκύμαντος ἤδη οὖσα, σαλεύει ὡς ναῦς ἐν πελάγει, τόθ' εὕρηται ἀνὴρ ἀγαθὸς ἐν Φρυξί· πάρεστι δὲ θαῤῥεῖν τοῖς δόρασι τῶν Μυσῶν, εἴτις ποτὲ τούτων τῶν συμμάχων ὀλιγωρεῖ.

Τίν ἆρα τῶν Ἑλλήνων Δόλων, τετράποδος μιμούμενος βάσιν, διαχρήσεται ἐν τῷ στρατοπέδῳ; εἴθ' ἀνέλοι Μενέλαον· εἴθ' ἀποκτείνας Ἀγαμέμνονα, ὅς ἦκεν ἄγων τὸν χιλιόναυν στρατὸν ἐπὶ Τροίαν, ἐνέγκοι τῇ Ἑλένῃ κακοῦ συγγενοῦς κακὸν θρῆνον τὴν κάραν.

241. Δαίμων] ὁ Ποσειδῶν. ἴδε ἀνωτέρω στίχ. 188. 247. Δυσάνος] ἐν ἄλλοις δὲ Δυσάλιος ἐν κλύδωνι τῆς ἁλός· ἢ ἐν ἁλὶ ὑπὸ ἐναντίοις ἀνέμοις.
250. Ὃς] εἴτις ποτὲ εἰς οὐδὲν τίθεται τοὺς συμμάχους Μυσούς. 253. Τετράπουν] ὡς ἀνωτέρω. στίχ. 208. 254. Γαίας! ἕλοι Μενέλαν] ἐν ἄλλοις κεῖται, Θηρός; ἕλοι Μενέλαν· συνάπτει δὲ τὸ, θηρὸς, πρὸς τὸ ἄνωθεν ἐρώτημα.
257. Ἐπὶ πῶλον] οἱ μὲν μῶλον ἀντὶ τοῦ πῶλον γράφειν ἀξιοῦσιν· οἱ δὲ τὴν Ἑλένην φασὶν πῶλον ἐννοεῖν· οἷον νέαν γυναῖκα· ἔλεγον γὰρ τὰς παρθένους πώλους· παρ' Ἡσυχίῳ δὲ, Πῶλος ἡ ἑταίρα· πώλους γὰρ αὐτὰς ἔλεγον. οἷον Ἀφροδίτης πώλους· καὶ Εὐριπίδης αὐτὸς, Οἰχαλίαν ἔφη πῶλον. Ἱππολ. ςίχ.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΠΟΙΜΗΝ, ΕΚΤΩΡ, ΧΟΡΟΣ.

ΑΓ. Ἄναξ, τοιούτων δεσπόταισιν ἄγγελος
Εἴην τὸ λοιπὸν, οἷά σοι φέρω μαθεῖν.
ΕΚ. Ἦ πόλλ' ἀγρώσταις σκαιὰ πρόσκειται φρενί·
Καὶ γὰρ σὺ ποίμνας δεσπόταις τελεσφόρους
Ἥκειν ἔοικας ἀγγελῶν, ἵν' οὐ πρέπει.
Οὐκ' οἶσθα δῶμα τοὐμὸν, ἢ θρόνους πατρὸς,
Οἷ χρῆν γεγωνεῖν σ' εὐτυχοῦντα ποιμνίων;
ΑΓ. Σκαιοὶ βοτῆρες ἐσμέν· οὐκ ἄλλως λέγω.
'Αλλ' οὐδὲν ἧσσόν σοι φέρω κεδνοὺς λόγους.
ΕΚ. Παῦσαι λέγων μοι τὰς προσαυλείους τύχας·
Μάχας πρὸ χειρῶν καὶ δόρη βαστάζομεν.
ΑΓ. Τοιαῦτα κἀγὼ σημανῶν ἐλήλυθα.
'Ανὴρ γὰρ, ἀλκῆς μυρίας στρατηλατῶν,
Στείχει φίλος σοι, σύμμαχός τε τῇδε γῇ.
ΕΚ. Ποίας πατρῴας γῆς ἐρημώσας πέδον;
ΑΓ. Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
ΕΚ. Ῥῆσον τιθέντ' ἔλεξας ἐν Τροίᾳ πόδα;
ΑΓ. Ἔγνως· λόγου δὲ δὶς τόσου μ' ἐκούφισας.
ΕΚ. Καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
Πλαγχθεὶς πλατείας, πεδιάδος θ' ἁμαξιτοῦ;
ΑΓ. Οὐκ οἶδ' ἀκριβῶς, εἰκάσαι γε μὴν πάρα.

263. Τελεσφόρους] εὐτυχεῖς· ἐν ἄλλοις δὲ, τευχεσφόροις, πρὸς τὸ δεσπόταις.
277. Λόγου δὶς τοσούτου] εἰ γὰρ μὴ ἔφθη συνιεὶς, ἔδει αὐτὸν αὖθις τὸν αὐτὸν

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΠΟΙΜΗΝ, ΕΚΤΩΡ, ΧΟΡΟΣ.

ΑΓ. Δέσποτα, εἴη μοι τοιαῦτ' ἀεὶ ἀγγέλλειν τοῖς ἐμαυτοῦ δεσπόταις, οἷάσοι νῦν ἥκω ἐρῶν·

ΕΚ. Ὡς σκαιοὶ ἐστὲ ὑμεῖς οἱ ἀγροδίαιτοι· τί γάρ σοι κοινὸν καὶ τῷ στρατοπέδῳ, ἔνθ' ἥκιστ' ἔδεισε ἥκειν, πράγμαθ' ἡμῖν ἐν ὅπλοις οὖσιν ἀγγελοῦντα ποιμενικά; ἢ οὐκ οἶσθ' ὅπου ἐστὶν ἡ πατρῴα ἑστία, ἔνθα χρῆσε βαδίζειν, τὰ τοιαῦτ' ἀγγελοῦντα, εἴτι ποτ' εἴη εὐτυχὲς ἀπὸ τῶν ποιμνίων;

ΑΓ. Σκαιοὺς μὲν εἶναι τοὺς ποιμένας ἡμᾶς οὐκ ἂν δυναίμην μὴ ὁμολογεῖν· ἀλλ' οὐχ ἧττον ἀγαθοὺς ἥκον κομίζων λόγους.

ΕΚ. Παῦσαι τῶν ἐκ τῆς ἀγροικίας πρὸς ἐμὲ μεμνημένος. νῦν γὰρ περὶ μάχας καὶ ξίφη τυγχάνομεν ἀσχολούμενοι·

ΑΓ. Πρὸς ταῦτα συντελεῖ καὶ τὰ παρ' ἐμοῦ σοι, ὦ δέσποτα· ἀνὴρ γὰρ σύμμαχος ἥκει, δυνάμεως μυρίας ἡγούμενος.

ΕΚ. Ποδαπὸν τοῦτον φῄς;

ΑΓ. Θρᾶκα, τὸν τοῦ Στρυμόνος παῖδα.

ΕΚ. Ῥῆσος ἀφίκετο δεῦρο;

ΑΓ. Ἔγνως· κοὐδέν με δεῖ ταῦτα λέγειν πάλιν.

ΕΚ. Πῶς οὖν ἀποπλανηθεὶς τῆς λεωφόρου, διὰ τῶν λοχμωδῶν καὶ δασέων χωρεῖ ὡς ἡμᾶς;

ΑΓ. Ἀκριβῶς μὲν οὐκ οἶδ' ὅ,τι φῶ· εἰκάζω δὲ, ὡς οὐ μικρὸν

Νυκτὸς γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατὸν,
Κλύοντα πλήρη πεδία πολεμίας χερός.
Φόβον δ' ἀγρώσταις, οἳ κατ' Ἴδαιον λέπας
Οἰκοῦμεν αὐτόριζον ἑστίαν χθονὸς,
Παρέσχε, δρυμὸν νυκτὸς ἔνθηρον μολών.
Πολλῇ γὰρ ἠχῇ Θρήκιος ῥέων στρατὸς
Ἔστειχε· θάμβει δ' ἐκπλαγέντες, ἵεμεν
Ποίμνας ἐς ἄκρας, μή τις Ἀργείων μόλῃ
Λεηλατήσων καὶ σὰ πορθήσων σταθμὰ,
Πρὶν δὴ δι' ὤτων γῆρυν οὐχ Ἑλληνικὴν
Ἐδεξάμεσθα, καὶ μετέστημεν φόβου.
Στείχων δ', ἄνακτος προὐξερευνητὰς στρατοῦ
Ἀνιστόρησα Θρηκίοις προσφθέγμασιν,
Τίς ὁ στρατηγὸς, καὶ τίνος κεκλημένος,
Στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος;
Καὶ πάντ' ἀκούσας, ὧν ἐφιέμην μαθεῖν,
Ἔστην· ὁρῶ δὲ Ῥῆσον, ὥστε δαίμονα,
Ἑστῶτ' ἐν ἱππείοισι Θρηκίοις ὄχοις.
Χρυσῇ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
Πώλων ἔκληε, χιόνος ἐξαυγεστέρων.
Πέλτη δ' ἐπ' ὤμων χρυσοκολλήτοις τύποις
Ἔλαμπε· Γοργὼ δ', ὡς ἐπ' αἰγίδος θεᾶς,
Χαλκῆ, μετώποις ἱππικοῖσι πρόσδετος,
Πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
Στρατοῦ δὲ πλῆθος οὐδ' ἂν ἐν ψήφου λόγῳ
Θέσθαι δύναι' ἂν, ὡς ἄπλατον ἦν ἰδεῖν.

ἐπαναλαβεῖν λόγον. 284. Αὐτόριζον] γραπτέον αὐτόῤῥιζον μᾶλλον. ἔστι δὲ

ἐστι νύκτωρ στρατὸν ἐμβαλεῖν εἰς τὴν πεδινὴν, πολεμίων αὐτὴν κατεχόντων· ἀλλ᾽οὖν φόβον ἡμῖν τοῖς ποιμέσι τοῖς τὸ νάπος τοῦτο τῆς Ἴδης, τὴν αὐτόῤῥιζόν φημι τῆς γῆς ταύτης κατοικοῦσιν ἑςίαν, παρέσχε, διὰ νυκτὸς εἰς τὸ πολύθηρον ἐμβαλὼν τοῦτο δάσος· πολλῷ γὰρ κτύπῳ διὰ τοῦ δρυμῶνος ἐχώρει· ἐφ᾽ ᾧ ἐκπλαγέντες ἡμεῖς, ἐξηλάσαμεν τὰ ποίμνια εἰς τὰς ἀκρωρείας, δεδιότες, μήτινες τῶν Ἑλλήνων ἐπελθόντες, λείαν τὰ σὰ ποιήσονται θρέμματα· μέχρις οὗ ἀκούσαντες αὐτῶν οὐχ Ἑλληνιστὶ φθεγγομένων, ἀνεπνεύσαμεν, καὶ τὸν φόβον ἀπεσεισάμεθα· Οὕτως οὖν προσιὼν τοῖς προσκόποις, ἀνιστόρουν, Θρακίζων τῇ φωνῇ. τὶς αὐτοῖς ὁ ςρατηγὸς, καὶ ὅπως ποτὲ ἀκούει, καὶ εἰ Πριάμῳ ἐσόμενος σύμμαχος παρεγένετο· ὡς δὲ πάνθ᾽, ἅμοι βουλομένῳ ἦν, μαθὼν, ἔστην, ὁρῶ αὐτὸν Ῥῆσον, οἷον θεόντινα ἐφ᾽ ἅρματος ἵππων Θρακικῶν λευκοτέρων χιόνος ὀχούμενον· τῶν δ᾽ ἵππων ὁ ζυγὸς ἀπέστιλβε τῷ χρυσῷ· καὶ ἡ ἀσπὶς αὐτῷ ἐπὶ τῶν ὤμων ἐξήστραπτε ταῖς χρυσοκολλήτοις εἰκόσι· Γοργὼ δὲ μέση, ὡς ἐπὶ τῆς ἀσπίδος τῆς Ἀθηνᾶς, χαλκῆ ἦν, ἱππείοις ἐξεικασμένη προσώποις, ἐκ πολλῶν κωδώνων πολὺν ἐκπνέουσα φόβον· τὸ δὲ πλῆθος τοῦ στρατοῦ, ὅσον οὐκ ἂν δυναίμην ἐξειπεῖν, ἄπλετον ἀεὶ διαῤῥέον τῇ ὄψει, πολλοὶ μὲν ἱππεῖς,

ἑστία ἐνταῦθα αὐτόῤῥιζος, οἷον αὐτοθέμεθλος, αὐτόχθων· εἰμήτι λεγει τὴν Ἴδην οὕτως, ὡς ῥίζαν οὖσαν αὐτὴν τῶν πέριξ ὀρέων. 306. Ἄπλατον] ἐκ τοῦ

Πολλοὶ μὲν ἱππεῖς, πολλὰ πελταστῶν τέλη,
Πολλοί τ' ἀτράκτων τοξόται, πολὺς δ' ὄχλος
Γυμνὴς ὁμαρτῇ, Θρηκιαν ἔχων στολήν.
Τοιόσδε Τροίᾳ σύμμαχος πάρεστ' ἀνὴρ,
Ὃν οὔτε φεύγων, οὔθ' ὑποσταθεὶς δορὶ,
Ὁ Πηλέως παῖς ἐκφυγεῖν δυνήσεται.
ΧΟ. Ὅταν πολίταις εὖ σταθῶσι δαίμονες,
Ἕρπει κατάντης συμφορὰ πρὸς 'τἀγαθά.
ΕΚ. Πολλοὺς, ἐπειδὴ τοὐμὸν εὐτυχεῖ δόρυ,
Καὶ Ζεὺς πρὸς ἡμῶν ἐστιν, εὑρήσω φίλους.
Ἀλλ' οὐδὲν αὐτῶν δεόμεθ', οἵτινες πάλαι
Μὴ ξυμπονῶσιν, ἡνίκ' ἐξώστης Ἄρης
Ἔθραυσε λαίφη τῆσδε γῆς, μέγας πνέων.
Ῥῆσος δ' ἔδειξεν,οἷος ἦν Τροίᾳ φίλος·
Ἥκει γὰρ ἐς δαῖτ', οὐ παρὼν κυνηγέταις,
Αἱροῦσι λείαν, οὐδὲ συγκαμὼν δορί.
ΧΟ. Ὀρθῶς ἀτίζεις, κἀπίμομφος εἶ φίλοις·
Δέχου δὲ τοὺς θέλοντας ὠφελεῖν πόλιν.
ΕΚ. Ἀρκοῦμεν οἱ σώζοντες Ἴλιον πάλαι.
ΧΟ. Πέποιθας ἤδη πολεμίους ᾑρηκέναι;
ΕΚ. Πέποιθα· δείξει τοὐπιὸν σέλας θεοῦ.
ΧΟ. Ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός.
ΕΚ. Μισῶ φίλοισιν ὕστερον βοηδρομεῖν.
ΑΓ. Ἄναξ, ἀπωθεῖν συμμάχους ἐπίφθονον.
Φόβος γένοιτ' ἂν πολεμίοις ὀφθεὶς μόνον.

---

ἀπέλαστος, ἀπρόσιτος. φοβερὸς διὰ πλῆθος ἐν ἄλλοις ἄπλαστον. 308. Ἀτράκτων] βελῶν. 319. Ἔθραυσε] ἐν ἄλλοις, ἔψαυσε· ἀπὸ μεταφορᾶς δὲ τῶν λεῶν

πολλὰ δὲ τάγματα πελταςῶν, πολλοὶ δὲ τοξόται, πολλοὶ δὲ σφενδονῆται, θρακείαν ἔχοντες ςολήν· τοιοῦτος, ὦ Δέσποτα, πάρεςι σύμμαχος ἀνήρ· ὃν ὁ τῆς Θέτιδος οὔτε φυγῇ ἐκφυγεῖν, οὔτ' ἀλκῇ ἀντιςῆναι δύναιτ' ἂν,

ΧΟ. Ἡνίχ' οἱ θεοὶ εὐνοοῦσι τῇ πόλει, τὰ δυςυχῆ εὐθὺς εἰς εὐτυχῆ μεταβάλλει.

ΕΚ. Ὁπόθ' οὑμὸς βραχίων ἀριςεύει ἐν μάχαις, καὶ ὁ Ζεὺς ἵςαται μεθ' ἡμῶν, πολλοὶ ἡμῖν ἔσονται σύμμαχοι· ἀλλὰ νῦν γ' οὐδενὸς ἡμῖν δεῖ· ὃς ἡμῖν μὴ πάλαι συνεμάχει, ἡνίχ' ὁ ἐξώςης Ἄρης, ὡς σφοδρὸς ἐπιπνεύσας, διέῤῥηξε τὰ ἱςία τῆς Τροίας· ὁ δὲ Ῥῆσος ἔδειξεν, οἷος ἦν φίλος· ἀπὼν γὰρ τοῦ κυνηγεσίου, ὁπόθ' ἡμεῖς ἐπονοῦμεν θηρώμενοι, νῦν ἥκει ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἰάλλειν, μηδὲν ἡμῖν πρότερον συμπονήσας.

ΧΟ. Οὐκ ἄνευ τοῦ δικαίου τοὺς τοιούτους τῶν φίλων μέμφῃ· ἀλλ' οὖν ἀνέχου αὐτῶν βουλομένων νῦν ἡμᾶς ὠφελῆσαι·

ΕΚ. Μὰ δία· ἀρκοῦμεν γὰρ ἡμεῖς οἱ πάλαι σώζοντες τὴν πόλιν.

ΧΟ. Μῶν πέποιθας σαυτῷ ἐξελεῖν τοὺς πολεμίους;

ΕΚ. Ἡ ἐπιοῦσα τόδε μοι μαρτυρήσει ἡμέρα.

ΧΟ. Σκόπει σύγε τὸ μέλλον· νεμεσᾷ γὰρ τὸ θεῖον.

ΕΚ. Μισῶ τοὺς ὀψὲ ἐπικουροῦντας τοῖς φίλοις.

ΑΓ. Ἀλλ', ὦ Δέσποτα, συμμάχους παρωθεῖσθαι πολλήν σοι μέμψιν ἕξει· καὶ ταῦθ', ὃς ἐπιφανὴς μόνον τοῖς πολεμίοις, φόβον ἐμπνεύσει μέγαν.

---

ῥ λόγος ἦλθεν εἰς τὴν πόλιν· ἐξώςης γὰρ κυρίως ὁ ἄνεμος ὢν, μετελήφθη εἰς



ΝΙΚΗ ΔΗΜΟΚΡΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

ΧΟ. Ὅδ' οὖν, ἐπείπερ ἦλθε, σύμμαχος μὲν οὔ,
Ξένος δὲ, πρὸς τράπεζαν ἡκέτω ξένων·
Χάρις γὰρ αὐτῷ Πριαμιδῶν διώλετο.
ΕΚ. Σύ τ' εὖ παραινεῖς, καὶ σὺ καιρίως σκοπεῖς.
Ὁ χρυσοτευχὴς δ' οὕνεκ' ἀγγέλου λόγων
Ῥῆσος παρέστω τῇδε σύμμαχος χθονί.
ΧΟ. Ἀδράστεια μὲν, ἁ Διὸς παῖς, (Στρ. α΄.)
Εἴργοις στομάτων φθόνον.
Φράσω γὰρ δὴ, ὅσον μοι
Ψυχᾷ προσφιλές ἐστιν εἰπεῖν.
Ἥκεις, ὦ ποταμοῦ παῖ,
Ἥκεις, ἐπλάθης φιλίαν πρὸς αὐλὰν
Ἀσπαστὸς, ἐπεί σε χρόνῳ
Πιερὶς μάτηρ ὅ, τε καλλιγέφυ-
Ρος ποταμὸς πορεύει
Στρυμὼν. ὅς ποτε τᾶς μελῳδοῦ ('Αντ. α΄.)
Μούσας δὶ ἀκηράτων
Δινηθεὶς ὑδροειδὴς
Κόλπων, σὰν ἐφύτευσεν ἥβαν.
Σύ μοι Ζεὺς ὁ φαναῖος
Ἥκεις διφρεύων βαλιαῖσι πώλοις.
Νῦν, ὦ πατρὶς ὦ Φρυγία,
Ξὺν θεῷ νῦν σοι τὸν ἐλευθέριον
Ζῆνα πάρεστιν εἰπεῖν.
Ἆρά ποτ' αὖθις ἁ παλαιὰ (Στρ. β΄.)
Τροία τοὺς προπότας παναμερεύσει
Θιάσους ἐρώτων
Ψαλμοῖσι καὶ κυλίκων οἰνοπλανήτοις
Ἐπιδεξίαις ἁμίλλαις,

ΧΟ. Οὗτος μὲν οὖν, ἐπειδὴ ἔφθη ἐληλυθὼς, προσίτω, σύμμαχος μὲν οὔ· χάρις γὰρ αὐτῷ οὐκέτι σώζεται παρὰ Πριαμίδαις· ξένος δὲ εἰς ἑςίασιν.

ΕΚ. Ἀμφότεροί μοι δοκεῖτε ὀρθῶς λέγειν, σὺ μὲν εὖ παραινῶν, σὺδ' εὖ σκοπῶν Ῥῆσος τοίνυν ὁ ἐξαστράπτων τοῖς ὅπλοις, ᾗ φησιν ὁ ἄγγελος οὗτος, παρέςω σύμμαχος ἡμῖν.

ΧΟ. Ὦ Νέμεσις, ἡ παῖς τοῦ Διὸς, ἐξελοῦσά μοι πάντα φθόνον, ἐπίτρεψόν μοι εἰπεῖν ὅ,τι μοί ἐστιν ἡδομένῳ. Ἥκεις ὦ παῖ ποταμοῦ, ἥκεις· ὡς εὖ παρέςης, εἰς τὴν καθ' ἡμᾶς ὧδε χώραν λίαν ἐλθὼν ποθητὸς, ὡς χρόνιος πεμφθεὶς παρὰ τῆς μητρὸς Τερψιχόρας, καὶ Στρυμόνος τοῦ καλλιγεφύρου· ὃς ῥυείς ποτε διὰ τῶν παρθενικῶν τῆς Μούσης κόλπων, τὴν σὴν ἐν αὐτῇ ἐνεφύτευσεν ἥβην.

Σὺ δ', ὦ Ζεῦ φωτοδότα, ἦλθες ἡμῖν βοηθὸς, ἐφ' ἅρματος ἐπὶ καταςίκτων ὀχούμενος ἵππων· νῦν, ὦ πατρὶς, νῦν ὦ Φρυγία, ἔξεστι σὺν θεῷ ἐλευθέριον ἐξυμνῆσαι τὸν Δία.

Ἆρ' ἡ ἀρχαία Τροία ἑορτάσει ποτ' αὖθις τοὺς ἐν προπόσει τῶν ἐρώτων χοροὺς, ψαλμοῖς τε καὶ ὕμνοις, ἐν ἁμίλλαις τε καὶ διαδοχαῖς τῶν κυλίκων διημερεύουσα,

---

τὸν Ἄρην. 338. Ἀδράστεια] Νέμεσίς ἐστιν αὕτη· ἐπειδὴ θέλει ἔπαινον εἰπεῖν τοῦ Ῥήσου, ἐπικαλεῖται ἐκείνην ἀπερύκειν τὸν φθόνον, δι' Ἕκτορα ἴσως μᾶλλον. ὡς ἀριστεύοντα ἤδη. 343. Φιλίαν] ἐν ἄλλοις, Φρυγίαν. 345. Ἐπλαθης] ἐπελάσθης. 348. Δι' ἀκηράτων . . , κόλπων] ἴδε κατωτέρω. στίχ. 920. καὶ ἑξῆς. 351. Ζεὺς φαναῖος] ὁ λαμπρὸς ἴσως· ἀγνοεῖται γὰρ ἔτι ἡ λέξις ὅ,τι δὴ

Κατὰ πόντον Ἀτρειδᾶν
Σπάρταν οἰχομένων Ἰλιάδος παρ' ἀκτᾶς;
Ὦ φίλος, εἴθε μοι
Σᾶ χερὶ καὶ σῷ δορὶ πρά-
ξας τάδ', ἐς οἶκον ἔλθοις!
Ἐλθὲ, φάνηθι, τὰν ζάχρυσον (Ἀντ. β'.)
Πηλείδᾳ προβαλοῦ κατ' ὄμμα πέλταν,
Δοχμίαν πεδαίρων
Ξεστὰν παρ' ἄντυγα, πώλους ἐρεθίζων,
Δίβολόν τ' ἄκοντα πάλλων.
Σὲ γὰρ οὔτις ὑποστὰς
Ἀργείας ποτ' ἐν Ἥρας δαπέδοις χορεύσει·
Ἀλλά νιν ἅδε γᾶ
Καταφθίμενον Θρῃκὶ μόρῳ
Φίλτατον ἄχθος οἴσει.
Ἰὼ, ἰώ!
Μέγας ὦ βασιλεῦ, καλὸν, ὦ Θρήκη,
Σκύμνον ἔθρεψας πολίαρχον ἰδεῖν.
Ἴδε χρυσόδετον σώματος ἀλκὴν,
Κλύε καὶ κόμπους κωδωνοκρότους,
Παρὰ πορπάκων κελαδοῦντας.
Θεὸς, ὦ Τροία, θεὸς αὐτὸς Ἄρης,
Ὁ Στρυμόνιος πῶλος ἀοιδοῦ
Μούσης ἥκων καταπνεῖ σε.

ποτε σημαίνει. 369. Σχιςὰν παρ' ἄντυγα κώλοις ἐρεθίζων] τοῦτο μετέβαλον

τῶν Ἀτρειδῶν ἀπεπλευσάντων πέραν τοῦ Αἰγαίου εἰς Σπάρτην· ὦ φίλταθ' ἡγεμὼν, εἴθε μοι ἐπανήκοις οἴκαδε, πάντα τἀνθάδε τῷ σαυτοῦ καταπαλαίσας βραχίονι.

Ἐλθὲ φάνηθι, προβαλοῦ τὴν σαυτοῦ διάχρυσον ἀσπίδα ἐπὶ πρόσωπον τοῦ τῆς Θέτιδος, μεταίρων αὐτὴν πλαγίαν παρὰ τὴν ἄντυγα, τοὺς θ' ἵππους ἐλαύνων ἀπὸ τοῦ ὀχήματος, καὶ τὸ δίπαλτον καὶ σιδαρὸν κραδαίνων δόρυ· οὐδεὶς γὰρ ἂν εἴη τῶν πολεμίων, ὅς, ἣν τολμήσῃ τὸν σὸν ὑποστῆναι βραχίονα, ἐν τῷ τῆς Ἥρας τῆς Ἀργείας ναῷ χορεύσει· ἀλλὰ φίλτατον ἄχθος τῇ γῇ τῇδε ἔσαι, δορὶ θρακίῳ κατειργασμένος.

Ἰὼ, ἰώ· ὦ μέγιστε Θράκης βασιλεῦ! ὦ Θράκη, ζηλῶσε καὶ μακαρίζω, ὡς μέγαν ἔθρεψας σκύμνον, ὡς καλὸν ἰδεῖν ἡγεμόνα· ἴδε πρὸς θεοῦ σώματος ἀλκὴν ὑφ' ὅπλοις χρυσοκολλήτοις· ἄκουσον, ὅπως οἱ τοῦ τελαμῶνος τῆς ἀσπίδος ἠρτημένοι κώδωνες κελαδοῦσι· θεὸς ἔσθ' οὗτος, θεὸς, ὦ Τροία, αὐτὸς ὁ Ἄρης, ὁ Στρυμόνος καὶ Μούσης παῖς ἐλθὼν, ἀναπαύσει σε.

---

ἐξ ἄλλων εἰς τὸ, Ξεσὰν παρ' ἄντυγα πώλους ἐρεθίζων· καὶ κατὰ τοῦτο παραπέφρασαι ἀντικρύ. 379. Ἴδε χρυσόδετον] ἐνταῦθα ὁ Χορὸς ὁρῶν πρῶτον τὸν Ῥῆσον ἐρχόμενον, θαυμάζει αὐτὸν μέγαν ὄντα καὶ μεγαλωσὶ τῷ χρυσῷ κεκοσμημένον.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΡΗΣΟΣ, ΕΚΤΩΡ, ΧΟΡΟΣ.

ΡΗ. Χαῖρ', ἐσθλὸς ἐσθλοῦ παῖ, τύραννε τῆσδε γῆς,
Ἕκτορ· παλαιᾷ σ' ἡμέρᾳ προσεννέπω.
Χαίρω δέ σ' εὐτυχοῦντα καὶ προσήμενον
Πύργοισιν ἐχθρῶν· συγκατασκάψων δ' ἐγὼ
Τείχη πάρειμι, καὶ νεῶν πρήσων σκάφη.
ΕΚ. Παῖ τῆς μελῳδοῦ μητέρος, Μουσῶν μιᾶς,
Θρηκός τε ποταμοῦ Στρυμόνος, φιλῶ λέγειν
Τἀληθὲς ἀεὶ, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
Πάλαι, πάλαι χρῆν τῇδε συγκάμνειν χθονὶ
Ἐλθόντα, καὶ μὴ τοὐπί σ' Ἀργείων ὕπο
Τροίαν ἐᾶσαι πολεμίων πεσεῖν δορί.
Οὐ γάρ τι λέξεις, ὡς ἄκλητος ὢν, φίλοις
Οὐκ ἦλθες, οὐδ' ἤμυνας, οὐδ' ἐπεστράφης.
Τίς γάρ σε κῆρυξ, ἢ γερουσία Φρυγῶν
Ἐλθοῦσ', ἀμύνειν οὐκ ἐπέσκηψεν πόλει;
Ποῖον δὲ δώρων κόσμον οὐκ ἐπέμψαμεν;
Σὺ δ' ἐγγενὴς ὢν, βάρβαρός τε βαρβάρους
Ἕλλησιν ἡμᾶς προὔπιες τὸ σὸν μέρος,
Καίτοι σε μικρᾶς ἐκ τυρανίδος μέγαν
Θρηκῶν ἄνακτα τῇδ' ἔθηκ' ἐγὼ χερὶ,

403 Προὔπιες] ἐνταῦθα, προὔδωκας τοῖς Ἕλλησι, χάριν αὐτοῖς φέρων τὴν ἀδιαφορίαν· οὕτω καὶ Δημοσθένης (Ὀλυνθ. Γ.) προπέποται τῆς παραυτίκα ἡ-

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΡΗΣΟΣ, ΕΚΤΩΡ, ΧΟΡΟΣ.

**ΡΗ.** Ἕκτορ, ἀγαθὸς ἀγαθοῦ πατρὸς παῖ, ὁ τῆσδε τῆς γῆς ἀνάσσων, χαῖρε· χρόνιος μέν σοι τὸ πρόσφεγμα προσφέγγομαι τοῦτο· χαίρω δὲ, εὐτυχοῦνθ' ὁρῶν σε καὶ πρὸς τοῖς τῶν πολεμίων προσεδρεύοντα τείχεσιν· ἃ συγκατασκάψων παραγέγονα καὶ αὐτὸς, καὶ τὰς ναῦς συγκαταπρήσων.

**ΕΚ.** Ὦ Στρυμόνος, καὶ Μούσης παῖ, ἴσθι με φιλοῦντα μὲν λέγειν τἀληθὲς, μισοῦντα δὲ ἄνδρα διπλοῦν παρεχόμενον ἦθος· πάλαι γάρ ποτ' ἐχρῆν σε ἐλθόντα συναντιλαβέσθαι ἡμῖν τῶν ἀγώνων καὶ τῶν κινδύνων· καὶ μὴ ἐᾶσαι Τροίαν τοῖς πολεμίοις λείαν γενέσθαι· οὐ γὰρ ἂν εἴποις, ὡς ἄκλητος ὢν, οὐκ ἠξίωσας βοηθεῖν, μήθ' ὅλως ἐπιςραφῆναι, πολλῶν μὲν κηρύκων, πολλῶν δὲ κἀκ τῆς Γερουσίας τῶν Τρώων πρεσβευσάντων, καὶ δεηθέντων σου ἀμύνειν τῇ πόλει· ἐῶ δὲ καταλέγειν τὰ δῶρα, ἃ μεγαλοπρεπῆ καὶ ἄξιά σοι ἐπέμψαμεν· σὺ δ' οὖν ὁμογενὴς ὢν, καὶ βάρβαρος, βαρβάρους ἡμᾶς τὸ σαυτοῦ μέρος προὔδωκας τοῖς Ἀργείοις, καίπερ ἐκ τοῦ ἐμοῦ τουτουΐ βραχίονος ἐκ μικροῦ μέγας Θρακῶν γενόμενος τύραννος· ἢ οὐ μέμνησαι, ὅπως ὡς μάλα ῥαγ-

---

δανῆς καὶ χάριτος τὰ τῆς πόλεως πράγματα· καὶ, οἱ τὴν ἐλευθερίαν προπε-

Ὅτ' ἀμφὶ Πάγγαιόν τε Παιόνων τε γῆν
Θρηκῶν ἀρίστοις ἐμπεσὼν κατὰ στόμα,
Ἔῤῥηξα πέλτην, σοὶ δὲ δουλώσας λεὼν
Παρέσχον· ὧν σὺ λακτίσας πολλὴν χάριν,
Φίλων νοσούντων, ὕστερος βοηδρομεῖς.
Οἱ δ' οὐδὲν ἡμῖν ἐγγενεῖς πεφυκότες,
Πάλαι παρόντες, οἱ μὲν ἐν χωστοῖς τάφοις
Κεῖνται πεσόντες, πίστις οὐ σμικρὰ πόλει,
Οἱ δ' ἔνθ' ὅπλοισι καὶ παρ' ἱππείοις ὄχοις
Ψυχρὰν ἄησιν δίψιόν τε πῦρ θεοῦ
Μένουσι καρτεροῦντες, οὐκ ἐν δεμνίοις
Πυκνὴν ἄμυστιν, ὡς σὺ, δεξιούμενοι.
Ταῦθ', ὡς ἂν εἰδῇς Ἕκτορ' ὄντ' ἐλεύθερον,
Καὶ μέμφομαί σοι, καὶ λέγω κατ' ὄμμα σόν.

ΡΗ. Τοιοῦτός εἰμι κἀυτὸς, εὐθεῖαν λόγων
Τέμνων κέλευθον, κοὐ διπλοῦς πέφυκ' ἀνήρ.
Ἐγὼ δὲ μεῖζον, ἢ σὺ, τῆσδ' ἀπὼν χθονὸς,
Λύπῃ πρὸς ἧπαρ δυσφορῶν ἐτειρόμην·
Ἀλλ' ἀγχιτέρμων γαῖά μοι, Σκύθης λεὼς,
Μέλλοντι νόστον τὸν πρὸς Ἴλιον περᾶν
Ξυνῆψε πόλεμον· Εὐξένου δ' ἀφικόμην
Πόντου πρὸς ἀκτὰς, Θρῆκα πορθμεύσας στρατόν.
Ἔνθ' αἱματηρὸς πέλανος ἐς γαῖαν Σκύθης

---

ποκότες Φιλίππῳ. 414. Ἄησιν] ψυχρὰν πνοὴν τοῦ ἀνέμου, καὶ τὸ ξηρὸν καὶ δίψαν ἐμποιοῦν καῦμα τοῦ ἡλίου 416. Πυκνὴν ἄμυσιν] ὡς πυκνὸν περιφέρειν τὸ ἔκπωμα ἐν τῷ πίνειν τοῦτο δηλεῖ· εἴρηται δὲ παρὰ τὸ ἀμυσίζειν, ἀ-

θαῖος ἐμβαλὼν κατὰ μέτωπον τῶν Θρακῶν τοῖς ἀρίςοις ἐν τοῖς Παίοσι κατὰ τὸ Πάγγαιον, διέῤῥηξα αὐτοῖς κατὰ κράτος τὴν φάλαγγα, κρατήσας δὲ, παρέσχον σοὶ αὐτῶν ἄρχειν; σὺ δ' οὖν τὴν τούτων χάριν ἀποσεισάμενος, φίλοις κακῶς πάσχουσιν ὑπὸ πολεμίων ὀψὲ καὶ μόλις νῦν ἀμύνειν ἠξίωσας· καί τοι τῶν μηδὲν ἡμῖν προσηκόντων γένει οἱ μὲν πάλαι συμπονοῦντες, καὶ ἄνδρες γενόμενοι ἀγαθοὶ, κεῖνται ἐν τοῖς τάφοις, πίςιν ἀξίαν παρασχόντες τῇ πόλει· οἱ δὲ, ᾧδέ πῃ παρ' ἀσπίδα καὶ τὰ ὀχήματα γρηγοροῦντες διατελοῦσιν, οὐκ ἐν στρωμναῖς παχείαις ἐκπώματ' ἀλλήλοις προπίνοντες, ὥσπερ σὺ, ἀλλὰ τὴν ἀπὸ τῆς ὥρας ἐπήρειαν, οἷον ψῦχος καὶ θάλπος γενναίως ἐγκαρτεροῦντες. Ταῦτ' οὖν μεμφόμενος, κατὰ πρόσωπον λέγω, ἵν' εἰδῇς Ἕκτορα ἐλεύθερον ὄντα.

ΡΗ. Τοιοῦτος δοκῶ μοι καὶ αὐτὸς πεφυκέναι, τὴν μὲν εὐθεῖαν τοῦ λόγου ἀεὶ τέμνων αὔλακα· μισῶν δὲ, εἴτινα αἰσθοίμην διπλοῦν πεφυκότα· ἐγὼ δ' οὖν τοῦ παρόντος ἀπεσχοινισμένος ἀγῶνος, μείζονι λύπῃ ἐδακνόμην τὴν ψυχὴν, ἢ σὺ, ὡς ἐγὼ σαφῶς τοῦτο σύνοιδα· ἀλλ' ἅμα μέλλοντί μοι ἥξειν ἐπικουρήσων Τροίᾳ, πόλεμος Σκυθικὸς ἐξ ὁμόρων ὄπισθεν ξυνεῤῥώγει· ἐφ' οὓς ἀντεπαγαγὼν τὸν στρατὸν, ὡς εἰκὸς, παρὰ τὸν Εὔξεινον πόντον, συνῆψα μάχην

---

μυςὶ, ἢ χανδὸν πίνειν· ἔστι δὲ καὶ εἶδος ἐκπώματος παρὰ Θραξί· Θρακίᾳ δὲ ἡ πρόποσις αὕτη. 427. Αἱματηρὸς πέλανος, ἀφρὸς αἵματος, λύθρος.

Ἤντλεῖτο λόγχῃ, Θρῇξ τε συμμιγὴς φόνος.
Τοιάδε τοί μ' ἀπεῖργε συμφορὰ πέδον
Τροίας ἱκέσθαι σύμμαχόν τέ σοι μολεῖν.
Ἐπεὶ δ' ἔπερσα, τῶνδ' ὁμηρεύσας τέκνα,
Τάξας ἔτειον δασμὸν ἐς δόμους φέρειν,
Ἥκω περάσας ναυσὶ πόντιον στόμα,
Τὰ δ' ἄλλα πεζὸς γῆς περῶν ὁρίσματα·
Οὐδ', ὡς σὺ κομπεῖς τὰς ἐμὰς ἀμύστιδας,
Οὔτ' ἐν ζαχρύσοις δώμασιν κοιμώμενος,
Ἀλλ' οἷα πόντον Θρήκιον φυσήματα
Κρυσταλλόπηκτα Παίονάς τ' ἐπεζάρει,
Ξὺν τοῖσδ' ἄϋπνος οἶδα τλὰς πορπάμασιν.
Ἀλλ' ὕστερον μὲν ἦλθον, ἐν καιρῷ δ' ὅμως·
Σὺ μὲν γὰρ ἤδη δέκατον αἰχμάζεις ἔτος,
Κοὐδὲν περαίνεις, ἡμέραν δ' ἐξ ἡμέρας
Ῥίπτεις κυβεύων τὸν πρὸς Ἀργείους Ἄρην·
Ἐμοὶ δὲ φῶς ἓν ἡλίου καταρκέσει,
Πέρσαντι πύργους ναυστάθμοις ἐπεισπεσεῖν,
Κτεῖναί τ' Ἀχαιούς· θατέρᾳ δ' ἀπ' Ἰλίου
Πρὸς οἶκον εἶμι, συντεμὼν τοὺς σοὺς πόνους.
Ὑμῶν δὲ μή τις ἀσπίδ' αἰρέτω χερί.
Ἐγὼ γὰρ ἕξω τοὺς μέγ' αὐχοῦντας δορὶ
Πέρσαι Ἀχαιοὺς, καίπερ ὕστερον μολών·
ΧΟ. Ἰὼ, ἰώ! φίλα θροεῖς,
Φίλος Διόθεν εἶ· μόνον

---

435. Τὰς ἐμὰς ἀμύστιδας] προφέρων· ἢ δεξιούμενος, ὡς ἀνωτέρω. στίχ. 420. 439. Ἄϋπνος οὕτως ἐκ τῆς ἀρχαίας ἀντὶ τοῦ ἀόπλοις.

πρὸς ἐκείνους ἐνταῦθα ἔνθα φόνος πολὺς συμμιγὴς ἑκατέρωθεν γεγονὼς, τὴν τῆς γῆς κατέκλυσεν ἐπιφάνειαν· τοῦτ' οὖν ἦν μοι τὸ κωλῦον παραγενέσθαι σοι βοηθόν· Ὡς δὲ τάχιστα τοὺς πλείστους ἐκείνων κατασφάξας, ἐκράτησα, ὁμήρους τοὺς παῖδας αὐτῶν λαβὼν, καὶ ἐπέτειον δασμὸν τάξας φέρειν, ἥκω, τὸν μὲν Ἑλλήσποτον ναυσὶ διαβὰς, τὸ δὲ λοιπὸν ἐς δεῦρο πεζῇ διανύσας, οὐχ ὡς αὐτὸς λαρυγγίζεις, ἐκπώματα δεξιούμενος, οὔτ' ἐν ζαπλούτοις κοιμώμενος στρώμασιν, ἀλλὰ τοῖς τῆς Θράκης καὶ Παιωνίας ψυχροτάτοις ἐκτεθειμένος ἀνέμοις, σὺν τοῖσδε τοῖς ἐνδύμασιν ἄϋπνος πρὸς ταῦτα διακαρτερῶν· ἀλλ' ὑστέρησ' ἀφικέσθαι, οἶδα μὲν κἀγώ· ἀλλ' οὐκ ἂν εἴποις μὴ ἐν καιρῷ με παραγενέσθαι· δέκατον γὰρ τουτὶ ἔτος ἤδη οὐδὲν αὐτὸς περαίνεις μαχόμενος· ἀλλ' ἡμέραν παρ' ἡμέραν δοκεῖς, ἄλλοτ' ἄλλως, ὥσπερ ἐν κύβοις, ταλαντεύων τὴν τοῦ πολέμου τύχην πρὸς τοὺς πολεμίους· ἐμοὶ δὲ μία μόνη ἀρκέσει ἡμέρα τῶν τε τειχῶν κρατῆσαι ἐπιπεσόντα, κἀκείνους διαφθεῖραι αὐτῷ ναυστάθμῳ· τὴν δ' ἐπιοῦσαν εἶμι οἴκαδε εἰς τὴν Θράκην, πολλῶν καὶ χρονίων σε ἀπαλλάξας πραγμάτων· μηκέτι γὰρ ὑμῶν μηδεὶς παραγενέσθω τῇ μάχῃ, μηδ' ἀράσσω δόρυ, ἐμοὶ μόνῳ τόγε νῦν εἶναι καταλιπὼν τὸν ἀγῶνα· καὶ ὄψεσθ' ὅπως ἐγὼ ὁ ὑστερήσας τοὺς μέγα φρονοῦντας ἐκείνους ἐπὶ δορὶ, ἐξαιρήσω κρατήσας.

ΧΟ. Ἰὼ, ἰὼ, ὡς φίλα ταῦτα τυγχάνεις λέγων, φίλος ἡμῖν ἐκ Διὸς παραγεγενημένος. Ζεὺς δ' ὅμως ὁ τῶν θεῶν

Φθόνον ἄμαχον ὕπατος Ζεὺς
Ἐθέλοι ἀμφὶ σοῖς λόγοισιν εἴργειν!
Τὸ δὲ νάϊον Ἀργόθεν δόρυ
Οὔτε πρὶν, οὔτε νῦν τιν' ἀν-
Δρῶν ἐπόρευσε σέθεν κρείσσω·
Πῶς μοι Ἀχιλλεὺς τὸ σὸν ἔγχος ἂν δύναιτο,
Πῶς δ' Αἴας ὑπομεῖναι;
Εἰ γὰρ ἐγὼ τόδ' ἦμαρ ἐσίδοιμ', ἄναξ,
Ὅπως πολυφόνου
Χειρὸς ἀποινάσαιο λόγχᾳ!

ΡΗ. Τοιαῦτα μέν σοι τῆς μακρᾶς ἀπουσίας
Πρᾶξαι παρέξω. σὺν δ' Ἀδραστείᾳ λέγω,
Ἐπειδὰν ἐχθρῶν τήνδ' ἐλευθέραν πόλιν
Θῶμεν, θεοῖσί τ' ἀκροθίνι' ἐξέλης,
Ξὺν σοὶ στρατεύειν γῆν ἐπ' Ἀργείων θέλω,
Καὶ πᾶσαν ἐλθὼν Ἑλλάδ' ἐκπέρσαι δορὶ,
Ὡς ἂν μάθωσιν ἐν μέρει πάσχειν κακῶς.

ΕΚ. Εἰ τοῦ παρόντος τοῦδ' ἀπαλλαχθεὶς κακοῦ,
Πόλιν νεμοίμην, ὡς τὸ πρίν ποτ', ἀσφαλῆ,
Ἦ κάρτα πολλὴν θεοῖς ἂν εἰδείην χάριν.
Τὰ δ' ἀμφί τ' Ἄργος καὶ νομὸν τὸν Ἑλλάδος
Οὐχ' ὧδε πορθεῖν ῥᾴδι', ὡς λέγεις, δορί.

ΡΗ. Οὐ τούσδ' ἀριστέας φασὶν Ἑλλήνων μολεῖν;

ΕΚ. Κοὐ μεμφόμεσθά γ', ἀλλ' ἄδην ἐλαύνομεν.

ΡΗ. Οὐκοῦν κτανόντες τούσδε, πάντ' εἰργάσμεθα.

ΕΚ. Μὴ νῦν τὰ πόῤῥω, τἀγγύθεν μεθεὶς, σκόπει·

ΡΗ. Ἀρκεῖν ἔοικέ σοι παθεῖν, δρᾶσαι δὲ μή;

ΕΚ. Πολλῆς γὰρ ἄρχω, κἀνθάδ' ὢν τυραννίδος.

ὕπατος ἀπερύκοι τὸν, ἐφ' οἷς ἐκαυχήσω, ἀκαταμάχητον φθόνον· ὁ δὲ ναυτικὸς τῶν Ἑλλήνων στρατὸς οὔτε νῦν, οὔτε πάλαι ἄνδρα κρείττω σου πώποτ' ἤνεγκε δεῦρο· πῶς γὰρ ἂν ἢ Ἀχιλλεὺς, ἢ Αἴας, ἢ ὁστισοῦν τὸ σὸν ὑποσταίη δόρυ; γένοιτά μοι, ὦ βασιλεῦ, ἰδεῖν τήμερον τῆς σῆς πολυφόνου χειρὸς τοὺς καρποὺς ἐν τῷ αἵματι τῶν ἐχθρῶν.

ΡΗ. Ταῦτα μέντοι ὧδε τῆς ἐμαυτοῦ μακρᾶς ἀπουσίας ἀποτίσω ἀντίποινα· Νεμέσεως δέ μοι μὴ βάλοι βέλος, ἐπειδὰν τάχιστα ἀπωσώμεθα τῆς χώρας ταύτης τὸν κίνδυνον, καὶ τοῖς θεοῖς ἐξέλης τὰ ἀκροθίνια, ἕτοιμός εἰμι συςρατεύειν σοι ἐπὶ τὴν ἐκείνων, καὶ πᾶσαν ἐπιδραμεῖν τὴν Ἑλλάδα, διαφθείρων πολέμῳ, ὡς μάθωσιν, ὧν ὑμᾶς κακῶς ἔδρασαν, δίκας δοῦναι.

ΕΚ. Ἔμοιγ' δ' εἴη, τοῦ παρόντος ἀπαλλαγέντι δεινοῦ, ἀσφαλῶς, ὡς τὸ πρὶν, τὴν πόλιν καρποῦσθαι, καὶ πολλὴν οὕτω τοῖς θεοῖς χάριν σχοίην· τὸ δὲ Ἄργος καὶ τὴν ἄλλην Ἑλλάδα πολέμῳ διαφθεῖραι ἔργον ἐστιν, κοὐχ ὧδε ῥᾴδιον, ὡς ὑπείληφας.

ΡΗ. Οὐ τοὺς ἀρίστους αὐτῶν τούσδε φασὶν εἶναι;

ΕΚ. Οὕτως ἔχει· ἀλλὰ καὶ οὕτω διὰ χρόνου ἐκείνους ἐλαύνομεν·

ΡΗ. Τούτους οὖν διαφθείραντες ὧδε, τὸ πᾶν ἐξειργάσμεθα.

ΕΚ. Ἀφεὶς τὰ πόῤῥω, τὰ παρὰ πόδας σκόπει.

ΡΗ. Ἀγαπήσεις οὖν σύγε μηδὲν ἀντιδράσαι παθών;

ΕΚ. Πολλῆς ἄρχων χώρας, οὐκ ἐπιθυμῶ ἐπικτήσασθαι καὶ

---

462. Ἀποινάσαιο] τὸ κέρδος τῆς χειρὸς λάβοις· ὅπως ὄναιο τῆς σῆς χειρὸς, ἐν ἄλλοις δὲ, Ἀπονάσαιο, κεῖται. 481. Ἀλλ' ἄδην] ἐν ἄλλοις, ἀλλὰ

Ἀλλ' εἴτε λαιὸν, εἴτε δεξιὸν κέρας,
Εἴτ' ἐν μέσοισι συμμάχοις, πάρεστί σοι
Πέλτην ἐρεῖσαι, καὶ καταστῆσαι στρατόν.
ΡΗ. Μόνος μάχεσθαι πολεμίοις, Ἕκτορ, θέλω.
Εἰ δ' αἰσχρὸν ἡγῇ μὴ συνεμπρῆσαι νεῶν
Πρύμνας, πονήσας τὸν πάρος πολὺν χρόνον,
Τάξον μ' Ἀχιλλέως καὶ στρατοῦ κατὰ στόμα.
ΕΚ. Οὐκ ἔστ' ἐκείνῳ θοῦρον ἐντάξαι δόρυ.
ΡΗ. Καὶ μὴν λόγος γ' ἦν, ὡς ἔπλευσ' ἐπ' Ἴλιον.
ΕΚ. Ἔπλευσε καὶ πάρεστιν, ἀλλὰ μηνίων
Στρατηλάταισιν, οὐ συναίρεται δόρυ.
ΡΗ. Τίς δὴ μετ' αὐτὸν ἄλλος εὐδοξεῖ στρατοῦ;
ΕΚ. Αἴας ἐμοὶ μὲν οὐδὲν ἡττᾶσθαι δοκεῖ,
Χὼ Τυδέως παῖς· ἔστι δ' αἱμυλώτατον
Κρότημ' Ὀδυσσεὺς, λῆμά τ' ἀρκούντως θρασὺς,
Καὶ πλεῖστα χώραν τήνδ' ἀνὴρ καθυβρίσας.
Ὃς εἰς Ἀθάνας σηκὸν ἔννυχος μολὼν,
Κλέψας ἄγαλμα ναῦς ἔπ' Ἀργείων φέρει.
Ἤδη δ' ἀγύρτης, πτωχικὴν ἔχων στολὴν,
Εἰσῆλθε πύργους· πολλὰ δ' Ἀργείοις κακὰ
Ἠρᾶτο, πεμφθεὶς Ἰλίου κατάσκοπος,

δὴν, κεῖται· ὁ δὲ νοῦς, οἶμαι, ἔχει οὕτως· οὐκ ἀρνούμεθα τοὺς ἀρίστους ἐλθεῖν ὧδε, ἀλλὰ τοιούτους ὄντας μόλις ὀψὲ νῦν δεκάτῳ ἔτι ἐξελαύνομεν αὐτοὺς τῆς χώρας· πῶς οὖν ἐπὶ τὴν ἐκείνων ἔλθοιμεν ἄν; ἄλλως· οὐ μεμφόμεθα ἐκείνους ὡς ἀρίστους ὄντας, ἀλλὰ νῦν ἐξελαύνομεν αὐτοὺς κατὰ κράτος· πρὸς τοῦτο δὲ συννεύει καὶ τὰ ἑπόμενα. 490 Μηνίων] Ἀγαμέμνονι· οὗ ὑπόθεσιν ποιεῖται ἡ Ὁμήρου Ἰλιάς. 504. Ἀγύρτης Ὅμηρος περὶ τούτου. Ὀδ. Δ. στίχ. 244. οὕτω.

ἑτέραν· σὺ δ' αἱροῦ, οἵαν βούλει τάξιν, εἴτε τὸ δεξιὸν, εἴτε τὸ εὐώνυμον, εἴτε ἐν μέσοις τοῖς συμμάχοις ταχθῆναι πρὸς τὴν μάχην.

ΡΗ. Ἔγωγε μὲν βουλοίμην ἂν μόνος ἀντιπαραταχθῆναι τοῖς πολεμίοις· εἰ δ' οὐ καλόν σοι δοκεῖ μὴ συνεμπρῆσαι τὸν ναύσταθμον τῶν Ἑλλήνων, πολλὰ τὸν πρὶν πονήσαντα χρόνον· τάξον με κατὰ μέτωπον τοῦ Πηλείδου.

ΕΖ. Πρὸς Ἀχιλλέα ἡμῖν οὐκ ἔσται μάχη.

ΡΗ. Καὶ μὴν φασὶ κἀκεῖνον ἐνταῦθα εἶναι.

ΕΚ. Ἀλλὰ νῦν μηνίων Ἀτρείδῃ, ἀτρέμας ἔχει.

ΕΗ. Τίς οὖν μετ' αὐτὸν ἄριστος τῶν Ἑλλήνων;

ΕΚ. Ἔμοιγε μὲν οὐδ' Αἴας ἥττων ἐκείνου δοκεῖ εἶναι· οὐδ' ὁ Τυδέως παῖς· ἔστι δὲ καὶ ἕτερος παρ' αὐτοῖς ἀνὴρ αἱμύλος, πανοῦργός τε, καὶ θρασὺς ἐν τοῖς μάλιστα, πολλὰ κακὰ τήνδε τὴν χώραν ποιήσας, ὃν Ὀδυσσέα προσαγορεύουσιν· ὃς νύκτωρ ἐς τὸν τῆς Ἀθηνᾶς ναὸν καταδὺς, καὶ τὸ ἄγαλμα ὑφελόμενος, ἧκε φέρων αὐτὸ ἐς τὰς ναῦς· σχῆμα γὰρ ἀγύρτου περικείμενος ἔξωθεν, φαῦλά τε ἀμπεχόμενος, εἰσῆλθεν εἰς τὴν πόλιν λαθών· κατάσκοπος δὲ παρὰ τῶν Ἑλλήνων πεμφθεὶς, πολλὰ ἐπλάττετο καταρᾶσθαι ἐκείνοις· τελευτῶν δ' ἀνελὼν

---

» Αὐτὸν μὲν πληγῇσιν ἀεικελίῃσι δαμάσας,
» Σπεῖρα κάκ' ἀμφ' ὤμοισι βαλὼν, οἰκῆϊ ἐοικὼς,
» Ἀνδρῶν δυσμενέων κατέδυ πόλιν . . . . . .

Καὶ αὐτὸς δ' Εὐριπίδης ἐν Ἑκάβῃ. στίχ. 239.

» Οἶσθ' ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
» Δυσχλαινίᾳ τ' ἄμορφος; . . . . . .

Κτανὼν δὲ φρουροὺς καὶ παραστάτας πυλῶν,
Ἐξῆλθέν· ἀεὶ δ' ἐν λόγοις εὑρίσκεται,
Θυμβραῖον ἀμφὶ βωμὸν ἄστεος πέλας
Θάσσων· κακῷ δὲ μερμέρῳ παλαίομεν.

ΡΗ. Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρα
Κτεῖναι τὸν ἐχθρὸν, ἀλλ' ἰὼν κατὰ στόμα.
Τοῦτον δ', ὃν ἵζειν φὴς σὺ κλοπικὰς ἕδρας·
Καὶ μηχανᾶσθαι, ζῶντα συλλαβὼν ἐγὼ,
Πυλῶν ἐπ' ἐξόδοισιν ἀμπείρας ῥάχιν,
Στήσω πετεινοῖς γυψὶ θοινατήριον.
Ληστὴν γὰρ ὄντα καὶ θεῶν ἀνάκτορα
Συλῶντα, δεῖ νιν τῷδε κατθανεῖν μόρῳ.

ΕΚ. Νῦν μὲν καταυλίσθητε· καὶ γὰρ εὐφρόνη.
Δείξω δ' ἐγώ σοι χῶρον, ἔνθα χρὴ στρατὸν
Τὸν σὸν νυχεῦσαι τοῦ τεταγμένου δίχα.
Ξύνθημα δ' ἡμῖν Φοῖβος, ἤν τι καὶ δέῃ,
Μέμνησ' ἀκούσας, Θρῃκί τ' ἄγγειλον στρατῷ.
Ὑμᾶς δὲ βάντας χρὴ προταινὶ τάξεων
Φρουρεῖν ἐγερτὶ, καὶ νεῶν κατάσκοπον
Δέχθαι Δόλωνα· καὶ γὰρ, εἴπερ ἐστὶ σῶς,
Ἤδη πελάζει στρατοπέδοισι Τρωϊκοῖς.

ΧΟ. Τίνος ἁ φυλακά; τίς ἀμείβει (Στρ.)
Τὰν ἐμάν; πρῶτα
Δύεται σημεῖα καὶ ἑπτάποροι

519. Προταινὶ] προσφάτως, πρὸ μικροῦ· ἢ ἀντὶ τῆς πρὸ, ἢ πρόσθεν· ἔστι δὲ τοῦτο τῶν σπανιωτάτων. 525. Σημεῖα] δῆλον ὅτι ἀστερισμοὺς τινάς φησι σημεῖα. Περὶ δὲ τῆς Πλειάδος ἴδε Ἰφιγ. Αὐλ. στίχ. 7. Ἀετὸν δὲ, τὸν θρέψαντα

τοὺς φρουροὺς τῶν πυλῶν, ὑπεξέφυγεν· ἀεὶ δ' ἐν ἐνέδραις ἐςὶ περὶ τὸν Θυμβραῖον βωμὸν πλησίον τῆς πόλεως· χαλεπῷ δὲ τούτῳ κακῷ ἀεὶ προσπαλαίομεν.

ΡΗ. Οὐδεὶς, ἀνὴρ ἀγαθὸς ὤν, ἀξιοῖ ποτε λάθρα τὸν ἀντίπαλον ἀνελεῖν ἀλλ' ἐκ τοῦ φανεροῦ ἀράμενος δόρυ. ἀλλ' ἔχ' ἀτρέμας· τοῦτον γὰρ ἐγὼ, ὃν φῂς μηχανοῤῥάφον εἶναι κακῶν, συλλαβὼν, στήσω ζῶντα πρὸ τῶν πυλῶν ἀνασκολοπίσας, βορὰν ἐσόμενον τοῖς γυψί. λῃςὴς γὰρ ὢν, καὶ τὰ τῶν θεῶν συλῶν ἀνάκτορα, τοιούτῳ θανάτῳ προσήκοντι χρήσεται.

ΕΚ. Νῦν οὖν ἀναπαύου στρατοπεδεύσας· νὺξ γάρ ἐςι· ἐγὼ δὲ δείξω σοι χῶρον, οὗ δεῖ χωρὶς τὸν σὸν διανυκτερεῦσαι ςρατόν· ξύνθημα δ' ἡμῖν ἐςαι Φοῖβος, καὶ μέμνησο τοῦτ' ἀκούσας, καὶ τῷ σαυτοῦ στρατῷ κοίνωσον, εἴτι δέοι, χρήσασθαι τούτῳ· Ὑμεῖς δ' αὖ πρὸ τῶν τάξεων ἰόντες, φυλάττετε ἀτενῶς, καὶ Δόλωνα, ἀπὸ τῶν νεῶν ἐπανήκοντα, προσλαμβάνετε. καὶ γὰρ, εἰ διέφυγεν, ἐγγύς που ἤδη ἐστί.

ΧΟ. Τίς φυλακή ἐστι νῦν; τίς ἐσθ', ὃς ἐμοῦ διάδοχος ἔσται; οἱ πρῶτοι ἀστερισμοὶ ἤδη δύονται· καὶ αἱ πλειάδες

---

τὸν Δία, ὁπότε Κρόνος ἐζήτει φαγεῖν αὐτόν· ὃς αὐτὸν κατεστήριξεν ἔπειτα εἰς τὴν σφαῖραν τοῦ οὐρανοῦ· περὶ οὗ φέρεται ἐκεῖνα,

» Νέκταρ ἐκ πέτρης μέγας αἰετὸς αἰὲν ἀφύσσων,
» Γαμφηλῇς φορέεσκε πετῶν Διῒ μητιόεντι·
» Τὸν καὶ νικήσας πατέρα Κρόνον Εὐρύοπα Ζεὺς,
» Ἀθάνατον ποίησεν, καὶ οὐρανῷ ἐγκατένασσε.

Πλειάδες αἰθέριαι·
Μέσα δ' αἰετὸς οὐρανοῦ ποτάται.
Ἔγρεσθε, τί μέλλετε; κοιτᾶν
Ἔγρεσθ' εἰς φυλακάν.
Οὐ λεύσσετε μηνάδος αἴγλαν;
Ἀὼς δὴ πέλας, ἀὼς
Γίγνεται, καί τις προδρόμων
Ὅδε γ' ἔστιν ἀστήρ.
ΗΜ. Τίς ἐκηρύχθη πρώτην φυλακήν;
ΗΜ. Μυγδόνος υἱόν φασι Κόροιβον.
ΗΜ. Τίς γὰρ ἐπ' αὐτῷ;
ΗΜ. Κίλικας Παιὼν στρατὸς ἤγειρεν.
ΗΜ Μυσοὶ δ' ἡμᾶς.
ΗΜ. Οὐκοῦν Λυκίους πέμπτην φυλακὴν
Βάντας ἐγείρειν
Καιρὸς κλήρου κατὰ μοῖραν.
ΗΜ. Καὶ μὴν αἴω Σιμόεντος (Ἀντ.)
Ἡμένα κοίτας
Φονίας ὑμνεῖ πολυχορδοτάτα
Γήρυϊ παιδολέτωρ
Μελοποιὸς ἀηδονὶς μέριμναν·
Ἤδη δε νέμουσι κατ' Ἴδαν

532. Καὶ τίς πρὸ δόμων; ὅδε γάρ ἐστιν ἀνὴρ] τίς ὁ ἀνὴρ οὗτος ὁ πρὸ τῶν δόμων, οὔτ' ἐκ τῶν ἡγουμένων, οὔτ' ἐξ ἑπομένων δύναται σαφηνισθῆναι· Διορθοῖ δέ τις οὕτω πως· Καί τις προδρόμων ὅδε γ' ἔστιν ἀστήρ· ἀλλὰ καὶ τοῦτο οὐχ ἧττον σκοτεινόν· ἐννοεῖ δ' οὖν τὸ προηγούμενον τῆς Ἠοῦς ἄστρον τὸν ἑωσφόρον. 537. Ἤγειρεν] ἐκ τοῦ ὕπνου, καὶ κατέστησεν ἐν τῇ φυλακῇ ἀνθ' ἑαυτοῦ· ἦσαν δὲ φύλακες πέντε, τάξιν ἔχοντες ἐκ τοῦ κλήρου τοιάνδε· πρῶ-

ἀνίσχουσιν· ὁ δ' ἀετός ἐστιν ἐν μεσουρανήματι· ἐγείρεσθε τῶν εὐνῶν· τί μέλλετε; ἐγείρεσθε πρὸς τὴν φυλακήν· ἢ οὐχ ὁρᾶτε τὸ φῶς τῆς σελήνης; ἡ ἠὼς ἤδη ἄρχεται ὑπογελᾶν, ἤδη μειδιᾷ· ἧς ὁ πρόδρομος ἀστὴρ πάρεστιν ὧδε.

ΗΜ. Τίς τὴν πρώτην ἐπιτέτραπται φυλακήν;

ΗΜ. Κόρυβος, φασὶν, ὁ παῖς τοῦ Μυγδόνος.

ΗΜ. Μετὰ δὲ τοῦτον τίς ἕτερος;

ΗΜ. Παίονες ἤγειραν τοὺς Κύλικας.

ΗΜ. Οἱ δ' αὖ Μυσοὶ ἡμᾶς.

ΗΜ. Ὥρα οὖν ἰόντας ἡμᾶς ἐγείρειν τοὺς Λυκίους· ἐκείνων γὰρ γίγνεται ἐκ τοῦ κλήρου ἡ πέμπτη φυλακή.

ΗΜ. Καὶ μὴν δοκῶ μοι ἤδη ἀκούειν μολπῆς· ἡ γὰρ μελῳδὸς ἀηδὼν ἡ παιδοκτόνος, καθημένη παρὰ τὸ αἱματηρὸν τοῦ Σιμόεντος ῥεῖθρον, λυγηρᾷ καὶ εὐστρόφῳ φωνῇ τὰ ἑαυτῆς θρηνεῖ πάθη· ἤδη ἐλαύνουσιν οἱ ποιμένες ἐν Ἴδῃ τὰ ἑαυτῶν ποίμνια ἐπὶ τὴν νομήν· καὶ ἀκούω τὴν

---

τοι μὲν Παίονες ὑπὸ Ἄρχοντι τῷ Κορύβῳ (ἢ Κοροίβῳ). δεύτεροι δὲ, Κίλικες· τρίτοι δὲ, Μυσοί· τέταρτοι δὲ, οἱ νῦν διαλεγόμενοι· πέμπτοι δὲ, οἱ Λύκιοι, οὓς βούλονται νῦν ἐγεῖραι διαδεξομένους αὐτούς. 543. Ἡμένα . . μέριμνα] Παιδολέτωρ μὲν ἀηδὼν ἐνταῦθα ἐστιν ἡ Φιλομήλη, ἢ ἡ Πρόκνη ἡ τοῦ Πανδίονος ἡ τὸν Ἴτυν τὸν ἑαυτῆς φονεύσασα παῖδα. (ἴδε Θουκ. Β. κθ. ἐμῇ ἐκδ.) ἡ δὲ σύνταξις συντετάρακται· πότερον γὰρ τὸ, Κοίτης φοινίας, ἐς τὸν Σιμόεντα ἀποδοτέον διὰ τὸ πολλὰς μάχας παρ' αὐτῷ γενέσθαι· ἢ εἰς τὴν ἀηδόνα διὰ τὸν γάμον τοῦ Τυρέως; εἰ μὲν τὸ πρῶτον, συντακτέον ἂν εἴη οὕτως· Ἡ παιδολέτωρ ἀηδονὶς μέριμνα (ἐπιθετικῶς ἀντὶ μεριμνικὴ ὡς τὸ, ἡ Ἑλλὰς γῆ) καθημένη ἐπὶ τῆς φονίας κοίτης (τοῦ αἱματώδους ῥείθρου) τοῦ Σιμόεντος, ὑμνεῖ (ᾄδει) πολυχόρδῳ γήρυϊ· εἰ δὲ τὸ δεύτερον, οὕτω· Ἡ παιδολέτωρ ἀηδονὶς ἡ μελοποιὸς καθημένη ἐπὶ τοῦ Σιμόεντος, ὑμνεῖ (θρηνεῖ) τὴν μέριμναν (ἀντὶ τοῦ μέριμνα) τῆς φονίας κοίτης ἑαυτῆς· ὅ ἐστι τὸν Ἴτυν, τὸν Τυρέα, καὶ τ. λ.

Ποίμνια, νυκτιβρόμου
Σύριγγος ἰὰν κατακούω·
Θέλγει δ' ὄμματος ἕδραν
Ὕπνος· ἅδιστος γὰρ ἔβα
Βλεφάροις πρὸς ἀοῦς.
ΗΜ. Τί ποτ' οὐ πελάθει σκοπὸς, ὃν ναῶν (Ἐπῳδ.)
Ἕκτωρ ὤτρυνε κατόπταν;
ΗΜ. Ταρβῶ· χρόνιος γὰρ ἄπεστιν.
ΗΜ. Ἀλλ' ἢ κρυπτὸν λόχον εἰσπαίσας
Διόλωλεν; τάχ' ἂν εἴη φοβερόν.
ΗΜ. Αὐδῶ Λυκίους πέμπτην φυλακὴν
Βάντας ἐγείρειν
Ἡμᾶς κλήρου κατὰ μοῖραν.

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΔΙΟΜΗΔΗΣ, ΑΘΗΝΑ, ΠΑΡΙΣ, ΧΟΡΟΣ.

ΟΔ. Διόμηδες, οὐκ ἤκουσας (ἢ κενὸς ψόφος
Στάζει δι' ὤτων;) τευχέων τινὰ κτύπον;
ΔΙ. Οὔκ· ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
Κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
Δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.
ΟΔ. Ὅρα κατ' ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.

548. Νυκτοδρόμου] πιθανῶς εἰκασέ τις δεῖν γράφεσθαι, νυκτιβρόμου· ὡς βρόμον, εἴπουν ἦχον ἐν νυκτὶ ποιούσης τῆς σύριγγος, ὅπερ καὶ ἐδεξάμην.

φωνὴν τῆς νυκτιδρόμου σύριγγος αὐτῶν· ὁ δὲ ὕπνος, ἥδιστος τοῖς ἐμοῖς βλεφάροις ἐμπεσὼν παρὰ τῆς ἠοῦς δαιμονίως με θέλγει.

**ΗΜ.** Ὁ δὲ κατάσκοπος, ὃν Ἕκτωρ ἔπεμψε, τῶν νεῶν, τίποθ' οὕτως οὔπω φαίνεται ἐπανήκων;

**ΗΜ.** Χρόνιος ἀπὼν, φόβον ἔμοιγε τίκτει.

**ΗΜ.** Φοβερὸν γὰρ, εἰ ἐμπεσὼν ἐνέδρᾳ, ἀπώλωλε.

**ΗΜ.** Κελεύω τοίνυν, ἰόντας ἐγείρειν τοὺς Λυκίους τὴν πέμπτην διαδέξασθαι φυλακήν· τούτοις γὰρ ὁ κλῆρος ὁρίζει ταύτην.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΟΔΥΣΣΕΥΣ, ΔΙΟΜΗΔΗΣ, ΑΘΗΝΑ, ΠΑΡΙΣ, ΧΟΡΟΣ.

**ΟΔ.** Διόμηδες, οὐκ ἀκούεις ψόφον ὅπλων; ἢ κενὸς κτύπος οὗτος τοῖς ἐμοῖς ὠσὶν ἐμβομβεῖ;

**ΔΙ.** Οὔκ, ἀλλὰ τὰ σιδηρᾶ δεσμὰ τῶν ἁρμάτων ἀράσσουσι. κἀμὲ γὰρ πρὶν ἢ τἀληθὲς συνιέναι οὐκ ἀκροθιγῶς καθήψατό μου φόβος.

**ΟΔ.** Ὅρα οὖν ὡς διόμιχλης, ὅπως μὴ ἐμπέσῃς τινὶ φυλακῇ.

553. Σκοπὸς] ὁ κατάσκοπος Δόλων. 560. Κλήρου] ὡς ἀνωτέρω μικρόν. Ἐνταῦθα δὲ ἀπέρχονται οἱ φύλακες· καὶ εἰσέρχονται οἱ ἀμφ' Ὀδυσσέα. σημείωσαι δὲ, ὅτι ὁ Χορὸς παρὰ τοὺς κανόνας καταλείπει τὴν ὀρχήστραν ἔρημον· τοῦτο δὲ καὶ παρὰ Σοφοκλεῖ παραβέβαται ἐν τῷ Αἴαντι.

ΔΙ. Φυλάξομαί τοι, κἂν σκότῳ τιθεὶς πόδα.
ΟΔ. Ἢν δ' οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;
ΔΙ. Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.
ΟΔ. (Ἔα.) εὐνὰς ἐρήμους τάσδε πολεμίων ὁρῶ.
ΔΙ. Καὶ μὴν Δόλων γε τάσδ' ἔφραζεν Ἕκτορος
Κοίτας, ἐφ' ᾧπερ ἔγχος εἵλκυσται τόδε.
ΟΔ. Τί δῆτ' ἂν εἴη; μῶν λόχος βέβηκέ πῃ;
ΔΙ. Ἴσως ἐφ' ἡμῖν μηχανὴν στήσων τινά.
ΟΔ. Θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.
ΔΙ. Τι δῆτ', Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ εὕρομεν
Τόνδ' ἄνδρ' ἐν εὐναῖς, ἐλπίδων δ' ἡμάρτομεν.
ΟΔ. Στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
Σώζει γὰρ αὐτὸν, ὅσπερ εὐτυχῆ θεῶν
Τίθησιν· ἡμῖν δ' οὐ βιαστέον τύχην·
ΔΙ. Οὐκοῦν ἐπ' Αἰνέαν, ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε, χρὴ καρατομεῖν ξίφει.
ΟΔ. Πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
Ζητῶν, δυνήσῃ τούσδ' ἀκινδύνως κτανεῖν;
ΔΙ. Αἰσχρόν γε μέντοι ναῦς ἐπ' Ἀργείων μολεῖν,
Δράσαντε μηδὲν πολεμίους νεώτερον.
ΟΔ. Πῶς δ' οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
Κατάσκοπον Δόλωνα, σώζομεν τάδε
Σκυλεύματ'; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
Πείθου, πάλιν στείχωμεν. εὖ δ' εἴη τυχεῖν·
ΑΘ· Ποῖ δὴ λιπόντε Τρωϊκῶν ἐκ τάξεων

569. Φοῖβον] τοῦτο ἦν τὸ σύνθημα τοῦ στρατοῦ, ὃ ἦσαν μεμαθηκότες καθ' ὁδὸν παρὰ Δόλωνος οὗ τὴν κεφαλὴν ἀπέτεμε Διομήδης. 573. Λόχος] ἀντὶ τοῦ λοχησῶν

ΔΙ. Φυλάξομαίγε, διὰ σκότους ἀεὶ προϊών.

ΟΔ. Ἢν δ᾽ἀπαντήσῃς τινὶ, οἶσθα τὸ σύνθημα;

ΔΙ. Λόλων γάρ ἡμῖν φοῖβον τοῦτ᾽ἔφη εἶναι.

ΟΔ. Καὶ μὴν ὁρῶ τάσδε τὰς εὐνὰς ἐρήμους πολεμίων.

ΔΙ. Δόλων δ᾽Ἕκτορος, ἐφ᾽ὃν πολλάκις τοὐμὸν ἔτεινα δόρυ, ταύτας ἔφη εἶναι.

ΟΔ. Τί οὖν οἰητέον τὸ πρᾶγμα; μῶν λόχον τινὰ ἡμῖν τυρεύει;

ΔΙ. Δυνατὸν ἀπιέναι αὐτὸν εἰς ἐνέδραν.

ΟΔ. Θρασὺς γὰρ, θρασὺς νῦν Ἕκτωρ ἐκ τῆς νίκης.

ΔΙ. Τί οὖν ποιητέον; ὁρᾷς γὰρ ὅπως μὴ εὑρόντες, ἐψεύσθημεν τῆς ἐλπίδος.

ΟΔ. Χωρῶμεν ὡς τάχος πάλιν ἐγγὺς τοῦ στρατοπέδου. θεῶν γάρ τις ἔοικεν ἐθέλει σώζειν αὐτῷ τὴν ἡσυχίαν· ἡμᾶς δ᾽οὐ χρὴ λακτίζειν πρὸς τὴν τύχην.

ΔΙ. Ἐπ᾽Αἰνείαν γοῦν αὐτὸν χωρῶμεν, ἢ τὸν ἔχθιστον Φρυγῶν ἁπάντων Πάριν φονεύωμεν ἰόντες.

ΟΔ. Πῶς ἂν γένοιτο τυχεῖν καὶ τούτου ἀκινδύνως, ἐν σκότῳ διὰ στρατοῦ ζητοῦντας;

ΔΙ. Ἀλλ᾽αἰσχρὸν ἀπράκτους ὅλως ἐς τὰς ναῦς ἐπανελθεῖν, μηδὲν δράσαντας κακὸν τοὺς πολεμίους

ΟΔ. Πῶς ἀπράκτους; οὐκ ἀνελόντες Δόλωνα τὸν κατάσκοπον, ἐσκυλεύσαμεν τὰ ὅπλα; ἢ πᾶν τὸ στρατόπεδον ἐλπίζεις αὐτὸς πορθήσειν; παράσχου μοι σεαυτὸν εὐπειθῆ, ὥστ᾽ἀναχωρεῖν πάλιν· εἴη δ᾽ἡμῖν καὶ τοῦτο προχωρεῖν ἀκινδύνως.

ΑΘ· Ποῖ δήποθ᾽ὑμεῖς ἀναχωρεῖτε ἐντεῦθεν, οὕτω τειρόμενοι

Χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,
Εἰ μὴ κτανεῖν σφῷν Ἕκτορ', ἢ Πάριν, θεὸς
Δίδωσιν; ἄνδρα δ' οὐ πέπυσθε σύμμαχον
Τροίᾳ μολόντα Ῥῆσον οὐ φαύλῳ τρόπῳ;
Ὃς εἰ διοίσει νύκτα τήνδ' ἐς αὔριον,
Οὔτε σφ' Ἀχιλλέως, οὔτ' ἂν Αἴαντος δόρυ,
Μὴ πάντα πέρσαι ναύσταθμ' Ἀργείων, σχέθοι,
Τείχη κατασκάψαντα, καὶ πυλῶν ἔσω
Λόγχῃ πλατεῖαν ἐσδρομὴν ποιούμενον·
Τοῦτον κατακτὰς, πάντ' ἔχεις. τὰς δ' Ἕκτορος
Εὐνὰς ἔασον καὶ καρατόμους σφαγάς·
Ἔσται γὰρ αὐτῷ θάνατος ἐξ ἄλλης χερός.

ΟΔ. Δέσποιν' Ἀθάνα, (φθέγματος γὰρ ᾐσθόμην
Τοῦ σοῦ συνήθη γῆρυν· ἐν πόνοισι γὰρ
Παροῦσ' ἀμύνεις τοῖς ἐμοῖς ἀεί ποτε.)
Τὸν ἄνδρα δ' ἡμῖν, ποῦ κατεύνασται, φράσον,
Πόθεν τέτακται βαρβάρου στρατεύματος;

ΑΘ. Ὅδ' ἐγγὺς ἧσται κοὐ συνήθροισται στρατῷ,
Ἀλλ' ἐκτὸς αὐτὸν τάξεων κατεύνασεν
Ἕκτωρ; ἕως ἂν νὺξ ἀμείψηται φάος.
Πέλας δὲ πῶλοι Θρηκίων ἐξ ἁρμάτων
Λευκαὶ δέδενται, διαπρεπεῖς ἐν εὐφρόνῃ·
Στίλβουσι δ', ὥστε ποταμίου κύκνου πτερόν.
Ταύτας, κτανόντε δεσπότην, κομίζετε,
Κάλλιστον οἴκοις σκῦλον· οὐ γάρ ἐσθ' ὅπου
Τοιόνδ' ὄχημα χθὼν κέκευθε πωλικόν.

λύπη, ἐπειδὴ ὑμῖν ὁ θεὸς οὐ δίδωσιν Ἕκτορα, ἢ Πάριν ἀνελεῖν; ἢ οὐκ ἀκούετε Ῥῆσον σὺν οὐ φαύλῃ δυνάμει, σύμμαχον Τρωσὶν ἀφιγμένον; οὗτος γὰρ, εἰ τήνδε τὴν νύκτα σωθήσεται, οὔτ Ἀχιλλέως τὸ δόρυ, οὔθ' ὁ στιϐαρὸς βραχίων τοῦ Αἴαντος ἐπισχήσει τοῦ μὴ αὔριον ἅμα ἕῳ πορθῆσαι τὸν ὑμέτερον ναύσταθμον, τά τε τείχη κατασκάψαντα ἄρδην, καὶ διὰ τῶν πυλῶν εἰσπεσόντα βίᾳ· τοῦτον οὖν ἀνελόντες, τὸ πᾶν ἔσεσθε πεπραχότες· τὰς δὲ τοῦ Ἕκτορος σφαγὰς ἐᾶτε ἑτέρας χειρὸς γενέσθαι ἀγώνισμα.

ΟΔ. Δέσποιν' Ἀθηνᾶ (ᾐσθόμην γὰρ τῆς σῆς ἅμ' ἀκούσας φωνῆς, ἔμοιγε συνήθους ἤδη γεγενημένης, εἴγ' ἐν πᾶσι τοῖς ἀγῶσι συμπαρομαρτοῦσα, ἀμύνεις μοι) λέγοις ἂν ἡμῖν τὸν ἄνδρα τοῦτον, ὁπηδή ποτε τοῦ βαρϐαρικοῦ κατεύνασται στρατοπέδου.

ΑΘ. Ὧδε ἐγγὺς αὐτὸν ἐκτὸς τοῦ στρατοπέδου ἔταξεν Ἕκτωρ διανυκτερεῦσαι, ἕως ἂν ἡμέρα γένηται· οἱ δὲ λευκοὶ ἵπποι ἐκ τῶν Θρακικῶν δέδενται ἁρμάτων, ἐπίσημοι τῇ λευκότητι κἂν τῷ σκότει ἰδεῖν, ὥσπερ πτερὸν ἀποςίλϐοντες κύκνου· τούτους δ', ἀνελόντες τὸν δεσπότην, κομίζεσθε ἁπάντων κάλλιστον σκῦλον· τοιοῦτον γὰρ ἱππικὸν ζεῦγος οὐδαμοῦ ἡ γῆ τρέφει.

---

605. Ἐν πόνοις ἀμύνεις] ἐκ τῶν τοῦ Ὁμήρου· ἐποίησε γὰρ ἐκεῖνος Ὀδυσσέα καθ' ὁδὸν δεόμενον οὕτω. (ἴδε Ἰλ. Κ. ςίχ. 278.)

Κλῦθί μευ, Αἰγιόχοιο Διὸς τέκος, ἥτε μοι αἰέν·
Ἐν πάντεσσι πόνοισι παρίςασαι . . . . . . .

ΟΔ. Διόμηδες, ἢ σὺ κτεῖνε Θρήκιον λεὼν,
Ἢ 'μοὶ πάρες γε, σοὶ δὲ χρὴ πώλων μέλειν.

ΔΙ. Ἐγὼ φονεύσω, πωλοδαμνήσεις δὲ σύ.
Τρίϐων γὰρ εἶ τὰ κομψὰ καὶ νοεῖν σοφός.
Χρὴ δ' ἄνδρα τάσσειν, οὗ μάλιστ' ἂν ὠφελῇ.

ΑΘ. Καὶ μὴν καθ' ἡμᾶς τόνδ' Ἀλέξανδρον βλέπω
Στείχοντα, φυλάκων ἔκ τινος πεπυσμένον
Δόξας ματαίους πολεμίων μεμβλωκότων.

ΔΙ. Πότερα σὺν ἄλλοις, ἢ μόνος πορεύεται;

ΑΘ. Μόνος πρὸς εὐνὰς, ὡς ἔοικεν, Ἕκτορος
Χωρεῖ, κατόπτας σημανῶν ἥκειν στρατοῦ.

ΔΙ. Οὔκουν ὑπάρχειν τόνδε κατθανόντα χρή;

ΑΘ. Οὐκ ἂν δύναιο τοῦ πεπρωμένου πλέον.
Τοῦτον δὲ πρὸς σῆς οὐ θέμις χερὸς θανεῖν.
Ἀλλ' ὧπερ ἥκεις μορσίμους φέρων σφαγὰς,
Τάχυν'· ἐγὼ δὲ τῷδε σύμμαχος Κύπρις
Δοκοῦσ' ἀρωγὸς ἐν πόνοις παραστατεῖν,
Σαθροῖς λόγοισιν ἐχθρὸν ἄνδρ' ἀμείψομαι.
Καὶ ταῦτ' ἐγὼ μὲν εἶπον· ὃν δὲ χρὴ παθεῖν,
Οὐκ οἶδεν, οὐδ' ἤκουσεν, ἐγγὺς ὢν λόγου.

ΠΑ. Σὲ τὸν στρατηγὸν καὶ κασίγνητον λέγω,
Ἕκτορ, καθεύδεις; οὐκ ἐγείρεσθαί σε χρή;

---

618. Ἢ σὺ κτεῖνε] καὶ τοῦτ' ἐκεῖθεν ἔχει λαϐών. Ἰλ. Κ. 480.

» . . . . . . . . . . . Ἀλλὰ λύ' ἵππους·
» Ἠὲ σύγ' ἄνδρας ἔναιρε, μελήσουσι δ' ἐμοὶ ἵπποι.

625 Μεμβλωκότων] ἀντὶ τοῦ μεμοληκότων κατὰ συγκοπήν· ἢ μᾶλλον ἀπὸ τοῦ βλώσκω, βέβλωκα, μέμβλωκα· 635. Ἐχθρὸν ἄνδρα) ἐχθρὸν ὄντα τῇ Ἀθηνᾶ

ΟΔ. Διόμηδες, πότερον αὐτὸς αἱρῇ, τοῦτον ἀποκτεῖναι, ἢ τοὺς ἵππους ὑφελέσθαι; ἑλοῦ, ὃ ἂν βούλῃ, θάτερον ἐμοὶ καταλιπών.

ΔΙ. Ἐμοὶ μὲν μᾶλλον προσήκει κατακαίνειν· σοὶ δὲ, ὡς κλεπτιστάτῳ ὄντι, τοὺς ἵππους ἐξελαύνειν· οἶδα γάρ σε πείρᾳ σοφώτερον ἐμοῦ τὰ τοιαῦτα γεγενημένον· δεῖ δὴ ἕκαστον τάττεσθαι, ἔνθα μάλιστ' ἂν ὠφελοίη.

ΑΘ. Καὶ μὴν ὁρῶ Ἀλέξανδρον τόνδε δεῦρ' ἥκοντα· ἤκουσεν, ὡς ἔοικε, τινὸς τῶν φυλάκων θορυβοῦντος, ὡς δῆθεν πολεμίων καταδύντων εἰς τὸ στρατόπεδον.

ΔΙ. Πότερον μόνος, ἢ καὶ ἄλλους ἐπαγόμενος, ἥκει;

ΑΘ. Μόνος γε πρὸς τὰς τοῦ Ἕκτορος, ὡς ἔοικεν, εὐνὰς, ἐφ' ᾧ σημάναι αὐτῷ τοὺς τοῦ στρατοῦ κατασκόπους.

ΔΙ. Μῶν οὐ χρὴ τοῦτον σφαγῆναι συλληφθέντα;

ΑΘ. Οὐ μένουν· τὸ γὰρ πεπρωμένον πολλῷ ἰσχυρότερον· καὶ οὐκ ἂν οὗτος χειρὸς τῆς σῆς θῦμα γένοιτο· σὺ δὲ σπεύσας χώρει, ἐφ' ὃν ἥκες, διαχρησόμενος· ἐγὼ δὲ ὑποκριναμένη τὴν Κύπριν, ὡς σύμμαχος τούτῳ καὶ ἀρωγὸς ἐν πόνοις οὖσα, οὕτω σαθραῖς ἐλπίσι διαβουκολήσω, μέγιστον ἔμοιγ' αὐτὸν πολέμιον ὄντα· ταῦτα μὲν ὑμῖν μόνοις εἶπον· ὃς δ' ὀφείλει παθεῖν ὑφ' ὑμῶν, καίπερ ἐγγὺς ὢν τῶν λόγων, οὔτ' οἶδέ τι τούτων, οὔτ' ἤκουσε.

ΠΑ. Ἕκτορ· σὲ τὸν στρατηγὸν, ἐμὸν δ' ἀδελφὸν καλῶ, ποῦ εἶ; καθεύδεις; οὐκ ἐγερῇ ὡς τάχος; τῶν ἐχθρῶν γὰρ

---

διὰ τὴν ἐν Ἴδῃ κρίσιν· ἐν ᾗ ἔδοξεν ἠδικῆσθαι παρ' ἐκείνου 637. Ἐγγὺς ὢν λόγου] ἐγγὺς γὰρ ἦν Πάρις, ἀλλ' ἐκρατοῦντο αἱ αἰσθήσεις αὐτοῦ, ὥστε μήθ'

Ἐχθρῶν τις ἡμῖν χρίμπτεται στρατεύματι,
Ἢ κλῶπες ἄνδρες, ἢ κατάσκοποί τινες.
ΑΘ. Θάρσει· φυλλάσσει σ' ἥδε πρευμενὴς Κύπρις.
Μέλει δ' ὁ σός μοι πόλεμος, οὐδ' ἀμνημονῶ
Τιμῆς, ἐπαινῶ δ' εὖ παθοῦσα πρὸς σέθεν.
Καὶ νῦν ἐπ' εὐτυχοῦντι Τρωϊκῷ στρατῷ
Ἥκω, πορεύουσ' ἄνδρα σοι μέγαν φίλον,
Τῆς ὑμνοποιοῦ παῖδα Θρήκιον θεᾶς
Μούσης, πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
ΠΑ. Ἀεὶ ποτ' εὖ φρονοῦσα τυγχάνεις πόλει.
Κἀμοὶ, μέγιστον δ' ἐν βίῳ κειμήλιον
Κρίνας σέ φημι τῇδε προσθέσθαι πόλλει.
Ἥκω δ' ἀκούσας οὐ τορῶς· φήμη δέ τις
Φύλαξιν ἐμπέπτωκεν, ὡς κατάσκοποι
Ἥκουσ' Ἀχαιῶν· χὠ μὲν οὐκ εἰδὼς, λέγει,
Ὁ δ' εἰσιδὼν μολόντας, οὐκ ἔχει φράσαι,
Ὧν οὕνεκ' εὐνὰς ἦλυθον πρὸς Ἕκτορος.
ΑΘ. Μηδὲν φοβηθῇς· οὐδὲν ἐν στρατῷ νέον.
Ἕκτωρ δὲ φροῦδος, Θρῇκα κοσμήσων στρατόν.
ΠΑ. Σύ τοί με πείθεις, σοῖς τε πιστεύων λόγοις,
Τάξιν φυλάξων εἶμ' ἐλεύθερος φόβου.
ΑΘ. Χώρει· μέλειν γὰρ πάντ' ἐμοὶ δόκει τὰ σὰ
Ὡς εὐτυχοῦντας συμμάχους ἐμοὺς ὁρᾶν.
Γνώσει δὲ καὶ σὺ τὴν ἐμὴν προθυμίαν.
Ὑμᾶς δ' αὐτῷ τοὺς ἄγαν ἐῤῥωμένους,

---

ὁρᾷν, μήτ' ἀκούειν. 644. Εὖ παθοῦσα] ὡς ἀπὸ μέρους τῆς Ἀφροδίτης· περὶ ἑαυτῆς δὲ φησὶ ταῦτα ἀντιφραστικῶς. 664. Ὑμᾶς δ' αὐτῷ] πότερον ὡς πρὸς

τινες, ἤτοι κλέπται εἰσὶν οὗτοι, ἢ ἄλλως κατάσκοποι, τυγχάνουσιν εἰς τὸν στρατὸν καταδύντες.

ΑΘ. Θάρσει· ἡ γὰρ Κύπρις ἥδε εὐνοοῦσα, φυλάττει σε· εὖ γὰρ πρὸς σοῦ παθοῦσα, καὶ τιμηθεῖσα, οὐκ ἂν ἐπιλαθοίμην τούτων· πολλὴν δέ σου καὶ ἐν μάχαις ποιοῦμαι φροντίδα· καὶ νῦν γε Τρώων ἀριστευόντων, ἥκω ἄγουσα ἄνδρα ἄριστον σύμμαχον, Θρᾶκα τὸν τοῦ Στρυμόνος καὶ Μούσης.

ΠΑ. Ὦ Δέσποινα, οἶδά σε ἀείποτε εὐνοοῦσαν ἐμοί τε καὶ τῇ πόλει· ἐγὼ γὰρ κρίνας, μέγιστον σε θησαυρὸν αὐχῶ ἐπικτήσασθαι Τροίᾳ· ἥκω δ' ἀκούσας οὐ βεβαίως, ἀλλὰ φήμης ἐμπεσούσης τοῖς φύλαξιν, ὡς κατάσκοποι ἥκουσι τῶν Ἑλλήνων· καὶ ὁ μὲν μηδένα ἑωρακὼς, ἀλλ' ἀκούσας φησὶν, ὁ δὲ ἰδὼν ἐλθόντας, οὐκ ἔχει εἰπεῖν, ὅντινά ποτ' εἶδεν· ταῦτ' ἄρα ἠνήγκασμαι ἐλθεῖν ὧδε, ἀγγελῶν ταῦτα Ἕκτορι.

ΑΘ. Θάῤῥει· οὐδὲν ἐν τῷ στρατοπέδῳ ἐστὶ φανερόν· ὁ δ' Ἕκτωρ ἐξῆλθε τὰ τοιαῦτα κατασιγάσων.

ΠΑ. Πείθομαι, τοῖς σοῖς πιστεύων λόγοις· καὶ δὴ εἶμι πάλιν, ἣν τέταγμαι φυλάξων τάξιν, ἔξω ἤδη γεγενημένος φόβου.

ΑΘ. Χώρει δή· μέλλει γάρ μοι ὡς μάλιστ' εὐτυχοῦντας τοὺς ἐμαυτῆς συμμάχους ὁρᾷν· αὐτίκα δὲ καὶ αὐτὸς εἴσῃ τὴν ἐμὴν προθυμίαν, ὅση. ἄπιθι· Ὑμεῖς δ', ὦ ἄριστοι

---

παρόντας ταῦτ' ἀποτείνεται, ἢ ἀπόντας; οὐ μάλ' ἐγγὺς ὄντας δοκεῖ· ἡ γὰρ τῶν θεῶν φωνὴ καὶ τοῖς ἀποῦσιν, ὡς παροῦσι πολλάκις γνωστή, καὶ τοῖς παροῦσιν αὖ ἀνήκουστος γίγνεται· ἡ γὰρ αὐτὴ Ἀθηνᾶ καὶ Ὀρέστῃ (ἴδε Ἰφ. Ταυρ.

Λαερτίου παῖ, θηκτὰ κοιμίσαι ξίφη.
Κεῖται γὰρ ὑμῖν Θρήκιος στρατηλάτης,
Ἵπποι τ' ἔχονται, πολέμιοι δ' ᾐσθημένοι
Χωροῦσ' ἐφ' ὑμᾶς, ἀλλ' ὅσον τάχιστα χρὴ
Φεύγειν πρὸς ὁλκοὺς ναυστάθμων. τί μέλλετε,
Σκηπτοῦ 'πιόντος πολεμίων, σῶσαι βίον;
ΧΟ. Ἔα, ἔα! βάλλε, βάλλε, βάλλε, βάλλε,
Θεῖνε, θεῖνε· τίς ὅδ' ἀνήρ;
Λεύσσετε, τοῦτον αὐδῶ.
Κλῶπες, οἵτινες κατ' ὄρφναν
Τόνδε κινοῦσι στρατόν.
Δεῦρο, δεῦρο πᾶς.
Τούσδ' ἔχω, καὶ τούσδ' ἔμαρψα.
Τίς ὁ λόγος; πόθεν ἔβας; ποδαπὸς εἶ;
ΟΔ. Οὔ σε χρὴ εἰδέναι· θανῇ γὰρ σήμερον, δράσας κακῶς.
Η.Α. Οὐκ ἐρεῖς ξύνθημα, λόγχην πρὶν διαστέρνων μολεῖν;
ΟΔ. Ἴσχε. θάρσει πᾶς.
Η.Β. Πέλας ἴθι. παῖε; παῖε πᾶς τις ἄν.
Η.Α. Ἦ σὺ δὴ Ῥῆσον κατέκτας; ἀλλὰ τὸν κτενοῦντά σε.
ΟΔ. Ἴσχε πᾶς τις.
Η.Α. Οὐ μενῶ.
Η.Β. Ἆ, φίλιον ἄνδρα μὴ θένῃς.
Η.Α. Καὶ τί δὴ τὸ σῆμα;
ΟΔ. Φοῖβος.
Η.Β. Ἔμαθον· ἴσχε πᾶς δόρυ.
Η.Α. Οἶσθ', ὅποι βεβᾶσιν ἄνδρες;

---

στίχ. 4458.) πόρρωθεν πολλῷ διαλέγεται. 678. Τίς ὁ λόγος] τί τὸ σύνθημα

πάντων, Ὀδυσσεῦ, καὶ Διόμηδες, κρύψατε ἤδη τὰ ξίφη· κεῖται γὰρ ἤδη ὑμῖν ὁ τύραννος Θρᾷξ. ἐλήφθησαν δ' αὐτοῦ καὶ οἱ ἵπποι· ὁ ᾐσθημένοι οἱ πολέμιοι, ἐπίασιν ἐφ' ἡμᾶς ἐῤῥωμένως· ἀλλ' ὅσον σθένος χωρεῖτε φεύγοντες εἰς τὸν ναύσταθμον· μὴ μέλλετε σώζεσθαι, πολλῇ βοῇ ἐφ' ἡμᾶς πολλῶν ἐπιόντων.

ΧΟ. Ἔα, ἔα· βάλλε, βάλλε, βάλλε, βάλλε· καῖνε, καῖνε· τίς ἐσθ' ὧδε; ἴδετε τουτονὶ δευρί· κλέπται, οἱ ἐν νυκτὶ ταράττουσι τὸν στρατόν· ἐλθέτω πᾶς δεῦρο, δεῦρο παρ' ἐμοί· ἔχω τούτους ἐγὼ, ἔχω λαβών· λέγε, τίς; σύνθημα δὲ τί; πόθεν ἥκες; ποδαπὸς εἶ;

ΟΔ. Οὐκ ἂν μάθοις· αὐθημερὸν δὲ θανῇ, δράσας τι κακῶς.

ΧΟ. Οὐκ ἐρεῖς τὸ σύνθημα πρὶν διελάσαι σε τῷ δορί;

ΟΔ. Ἵστασο, ἔχ' ἀτρέμας.

ΧΟ. Ἐλθέτω τις ὡς τάχος· παῖε, παῖε, πᾶς τις παιέτω.

ΗΜ. Ἆρα σὺ Ῥῆσον ἀνεῖλες; ἀλλ' ἴδε με τὸν κτενοῦντά σε.

ΟΔ. Ἐπίσχες σύ τε καὶ πᾶς ἄλλος ὧδε.

ΧΟ. Οὐκ ἐπισχήσω.

ΗΜ. Ἆ, ἆ· φίλον ἄνδρα μὴ κτείνῃς σύγε.

ΗΜ. Καὶ τίποτ' ἐστὶ τὸ σύνθημα, λέγε.

ΟΔ. Φοῖβος.

ΗΜ. Μεμάθηκα· νῦν δ' ἐπισχέτω πᾶς· ἀλλ' ἆρ' οὐκ ᾔσθου σύγε, ὅποι διέφυγον οἱ κλέπται;

---

Ἐλάω δὲ Ὀδυσσεὺς, καὶ παντοίοις σοφίσμασι διαδιδράσκει. 682. Ἀλλὰ τὸν κτανοῦντά σε] ἀλλ' ὅρα ἐμὲ τὸν κτανοῦντά σε· ἐν γὰρ τοιαύταις περιστάσεσι πολὺ τὸ ἐλλειπτικὸν ἤτοι ἐνδιαθέτως ἀποπληρούμενον, ἢ ὑφ' ἑτέρου προσώπου διακοπτόμενον· αὐτίκα γὰρ τὸν φύλακα ἰδὼν Ὀδυσσεὺς ἄραντα ἐπ' αὐτὸν τὸ ξίφος διέκοψεν αὐτὸν λέγοντα. εἰπὼν, ἴσχε πᾶς τις καίτοι τὰ πρόσωπα

Η. Β. Τῇδέ πῃ κατείδομεν.
Η. Α. Ἕρπε πᾶς κατ' ἴχνος αὐτῶν, ἢ βοὴν ἐγερτέον.
Η. Β. Ἀλλὰ συμμάχους ταράσσειν δεινὸν ἐν νυκτῶν φόβῳ.
ΧΟ. Τις ἀνδρῶν ὁ βάς; (Στρ.)
Τίς, ὃς μέγα θράσος ἐπεύξεται,
Χεῖρα φυγὼν ἐμάν;
Πόθεν νιν κυρήσω;
Τίνι προσεικάσω;
Ὅστις διὰ ὄρφνας ἦλθ' ἀδειμάντῳ ποδὶ
Διά τε τάξεων καὶ φυλάκων ἕδρας;
Θεσσαλὸς, ἢ
Παραλίαν Λοκρῶν νεμόμενος πόλιν;
Ἢ νησιώτην σποράδα κέκτηται βίον;
Τίς, ἢ πόθεν, ἢ ποίας πάτρας;
Ὁποῖον εὔχεται τὸν ὕπατον θεῶν;
ΗΜ Ἆρ' ἔστ' Ὀδυσσέως τοὔργον, ἢ τίνος τόδε;
ΗΜ. Εἰ τοῖς πάροιθε χρὴ τεκμαίρεσθαι, τί μή;
ΗΜ. Δοκεῖς γάρ;
ΗΜ. Τί μὴν οὔ;
ΗΜ. Θρασὺς γοῦν ἐς ἡμᾶς.
ΗΜ: Τίν' ἀλκήν; τίν' αἰνεῖς;
ΗΜ. Ὀδυσσῆ.
ΗΜ. Μὴ κλωπὸς αἴνει φωτὸς αἱμύλον δόρυ.
ΧΟ. Ἔβα καὶ πάρος (Ἀντ.)
Κατὰ πτόλιν, ὕπαφρον ὄμμ' ἔχων
Ῥακοδύτῳ στολᾷ
Πυκασθεὶς, ξιφήρης
Κρυφαῖος ἐν πέπλοις.

ΗΜ. Ὡς ἐπὶ τάδε κατείδομεν αὐτοὺς οἰχομένους.

ΗΜ. Διωκτέον παντὶ ὄπισθεν κατὰ πόδας· ἢ βοητέον.

ΗΜ. Δεινὸν ἐν νυκτὶ τοὺς συμμάχους συνταράττειν.

ΗΜ. Τίς ὁ καταδὺς οὕτως εἰς τὸν στρατὸν μηδενὸς αἰσθομένου; τίς καυχήσεται ἐπ' εὐτολμίᾳ τοσαύτῃ, τὸν ἐμὸν βραχίονα διαπεφευγώς; ποῦ δ' ἂν εὕροιμι αὐτόν; καὶ τίνι παρεικάσω; τίς ποθ' οὕτω διὰ νυκτὸς εἰσῆλθεν εὐθαρσῶς διὰ τοσούτων τάξεων καὶ φυλάκων μέχρι τοῦ στρατηγείου; Θεσσαλὸς, ἢ Λοκρῶν τις τῶν τὴν παραλίαν οἰκούντων; ἢ ἄλλως τῶν νησιωτῶν τις, τούτων δὴ τῶν ἐν νήσοις διαβιούντων σποράδην; ἢ τίς ἕτερος; πόθεν, καὶ ποδαπός; τίνα θεῶν ὕπατον λέγει εἶναι;

ΗΜ. Μὴ Ὀδυσσέως (τίνος γάρ;) τὸ τόλμημα τοῦτ' ἐστι;

ΗΜ. Τί δ' οὐχί; εἰ χρὴ τεκμαίρεσθαι τοῖς πάλαι.

ΗΜ. Οὕτω δοκεῖ σοι ἔχειν;

ΗΜ. Πῶς γὰρ οὔ;

ΗΜ. Ὡς τολμηρὸς ὡνήρ.

ΗΜ. Τίνα τοῦτον ἐπαινεῖς;

ΗΜ. Ὀδυσσέα.

ΗΜ. Μή σύγε θαύμαζε τὸ πανοῦργον τοῦ κλέπτου δόρυ.

ΧΟ. Ὁ αὐτὸς καὶ πάλαι ὑπεσέδυ τὴν πόλιν, ῥακενδύτης μὲν τὴν στολὴν, μεστὸς δὲ λήμης τοὺς ὀφθαλμοὺς, πιναρὸς δὲ τὴν κόμην, τὸ δὲ ξίφος ὑπὸ μάλης ἔχων ἀφανές·

---

ταῦτα ἄλλως ἐν ἄλλοις μεμέρισται, ὡς ἑκάστῳ ποτὲ ἔδοξε. 699. Ὕπατον θεῶν] ἀντὶ τοῦ ὕπατον, πατρῷόν τις ὀρθῶς εἰκάζει γραπτέον εἶναι. 701. Εἰ τοῖς πάροιθεν] ἴδε ἀνωτέρω 500. 713. Ὕπαφρον] ὑποδεδακρυμένον·

Βίον δ' ἐπαιτῶν, εἷρπ' ἀγύρτης τὶς λάτρις,
Ψαφαρόχρουν κάρα πολυπινές τ' ἔχων·
Πολλὰ δὲ τὰν
Βασιλίδ' ἑστίαν Ἀτρειδᾶν κακῶς
Ἔβαζε, δῆθεν ἐχθρὸς ὢν στρατηλάταις.
Ὄλοιτο δ', ὄλοιτο πανδίκως,
Πρὶν ἐπὶ γᾶν Φρυγῶν ποδὸς ἴχνος βαλεῖν.
ΗΜ. Εἴτ' οὖν Ὀδυσσέως, εἴτε μὴ, φόβος μ' ἔχει,
Ἕκτωρ γὰρ ἡμῖν τοῖς φύλαξι μέμψεται.
ΗΜ. Τί λάσκων;
ΗΜ. Δυσοίζων.
ΗΜ. Τί δρᾷς δή; τί ταρβεῖς;
ΗΜ. Καθ' ἡμᾶς περᾶσαι —
ΗΜ. Τίν' ἀνδρῶν;
ΗΜ. Οἳ τῆς δε νυκτὸς ἦλθον εἰς Φρυγῶν στρατόν.
ΟΙ. Ἰώ! δαίμονος τύχα βαρεῖα. φεῦ φεῦ!
ΗΜ. Ἔα· σίγα πᾶς.
ΗΜ. Ἀβρίξ ἴσως γὰρ εἰς βόλον τις ἔρχεται.
ΟΙ. Ὦ συμφορὰ βαρεῖα Θρῃκῶν συμμάχων!
ΗΜ. Τίς ὁ στένων;
ΟΙ. Ἰώ! Ἰώ!
Δύστηνος ἐγὼ, σύ τ', ἄναξ Θρῃκῶν.
Ὦ στυγνοτάτην Τροίαν ἐσιδών.
Οἷόν σε βίου τελος εἷλεν;

μήτι γραπτέον, ὕποφρον; ἵνα ᾖ, κατωφρυωμένον; 716. Ὄλοιτο . . . Πρὶν βαλεῖν] ἀσύντακτον δοκεῖ το μέλλον προς το παρωχημένον· ἔδει γαρ εἰπεῖν,

πολλὰ δ' Ἀτρείδας, ὡς δῆθεν ἐχθρὸς ὢν, ἔλεγε κακῶς ἐν ταῖς ἀγοραῖς· ἐν αἷς μάλιστα προσαιτῶν ἐπλανᾶτο· ἀλλ' ὤφειλεν ἐκεῖνος, ὡς ὤφειλεν ἀπολέσθαι, πρὶν ἢ ἀποβῆναι ἀπὸ τῆς νεὼς εἰς Φρυγίαν.

**HM.** Εἴτ' Ὀδυσσέως, εἴθ' ἑτέρου τὸ τόλμημ' ἐστὶν, ἐμὲ φόβος ἔχει, μὴ Ἕκτωρ πολλὴν ἡμῶν τῶν φυλάκων ἀμέλειαν καταγνῶ.

**HM.** Τίποτε λέγων;

**HM.** Δυσφορῶν ὑπονοίᾳ.

**HM.** Τί δρᾷς αὐτός; τίνα τίποτε τρέμεις οὕτω;

**HM.** Ὅτι δι' ἡμῶν εἰς τὸν στρατὸν εἰσῆλθον νύκτωρ.

**OI.** Ὦ τοῦ δαίμονος! ὡς βαρὺς ἡμῖν ἐπεισέπεσεν οὗτος· φεῦ, φεῦ.

**HM.** Ἔα, ἔα· σιγάτω πᾶς.

**HM.** Προσέχετε· τάχ' ἂν ἐμπέσει τις ἐλθὼν εἰς τὰ δίκτυα.

**OI.** Ὦ μεγάλη συμφορὰ τῶν ἐκ Θράκης ἀρτίως ἐληλυθότων συμμάχων.

**HM.** Τίς στένει οὕτω θρηνῶν;

**OI.** Ἰὼ ὁ δυστυχὴς ἐγώ· δυστυχὴς δὲ καὶ αὐτὸς, ὦ βασιλεῦ τῶν Θρακῶν, ὁ τὴν ἄχαριν χώραν ταύτην ἑωρακὼς, οἷόν σε τέλος τοῦ βίου ἔχει.

---

ὤφειλεν ὀλέσθαι πρὶν βαλεῖν· ἢ εἴθ' ὤλετο πρὶν βαλεῖν. 722. Καθ' ἡμᾶς περάσαι] σύνταξον τοῦτο πρὸς το, δυσοίζων. 724. Ἰὼ] ὁ οἰκέτης του Ῥήσου πόῤῥωθεν ἐρχόμενος, θρηνεῖ· ὃς, ἡνίοχος ὢν ἐκείνου, ἐτρώθη ἐς τῇ νυκτομαχίᾳ τῶν ἀμφὶ Ὀδυσσέα. 726. Ἄβριξ] ἐγρηγορως· σίγα· ἐν ἄλλοις δὲ κεῖται, ἄβριζε· ἐγρηγόρως ἔχε.

ΧΟ. Τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
Ἀμβλῶπες αὐγαὶ, κοὔ σε γιγνώσκω τορῶς.
ΟΙ. Ποῦ τιν' ἀνάκτων Τρωϊκῶν εὕρω;
Ποῦ δῆθ' Ἕκτωρ
Τὸν ὑπασπίδιον κοῖτον ἰαύει;
Τίνι σημήνω διόπων στρατιᾶς;
Οἷα πεπόνθαμεν! οἷα τις ἡμᾶς
Δρασας ἀφανῆ φροῦδος, φανερὸν
Θρῃξὶν πένθος τολυπεύσας.
ΧΟ. Κακὸν κυρεῖν τι Θρηκίῳ στρατεύματι
Ἔοικεν, οἷα τοῦδε γιγνώσκω κλύων.
ΟΙ. Ἔῤῥει στρατιὰ, πέπτωκεν ἄναξ
Δολίῳ πληγῇ.
Οἷα μ' ὀδύνη τείρει φονίου
Τραύματος εἴσω, πῶς δ' ἂν ὀλοίμαν!
Χρῆν γάρ μ' ἀκλεῶς Ῥῆσόν τε θανεῖν,
Τροίᾳ κέλσαντ' ἐπίκουρον

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

### ΧΟΡΟΣ, ΗΝΙΟΧΟΣ, ΕΚΤΩΡ, ΜΟΥΣΑ.

ΧΟ. Τάδ' οὐκ ἐν αἰνιγμοῖσι σημαίνει κακά·
Σαφῶς γὰρ αὐδᾷ συμμάχους ὀλωλότας.
ΟΙ Κακῶς πέπρακται, κἀπὶ τοῖς κακοῖσι πρὸς
Αἴσχιστα· καίτοι δὶς τόσον κακὸν τόδε·
Θανεῖν γὰρ εὐκλεῶς μὲν, εἰ θανεῖν χρεὼν,
Λυπρὸν μὲν, οἶμαι, τῷ θανόντι· (πῶς γὰρ οὔ;)

ΧΟ. Τίς ποτ' εἶ τῶν συμμάχων; ὡς γὰρ ἐν νυκτὶ οὐ γινώσκω ὁρῶν.

ΟΙ. Ποῦ ἂν εὕροιμί τινα τῶν ἡγεμόνων Τρώων; ποῦ ποθ' Ἕκτωρ ἀναπαύεται παρ' ἀσπίδα; τίνι τῶν ϛρατηγῶν εἴπω, οἷα νῦν ἐσμὲν πεπονθότες; οἷά τις ἡμᾶς δράσας ἀφανῶς, φανερὸν Θρᾳξὶν ἐτολύπευσε πένθος;

ΧΟ. Συμβῆναί τι δοκεῖ τοῖς Θρᾳξὶ, ὡς εἰκάσαι.

ΟΙ. Ἔῤῥει ὁ ϛρατός· τέθνηκε Ῥῆσος δολίως δολίῳ δορὶ ἐλασθείς· ὢ τραῦμα τοῦθ', οἷαν μοι φέρει ὀδύνην· πῶς ἂν ἀπολοίμην; ἔδει ἄρ' ἐμέ τε καὶ Ῥῆσον ἐπίκουρον ἐλθόντας Τρωσὶν ἀκλεῶς ἀπολέσθαι.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

## ΧΟΡΟΣ, ΗΝΙΟΧΟΣ, ΕΚΤΩΡ, ΜΟΥΣΑ.

ΧΟ. Οὗτος μὲν οὐκέτ' αἰνίγματα λέγει· σαφῶς δὲ θρηνεῖ τοὺς συμμάχους φθαρέντας.

ΟΙ. Κακῶς ἡμῖν τὰ πράγμα ἔχει, κοὐδεὶς ἀντερεῖ· πρὸς δὲ τῷ κακῷ οὐδ' ἔξω ἐϛὶν αἰσχύνης· ὃ διπλοῦν βάρος ἔχει. τὸ μὲν γὰρ εὐκλεῶς ἀποθανεῖν, ἐπειδὴ πᾶσιν ἀπόκειται, λυπηρὸν μὲν καὶ τοῦτ' ἐστι· πῶς γὰρ οὔ; ἀλλὰ

Τοῖς ζῶσι δ' ὄγκος καὶ δόμων εὐδοξία.
Ἡμεῖς δ' ἀβούλως κἀκλεῶς ὀλώλαμεν.
Ἐπεὶ γὰρ ἡμᾶς εὔνασ' Ἑκτορεία χείρ,
Ξύνθημα λέξας, εὕδομεν πεδοστιβεῖς,
Κόπῳ δαμέντες, οὐδ' ἐφρουρεῖτο στρατὸς
Φυλακαῖσι νυκτέροισιν, οὐδ' ἐν τάξεσιν
Ἔκειτο τεύχη, κλῆθρά τ' οὐκ ἐπὶ ζυγοῖς
Ἵππων καθήρμοσθ', ὡς ἄναξ ἐπεύθετο
Κρατοῦντας ὑμᾶς κἀφεδρεύοντας νεῶν
Πρύμναισι· φαύλως δ' εὕδομεν πεπτωκότες.
Κἀγὼ μελούσῃ καρδίᾳ, λήξας ὕπνου,
Πώλοισι χόρτον, προσδοκῶν ἑωθινὴν
Ζεύξειν πρὸς ἀλκήν, ἀφθόνῳ μετρῶ χερί.
Λεύσσω δὲ φῶτε περιπολοῦνθ' ἡμῶν στρατὸν
Πυκνῆς δι' ὄρφνης. ὡς δ' ἐκινήθην ἐγώ,
Ἐπτηξάτην τε, κἀνεχωρείτην πάλιν.
Ἤπυσα δ' αὐτοῖς, μὴ πελάζεσθαι στρατῷ,
Κλῶπας δοκήσας συμμάχων πλάθειν τινάς.
Οἱ δ' οὐδέν· οὐ μὴν οἶδ' ἐγὼ τὰ πλείονα.
Εὗδον δ', ἀπελθὼν αὖθις ἐς κοίτην πάλιν·
Καί μοι καθ' ὕπνον δόξα τις παρίσταται·
Ἵππους γάρ, ἃς ἔθρεψα, κἀδιφρηλάτουν,
Ῥήσῳ παρεστώς, εἶδον, ὡς ὄναρ δοκῶν,
Λύκους ἐπεμβεβῶτας ἑδραίαν ῥάχιν,
Θείνοντε δ' οὐρᾷ πωλικῆς ῥινοῦ τρίχα,
Ἤλαυνον· αἱ δ' ἔρεγκον ἐξ ἀντηρίδων

---

762. Κλῆθρα ἐπὶ ζυγοῖς οὐ καθήρμοστο] ἐκ τῶν περὶ τὸ πρᾶγμα αὐ-

τοὺς γ' ἀπογόνους σαίνει, ὡς ἐς δόξαν πολλὴν αἶρον τὸν οἶκον ἐς τὸν ἔπειτα χρόνον· ἡμεῖς δ' ἀφρόνως θ' ἅμα καὶ ἀκλεῶς ἀπολώλαμεν· ϛρατοπεδεύσαντες γὰρ ἔνθ' ἐκέλευσεν Ἕκτωρ, δοὺς ἡμῖν καὶ τὸ σύνθημα, ὡς ἐκ μακρᾶς ὁδοῦ ἐκαθεύδομεν χαμευνοῦντες. μήτε φυλακὰς τάξαντες πέριξ, μήτε τὰ ὅπλα ἔχοντες ἐν τάξει, μήτ' τὰς τῶν ἵππων πέδας τοῖς ζυγοῖς ἡρμοσμένας· ὁ γὰρ βασιλεὺς ἡμῶν ἦν ἀκηκοὼς, ὡς ὑμεῖς κρατοῦντες, προσκαθέζεσθε προσεδρεύοντες ταῖς τῶν πολεμίων ναυσίν· ὡς οὖν βεβαρυμένοι ἐκ τῆς ὁδοῦ, ἐκαθεύδομεν ἀμερίμνως, ὡς ἑκάστῳ προὐχώρει· ἐγὼ δὲ προσδοκῶν μέγαν τοῖς ἵπποις, ἅμα γενομένης ἡμέρας, ἀγῶνα ἔσεσθαι, ἐγερθεὶς, πλείω τροφὴν λαβὼν, παρέβαλον ἐκείνοις· κἀν τούτῳ ὁρῶ ὑπὸ σκότῳ πυκνῷ μόλις ἄνδρας δύο πλανωμένους ἐν τῷ στρατοπέδῳ· οἳ, ὡς ᾔσθοντ' ἐμοῦ κινηθέντος, καταπτήξαντες, ἀνεχώρησαν πάλιν· ἐγὼ δ' ὑπολαβὼν κλέπτας εἶναί τινας τῶν συμμάχων, ἐκέλευσα μὴ προσιέναι τῷ στρατοπέδῳ· οἱ δὲ ἀπεκρίνοντο οὐδέν. κἀντεῦθεν μηκέτι μηδὲν ὑπονοῶν περαιτέρω, ἐπανελθὼν κατεκλίθην· ἔδοξα δὲ καθ' ὕπνους ἰδεῖν, ἑστὼς παρὰ τῷ Ῥήσῳ, λύκους δύο, ἐφ' οὓς ἐγὼ ἔτρεφον ἵππους, ἐπιπηδήσαντας, καὶ ἐξελαύνοντας αὐτοὺς, τύπτοντες ταῖς οὐραῖς· οἱ δὲ ἵπποι φρυαττόμενοι, καὶ θυ-

---

τὸ τὸ πρᾶγμα· οὕτω δ' ἔγραψα ἐκ διορθώσεως ἑτέρου ἀντὶ τοῦ Πλῆκτρα· ὀρθοῦται γὰρ οὕτω ὁ νοῦς καὶ ἐξ ὧν εἴρηται ἀνωτέρω στιχ. 100· βούλεται δὲ λέγειν. Ἱμαι. ὡς οἱ ἵπποι οὐκ ἦσαν ἀσφαλῶς ἐζευγμένοι κλείθροις, ὡς ἐν ἀφοβίᾳ. 782. Ἀντηρίδων] μήτι τῶν στύλων ἐξ ὧν ἦσαν δεδεμένοι;

Θυμὸν πνέουσαι, κἀνεχαίτιζον φόβῳ.
Ἐγὼ δ' ἀμύνων θῆρας ἐξεγείρομαι
Πώλοισιν· ἔννυχος γὰρ ἐξώρμα φόβος.
Κλύω δ', ἐπάρας κρᾶτα. μυχθισμὸν νεκρῶν.
Θερμὸς δὲ κρουνὸς δεσπότου παρὰ σφαγαῖς
Βάλλει με δυσθνήσκοντος αἵματος νέου.
Ὀρθὸς δ' ἀναΐσσω χειρὶ σὺν κενῇ δορός.
Καί μ' ἔγχος αὐγάζοντα, καὶ θηρώμενον,
Παίει παραστὰς νειάτην πλευρὰν ξίφει
Ἀνὴρ ἀκμάζων· φασγάνου γὰρ ᾐσθόμην
Πληγῆς, βαθεῖαν ἄλοκα τραύματος λαβών.
Πίπτω δὲ πρηνής· οἱ δ' ὄχημα πωλικὸν
Λαβόντες ἵππων, ἵεσαν φυγῇ πόδα.
Ἆ, ἆ! ὀδύνη με τείρει, κοὐκέτ' ὀρθοῦμαι τάλας.
Καὶ ξυμφορὰν μὲν οἶδ' ὁρῶν, τρόπῳ δ' ὅτῳ
Τεθνᾶσιν οἱ θανόντες, οὐκ ἔχω φράσαι,
Οὐδ' ἐξ ὁποίας χειρός· εἰκάσαι δέ μοι
Πάρεστι λυπρὰ πρὸς φίλων πεπονθέναι.

ΧΟ. Ἡνίοχε Θρῃκὸς τοῦ κακῶς πεπραγότος,
Μηδὲν δύσοιζ' οὐ πολεμίους δρᾶσαι τάδε.
Ἕκτωρ δὲ κἀυτὸς, συμφορᾶς πεπυσμένος,
Χωρεῖ· συναλγεῖ δ', ὡς ἔοικε, σοῖς κακοῖς.

ΕΚ. Πῶς, ὦ μέγιστα πήματ' ἐξειργασμένοι,
Μολόντες ὑμᾶς πολεμίων κατάσκοποι,
Λήθουσιν αἰσχρῶς, καὶ κατεσφάγη στρατός;
Κοὔτ' εἰσιόντας στρατόπεδ' ἐξαπώσατε,
Οὔτ' ἐξιόντας; τῶνδε τίς τίσει δίκην,

μὸν ὅλως ἐκπνέοντες ἐκ τῶν ἀντηρίδων, ἐξανίσταντο φόβῳ· ἐν δ' οὖν τούτῳ ἀποσοβῶν τοὺς λύκους ἀπὸ τῶν ἵππων, διϋπνίσθην, ὅλως ἔμφοβος γεγονὼς· καὶ στήσας τὸ οὖς ὀρθὸν πρὸς τὰ παρόντα, ἀκούω φοβερόν τινα μυχθισμὸν νεκρῶν ὡς ἐξ ὑπογείου· καί με τὸ τοῦ δεσπότου αἷμα, ἐκπηδῶν θερμὸν ἐκ τοῦ τραύματος, ῥέον ἤδη ἐνεπίμπλα· ὡς δ' ἐκπηδήσας ἐκ χειρὸς ἀόπλου, ἐσκόπουν, ὅπημοι κεῖται τὸ δόρυ, παίει με τὶς ξίφει παρὰ τὴν ἐσχάτην πλευρὰν παραςὰς ἐκ βραχίονος ἰσχυροῦ· αἰσθόμενος δὲ τὸ τραῦμα καίριόν μοι γεγενημένον, ἔπεσον πρηνής· οἱ δὲ λαβόντες τοὺς ἵππους, ᾤχοντο ἀπιόντες· Ἆ, ἆ! ὀδύνημε τείρει, καὶ οὐκέτι δύναμαι ςῆναι· καὶ ταῦτα μὲν οἶδ' αὐτὸς ἑωρακὼς, οὐ παρ' ἄλλων ἀκούσας· ὅπως δὲ καὶ ὑφ' ὅτου τεθνήκασιν οἱ τεθνεῶτες οὐκ ἔχω λέγειν· ὃ δ' εἰκάζω, μέγιςα κακὰ πρὸς φίλων τυγχάνομεν πεπονθότες.

ΧΟ. Ἡνίοχε Θρακὸς, τοῦ κακῶς πεπονθότος, οὐ χρή σε ἐνδυχζειν μὴ οὐχὶ ὑπὸ πολεμίων ταῦθ' ὑμᾶς πεπονθέναι· ἴδε Ἕκτωρ ἐκεῖνος μαθὼν, ὡς ἔοικε, τὸ συμβεβηκὸς, σπουδῇ τείνει δεῦρο, συναλγῶν ὡς εἰκάσαι, ἐφ' οἷς αὐτὸς τυγχάνεις πεπονθώς.

ΕΚ. Ὦ μέγισθ' ἡμῖν κακὰ ἐξειργασμένοι, πῶς ποτε λαθόντες ὑμᾶς τῶν πολεμίων κατάσκοποι, κατέσφαξαν τὸν σρατὸν καταδύντες; ὑμεῖς μήτ' ἐπιόντας ἀπώσασθε, μήτ' ἐξιόντας ἐτιμωρήσασθε; τίς τούτων δίκην ἀξίαν δώσει,

782. Ἀμύνων] ἀπερύκων, ἀποσοβῶν. 790. Νειάτην] ἐσχάτην πλευράν· γράφουσι δέ τινες νείαιραν, καὶ νειρὰν εἰς πλεῦραν, διὰ τὸ μέτρον.

Πλὴν σοῦ; σὲ γὰρ δὴ φυλακὰ φημ' εἶναι στρατοῦ.
Φρουδοι σ' ἄπληκτοι, τῇ Φρυγῶν κακανδρίᾳ
Πόλλ' ἐγγελῶντες, τῷ στρατηλάτῃ τ' ἐμοί.
Εὖ νῦν τόδ' ἴστε, Ζεὺς ὀμώμοσται πατὴρ,
Ἤτοι μάραγνά γ', ἢ καρανιστὴς μόρος,
Μενεῖ σε δρῶντα τοιάδ', ἢ τὸν Ἕκτορα
Τὸ μηδὲν εἶναι καὶ κακὸν νομίζετε.

ΧΟ. Ἰώ! ἰώ!
Μέγας ἐμοὶ, μέγας ἀγών.
Ὦ πολιοῦχον κρατος,
Τότ' ἄρ' ἔμολον, ὅτεσοι ἄγγελος ἦλθον, ἀμ-
φι ναυσὶν πυραίθειν Ἀργείων στρατὸν,
Ἐπεὶ ἄγρυπνον ὄμμ' ἐν εὐφρόνῃ
Οὔτ' ἐκοίμισ', οὔτ' ἔβριξα,
Οὐ μὰ τὰς Σιμοεντίδας
Πηγάς· μή μοι κότον, ὦναξ, θῇς·
Ἀναίτιος ἔγωγε πάντων.
Ἢν δὲ χρόνῳ παρὰ καιρὸν
Ἔργον, ἢ λόγον πυθῃ,
Κατά με γᾶς ζῶντα πόρευσον·
Οὐ παραιτοῦμαι.

ΟΙ. Τί τοῖσδ' ἀπειλεῖς, βάρβαρός τε βαρβάρου
Γνώμην ὑφαιρεῖ τὴν ἐμὴν, πλέκων λόγους;
Σὺ ταῦτ' ἔδρασας· οὐδέν' ἂν δεξαίμεθα
Οὔθ' οἱ παθόντες, οὔτ' ἂν οἱ τετρωμένοι
Ἄλλον· μακροῦ γε δεῖ σε καὶ σοφοῦ λόγου,

---

813. Μάραγνα] Ταυρικὴ, φασὶ, μάστιξ· τὸ νῦν παρὰ τοῖς Ῥώσσεις Κνοῦτον.
833. Παθόντες] οὕτως ἔγραψα ἀντὶ τοὺ μαθόντες· ἐν ἄλλοις δὲ, θανόντες.

εἰ μὴ σύ; σὺ γὰρ τὴν τοῦ στρατοῦ φυλακὴν ἦσθα ἐπιτετραμμένος. Οἱ δὲ, ἐμοί τι τῷ στρατηγῷ καὶ τοῖς ὑπ' ἐμὲ τῶν Φρυγῶν κακοῖς ἤδη γεγενημένοις πολλὰ ἐπεγγελάσαντες, ᾤχοντο ἀτιμώρητοι· ἀλλ' ἴστω Ζεὺς ὁ πάντων πατὴρ, ἦ μὴν μάστιγι Ταυρικῇ, ἢ τὴν κεφαλὴν ὑμῶν ἀποτεμόντα, ἀποκτενεῖν· εἰδὲ μὴ, μηδὲν εἶναι νομίζεται Ἕκτορα.

ΧΟ. Ἰὼ, ἰὼ, ὡς ἐν μεγάλῳ ἀγῶνι ἔμοιγε τὰ πράγματα περιέστη. ἀλλ' ὦ μέγισθ' ἡγεμὼν, ἴσθι τοῦθ', ὡς ἡνίχ' ἡμεῖς ἤλθομεν ἀγγελοῦντές σοι πολλὰ πυρὰ τοὺς Ἕλληνας ἀνακαῦσαι ἐν τῷ ναυςάθμῳ, τότε δὴ, ἡμῶν ἀπόντων, δοκοῦσιν ἐκεῖνοι εἰς τὸ ἡμέτερον εἰσδῦναι στρατόπεδον· ἐπειδὴ ἔγωγ' οὔτε βλέφαρον ἔκλεισα, οὔθ' ὅλως ἐνέδωκα νυσταγμῷ κατὰ πᾶσαν τὴν νύκτα, οὐ μὰ τὰς τοῦ Σιμόεντος πηγάς· Μή μοι τοίνυν χαλεπήνῃς, ὦ ἄναξ, ἐφ' οἷς σύνοιδ', ἐμαυτῷ μηδὲν ἐξημαρτηκώς· εἰ δ' ὁ χρόνος ὕστερον ἀποδείξειμε, ἤτοι λόγῳ, ἢ ἔργῳ προδόντα τὰ πράγματα καὶ κατὰ μικρὸν, μὴ φείδου, ἀλλὰ ζῶντά με ὑπὸ γῆν κρύψον, οὐ παραιτοῦμαι.

ΟΙ. Πρὸς τί τοσαύτας προσποιῇ ἀπειλὰς αὐτὸς πρὸς ἀνθρώπους, μηδὲν εἰδότας, βάρβαρος συμμάχου βαρβάρου ταῖς τῶν λόγων πλοκαῖς μηχανώμενος ὑποκλέψαι τὴν γνώμην; σὺ ὁ στρατηγὸς εἶ ὁ ταῦθ' ἡμᾶς δράσας· κοὐδένα ἄλλον μήθ' οἱ θανόντες, μήθ' ὑμεῖς οἱ ἔτι ἐν τραύμασι θανασίμοις ζῶντες, ὑποπτεύοιμεν ἄν· πολλῶν δὲ λόγων καὶ σοφῶν ἅμα δεῖ σοι, ὥστε πεῖσαί με μὴ ἀ-

Ὅτῳ με πείσεις μὴ φίλους κατακτανεῖν,
Ἵππων ἐρασθεὶς, ὧν ἕκατι συμμάχους
Τοὺς σοὺς φονεύεις, πόλλ' ἐπισκήπτων μολεῖν.
Ἦλθον, τεθνᾶσιν· εὐπρεπέστερον Πάρις
Ξενίαν κατῄσχυν', ἢ σὺ, συμμάχους κτανών.
Μὴ γάρ τι λέξῃς, ὥς τις Ἀργείων μολὼν
Διώλεσ' ἡμᾶς· τίς δ' ὑπερβαλὼν λόχους
Τρώων ἐφ' ἡμᾶς ἦλθεν, ὥστε καὶ λαθεῖν;
Σὺ πρόσθεν ἡμῶν ἧσο, καὶ Φρυγῶν στρατός.
Τίς οὖν τέτρωται, τίς τέθνηκε συμμάχων
Τῶν σῶν, μολόντων, ὡς σὺ, πολεμίων, λέγεις;
Ἡμεῖς δὲ καὶ τετρώμεθ', οἱ δὲ μειζόνως
Παθόντες, οὐχ ὁρῶσιν ἡλίου φάος.
Ἁπλῶς δ' Ἀχαιῶν οὐδέν' αἰτιώμεθα.
Τίς δ' ἂν χαμεύνας πολεμίων κατ' εὐφρόνην
Ῥήσου μολὼν ἐξεῦρεν, εἰ μή τις θεῶν
Ἔφραζε τοῖς κτανοῦσιν; οὐδ' ἀφιγμένον
Τὸ πάμπαν ᾖσαν· ἀλλὰ μηχανᾷ τάδε.

ΕΚ. Χρόνον μὲν ἤδη συμμάχοισι χρώμεθα,
Ὅσον περ ἐν γῇ τῇδ' Ἀχαϊκὸς λεὼς,
Κοὐδὲν πρὸς αὐτῶν οἶδα πλημμελὲς κλύων.
Ἐν σοὶ δ' ἂν ἀργοίμεσθα; μή μ' ἔρως ἕλοι
Τοιοῦτος ἵππων, ὥστ' ἀποκτείνειν φίλους.
Καὶ ταῦτ' Ὀδυσσεύς· τίς γὰρ ἄλλος ἄν ποτε
Ἔδρασεν, ἢ βούλευσεν, Ἀργείων ἀνήρ;
Δέδοικα δ' αὐτόν· καί τί μου θράσσει φρένας,
Μὴ καὶ Δόλωνα συντυχὼν κατακτάνῃ.
Χρόνον γὰρ ἤδη φροῦδος ὢν, οὐ φαίνεται.

νελεῖν τοὺς φίλους, οὓς πολλὰ ἐπισκήψας ἤγαγες δεῦρο, ἐπὶ τοὺς ἵππους, ὅπως ἔχεις αὐτὸς. πλεονεκτικὸν θεὶς ὄμμα· οἱ δὲ ἐλθόντες ἀπέθανον· ἀλλ' εὐπρεπέστερον πολλῷ Πάρις κατήσχυνε τὴν ξενίαν, ὑφελόμενος τὴν Ἑλένην, ἢ σὺ, τοὺς σαυτοῦ ἀποκτείνας συμμάχους· οὐ γὰρ ἂν εἴποις, ὡς τῶν πολεμίων τινὲς εἰσεφρίσαντες ἔδρασαν ταῦθ' ἡμᾶς· πῶς γὰρ τὰς τῶν Τρώων φάλαγγας διαδύντες, ἐπέθεντο ἡμῖν πρώτοις, ὑστέροις οὖσι; σὺ γὰρ πρὸ ἡμῶν τυγχάνεις ἐστρατοπεδευμένος· τίς οὖν τῶν σῶν τέθνηκεν, ἢ τέτρωται, εἴπερ ἐκ τῶν πολεμίων εἰσὶν οἱ ταῦτα δεδρακότες; ἡμεῖς δὲ καὶ τετρώμεθα, καὶ οἱ τὰ μείζω καὶ οἰκτίω παθόντες οὐκέθ' ὁρῶσι τὸ φῶς τοῦ ἡλίου· οὐκ ἂν οὖν οὐδένα τῶν Ἑλλήνων αἰτιῴμεθ' ἄν· τίς γὰρ ἂν ἐκείνων ἐξεῦρεν ἐν νυκτὶ, ὁπηδήποτε κατευνάζεται Ῥῆσος; οἳ οὐδ' ὑπῆρχε Ῥῆσός τις ἐλθὼν δεῦρο, ἦσαν πω πεπυσμένοι, εἰμή τις εἴποι θεῶν τιν' αὐτοῖς ἡγεμόνα γενέσθαι· ἀλλὰ ταῦτά σοι ἐκ σκευωρίας ἡμῖν τετολύπευται πάντα.

ΕΚ. Πολλὴν μὲν ἤδη χρόνον, ἐξ ὅτου Ἕλληνες εἰς τὴν γῆν ἀπέβησαν ταύτην, πολλοῖς χρωμένῳ συμμάχοις οὔπω μοι ἐγένετο ἔγκλημα πρὸς οὐδέν' οὐδ' ὁτιοῦν· νῦν δὲ πρῶτον παρὰ σοῦ ταῦτ' ἀκούω· ἔμοιγε δ' οὖν μήποτ' ἔρως τοιοῦτος ἔλθοι δι' ἵππους ἀποκτεῖναι συμμάχους· ἀλλὰ ταῦτ' Ὀδυσσεὺς, οὐδ' ἐγὼ, ἐσθ' ὁ δράσας· τίς γὰρ ἂν τῶν Ἑλλήνων τολμήσειε ταῦτα; τοῦτον ἔγωγ' ὑποπτεύω· κἀντεῦθεν οὐδ' ἐκεῖνο φαύλως τῆς ἐμῆς καθικνεῖται καρδίας, μὴ καὶ Δόλων, εὐτυχὼν αὐτῷ καθ' ὁδὸν, ἀπωλέσθη· χρόνιος γὰρ ἀπελθὼν, οὔπω πάρεστι.

ΟΙ. Οὐκ οἶδα τοὺς σοὺς, οὓς λέγεις, Ὀδυσσέας.
Ἡμεῖς δ' ὑπ' ἐχθρῶν οὐδενὸς πεπλήγμεθα.
ΕΚ. Σὺ δ' οὖν νόμιζε ταῦτ', ἐπείπερ σοι δοκεῖ.
ΟΙ. Ὦ γαῖα πατρὶς, πῶς ἂν ἐνθάνοιμί σοι!
ΕΚ. Μὴ θνῆσχ'. ἅλις γὰρ τῶν τεθνηκότων ὄχλος.
ΟΙ. Ποῖ δέ τράπωμαι, δεσποτῶν μονούμενος;
ΕΚ. Οἶκός σε κεύθων οὑμὸς, ἐξιάσεται.
ΟΙ. Καὶ πῶς μὲ κηδεύσουσιν αὐθεντῶν χέρες;
ΕΚ. Ὅδ' αὖ τὸν αὐτὸν μῦθον οὐ λήξει λέγων.
ΟΙ. Ὄλοιθ' ὁ δράσας! οὐ γὰρ ἐς σὲ τείνεται
Γλῶσσ', ὡς σὺ κομπεῖς. ἡ Δίκη δ' ἐπίσταται.
ΕΚ. Λάζυσθ'· ἄγοντες δ' αὐτὸν ἐς δόμους ἐμοὺς,
Οὕτως, ὅπως ἂν μὴ 'γκαλῇ, πορσύνετε·
Ὑμᾶς δ' ἰόντας, τοῖσιν ἐν τείχει χρεὼν
Πριάμῳ τε καὶ γέρουσι σημῆναι, νεκροὺς
Θάπτειν κελεύειν λεωφόρους πρὸς ἐκτροπάς·
ΧΟ. Τί ποτ' εὐτυχίας ἐκ τῆς μεγάλης
Τροίαν ἀνάγει πάλιν εἰς πένθη
Δαίμων ἄλλος, τί φυτεύων;
Ἔα, ἔα, ὢ, ὤ.
Τίς ὑπὲρ κεφαλῆς θεὸς, ὦ βασιλεῦ,
Τὸν νεόκμητον νεκρὸν ἐν χειροῖν
Φοράδην πέμπει;
Ταρβῶ, λεύσσων τόδε πῆμα.
ΜΟ. Ὁρᾶν πάρεστι, Τρῶες· ἡ γὰρ ἐν σοφοῖς
Τιμὰς ἔχουσα Μοῦσα, συγγόνων μία,

ΟΙ. Ἐγὼ μὲν οὓς λέγεις Ὀδυσσέας συνείρων, οὐκ οἶδα· ἓν δ' οἶδα μόνον, ὡς οὐχ ὑπ' ἐχθρῶν ἐσμὲν πεπονθότες.

ΕΚ Σοὶ μὲν οὖν, οὕτως ἔχετω ταῦθ' ὥσπερ αὐτὸς ἐθέλεις.

ΟΙ Ὦ γῆ πατρῴα, πῶς ἂν ἐν τοῖς σοῖς ἀποθάνοιμι κόλποις.

ΕΚ. Μὴ ζήτει θανεῖν· ἅλις τῶν τεθνεώτων.

ΟΙ. Ποῖ δὴ τράπωμαι, στερηθεὶς τοῦ δεσπότου;

ΕΚ. Εἰς οἶκον ἐλθὼν τὸν ἐμὸν, ἰαθήσῃ.

ΟΙ. Πῶς χεῖρες φονέων κηδεύσουσί με ἡδέως;

ΕΚ. Οὗτος οὐ λήξῃ τὸν αὐτὸν λέγων λόγον.

ΟΙ. Ὄλοιθ' ὁ ταῦθ' ἡμᾶς δράσας· οὐ μὴν δὲ πρός σε εἴρηταί μοι τοῦτο· ἐπεὶ οὕτω λέγεις· ἀλλ' ὃν σαφῶς ἐπίσταται ἡ δίκη.

ΕΚ. Λάβεθ' ὑμεῖς αὐτόν· καὶ ἀγαγόντες οἴκαδε παρ' ἐμοὶ, θεραπεύεθ' οὕτως, ὥστε μηδὲν ἔχειν καθ' ἡμῶν λέγειν· ὑμεῖς δ' αὖ ἰόντες εἰς τὴν πόλιν, εἴπατε πρὸς ἐμοῦ Πριάμῳ τε καὶ τοῖς ἄλλοις ἐκεῖ γέρουσι θάψαι τοὺς νεκροὺς πρὸς τῇ λεωφόρῳ.

ΧΟ. Τίς ἄρα δαίμων αὖθις ἐκ πολλῆς εὐτυχίας ἄγει Τροίαν πάλιν εἰς ἀντίρροπα πένθη, ἄλλα ἀντιμηχανώμενος κακά. Ἀλλὰ μεταξὺ λόγων, τί τοῦθ' ὁρῶ; τίς θεῶν ἐκεῖνος ἐν μετεώρῳ, τὸν πρόσφατον νεκρὸν οὕτω φοράδην πέμπει; ἴδ' αὐτὸς, ὦ βασιλεῦ, τήνδε συμφοράν. ἐγὼ δὲ τετάραγμαι ὅλως τὸ παράδοξον τοῦθ' ὁρῶν.

ΜΟ. Ὁρᾶθ' ὑμεῖς, ὦ Τρῶες; ἐγὼ γὰρ ἡ παρὰ σοφοῖς τιμωμένη ἀνδράσι μία τῶν Μουσῶν πάρειμι ὧδε, τὸν

871. Ἄγοντες δ' αὐτὸν] προστίθεταί μοι ὁ Δέ. 887. Ἔα, Ἔα] ἐνταῦθα ὁρῶν τὴν Τερψιχόρην ἐν τῷ ἀέρι φέρουσαν τὸν παῖδα Ῥῆσον νεκρὸν ἐν

Πάρειμι, παῖδα τόνδ' ὁρῶσ' οἰκτρῶς φίλον
Θανόνθ' ὑπ' ἐχθρῶν· ὅν ποθ' ὁ κτείνας χρόνῳ
Δόλιος Ὀδυσσεὺς ἀξίαν τίσει δίκην.
Ἰαλέμῳ αὐθιγενεῖ, (Στρ.)
Τέκνον, σ' ὀλοφύρομαι· ὦ
Ματρὸς ἄλγος, οἵαν
Ἔκελσας ὁδὸν ποτὶ Τροίαν,
Ἦ δυσδαίμονα καὶ μελέαν,
Ἀποπεμψαμένας ἐμοῦ, πορευθεὶς,
Ἀπὸ δ' ἀντομένου πατρὸς βιαίως.
Ὤμοι ἐγὼ σέθεν! ὦ φιλία
Φιλία κεφαλὰ, τέκνον, ὤμοι!

ΧΟ. Ὅσον προσήκει, μὴ γένους κοινωνίαν
Ἔχοντι, λύπῃ τὸν σὸν οἰκτείρω γόνον.

ΜΟ. Ὄλοιτο μὲν Οἰνεΐδας, (Ἀντ.)
Ὄλοιτο δὲ Λαρτιάδας,
Ὅς μ' ἄπαιδα γέννας
Ἔθηκεν ἀριστοτόκοιο·
Ἅ θ' Ἑλένα, προλιποῦσα δόμον,
Φρυγίων λεχέων ἔπλευσε πλαθεῖσ'
Ὑπ' Ἰλίῳ· ὤλεσε μέν σε κατὰ Τροίας
Φίλτατε, μυριάδας τε πόλεις
Ἀνδρῶν ἀγαθῶν ἐκένωσεν.
Ἦ πολλὰ μὲν ζῶν, πολλὰ δ' εἰς Ἅδου μολὼν,
Φιλάμμονος παῖ, τῆς ἐμῆς ἥψω φρενός·
Ὕβρις γὰρ, ἥ σ' ἔσφηλε, καὶ Μουσῶν ἔρις
Τεκεῖν μ' ἔθηκε τόνδε δύστηνον γόνον.

ἐμαυτῆς φίλον παῖδα τουτονὶ ὑπ' ἐχθρῶν ὁρῶσα ἐλεεινῶς ἀνῃρημένον· ὃν ὁ ἀποκτείνας αὐτὸν Ὀδυσσεύς, ἔςαι ὅτε ἀξίαν δώσει δίκην.

Ὦ τέκνον ἐμὸν, οἰκειακῷ σε θρήνῳ ὀλοφύρομαι σφόδρα· ὦ μητρὸς ἄλγος, οἵαν τὴν ἐς Τροίαν ἐβάδισας· ὡς δυστυχῆ καὶ ἀθλίαν εἵλου ἐκείνην, ἐμοῦ τε καὶ τοῦ πατρὸς ἰσχυρῶς κωλυόντων, ὁδόν· οἴμοι τῇ δυστήνῳ! οἴμοι σοῦ γ' ἕνεκα, τέκνον· ὦ φίλη, φιλτάτη μοι κεφαλή! οἴμοι, τέκνον.

Ο. Ἐγὼ, καί τοι μηδὲν προσήκω γένει, ἀλλ' οὖν οὐκ ἔχω μὴ τὸν σὸν οἰκτεῖραι παῖδα.

ΜΟ. Ὄλοιτο μὲν ὁ Τυδέως, ὄλοιτο δ' ὁ Λαέρτου· ὃς ἀρίστου με παιδὸς ἀπεστέρησεν· ὄλοιτο δ' Ἑλένη, ἡ προδοῦσα τὸν πρῶτον γάμον, ἐφ' ἕτερον Φρύγιον ἐς Ἴλιον ἔπλευσεν. Αὐτή σε, ὦ τέκνον αὐτή, σέ τε ἀπώλεσεν ἐν Τροίᾳ, καὶ ἄλλας μυρίας πόλεις ἀνδρῶν ἐρήμους κατέςησεν.

Ὦ παῖ Φιλάμμονος, ὡς πολὺ μὲν περιὼν, πολὺ δὲ καὶ ἐν ἄλλου γενόμενος, τῆς ἐμῆς καθήψω καρδίας· ἡ σὴ γὰρ ἀλαζονία, καὶ ἡ πρὸς τὰς Μούσας ἄκαιρος ἅμιλλα, ἧς δίκην τυγχάνεις δεδωκὼς, ἐποίησέ με τεκεῖν τὸν δυςυχῆ τοῦτον παῖδα· ἡνίκα γὰρ ἤλθομεν

---

ἀγκάλαις, ἐκπλήττεται. 903. Οἰνεΐδας] Οἰνεὺς, Οἰνέως. Οἰνεΐδας, καὶ διαλύσει Οἰνεΐδας· ἔστι δὲ πατρωνυμικὸν ἀπὸ πάππου· Οἰνεὺς, Τυδεὺς, Διομήδης· ὡς καὶ τὸ Λαερτίδας παρὰ τοῦ Λαέρτης· καὶ Λαερτιάδας καὶ συγκοπῇ Λαρτιάδης ἀπὸ τοῦ Λαέρτιος· δικατάληκτον γὰρ φέρεται καὶ παρ' Ὁμήρῳ. 913. Ἡ θ' Ἑλένα] ἡ συνθήκη οὕτω· Ἑλένα τε ὄλοιτο, ἣ . . . ἔπλευσε καὶ τ. λ. 914. Φιλάμμονος παῖ] Θάμυρις οὗτος, ὃς ἐρίσας πρὸς τὰς Μούσας περὶ μουσ

Περῶσα γὰρ δὴ ποταμίους διαῤῥοὰς,
Λέκτροις ἐπλάθην Στρυμόνος φυταλμίοις,
Ὅτ' ἤλθομεν γῆς χρυσόβωλον ἐς λέπας
Πάγγαιον, ὀργάνοισιν ἐξησκημέναι
Μοῦσαι, μεγίστην εἰς ἔριν μελῳδίας
Κείνῳ σοφιστῇ Θρηκὶ, κἀκτυφλώσαμεν
Θάμυριν, ὃς ἡμῶν πόλλ' ἐδέννασεν τέχνην.
Κἀπεὶ σε τίκτω, συγγόνους αἰδουμένη
Καὶ παρθενείαν, ἧκ' ἐς εὐύδρου πατρὸς
Δίνας· τρέφειν δ' ἐς οὐ βροτείαν ἐσχάραν
Στρυμὼν δίδωσιν, ἀλλὰ πηγαίαις κόραις.
Ἔνθ' ἐκτραφεὶς κάλλιστα παρθένων ὕπο,
Θρήκης ἀνάσσων πρῶτος ἦσθ' ἀνδρῶν, τέκνον.
Καί σ' ἀμφὶ γῆν μὲν πατρίαν φιλαιμάτους
Ἀλκὰς κορύσσοντ', οὐκ ἐδείμαινον θανεῖν.
Τροίας δ' ἀπηύδων ἄστυ μὴ κέλσαι ποτὲ,
Εἰδυῖα τὸν σὸν πότμον· ἀλλά σ' Ἕκτορος
Πρεσβεύμαθ', αἵ τε μυρίαι γερουσίαι
Ἔπεισαν ἐλθεῖν. κἀπικουρῆσαι φίλοις.
Καὶ τοῦδ', Ἀθάνα, παντὸς αἰτία μόρου
(Οὐδὲν δ' Ὀδυσσεὺς, οὐδ' ὁ Τυδέως τόκος
Ἔδρασε, δράσας·) μὴ δόκει λεληθέναι.
Καίτοι πόλιν σὴν σύγγονοι πρεσβεύομεν
Μοῦσαι μάλιστα, κἀπιχρώμεθα χθονὶ,
Μυστηρίων τε τῶν ἀποῤῥήτων φάνας
Ἔδειξεν Ὀρφεὺς, αὐτανέψιος νεκροῦ
Τοῦδ', ὃν κατακτείνεις σύ· Μουσαῖόν τε, σὸν

αἱ Μοῦσαι πᾶσαι εἰς τὸ χρυσοβῶλον Πάγγαιον ὄρος, εὖ μὲν ηὐτρεπισμέναι τὰ ὄργανα, μεγίστην δ᾽ ἐν μέλεσιν ἅμιλλαν πρὸς Θάμυριν ἐκεῖνον τὸν Θρᾶκα σοφιστὴν, ὃς τὴν ἡμῶν καθύβρισε τέχνην, ποιούμεναι, τότε δὴ ἐγὼ, δίκην ἐκείνου τῆς ἀκαίρου φιλοτιμίας δόντος, τὴν τῆς ὄψεως στέρησιν, τὸ τοῦ Στρυμόνος περῶσα ῥεῖθρον, καὶ ὡς ἔγγιστα τῆς ἐκείνου γονῆς γενομένη, ἔτεκόν σε, ὦ τέκνον· εἶτα αἰδουμένη τὰς ἀδελφὰς καὶ τὴν παρθενιαν, ἔπεμψά σε ἀνατραφησόμενον παρὰ τῷ πατρί· ὁ δὲ ἀπαξιώσας ἐμπιστεῦσαι τὴν σὴν ἀνατροφὴν ἀνθρώπῳ θνητῷ, ἔδωκέ σε ταῖς τῶν πηγῶν Νύμφαις παρθένοις οὔσαις· ὑφ᾽ ὧν ἀνατραφεὶς ὡς κάλλιστα, τῆς φιλοπολέμου βασιλεύειν ἠξίωσαι Θρᾴκης· κἀνταῦθα περὶ τὴν πατρῴαν γῆν τὸν σαυτοῦ ἀσκοῦντα βραχίονα, οὐχ ὑπώπτευον θανεῖν· ἐς δὲ Τροίαν ἀπηγόρευον ἀφικέσθαι, τὴν σὴν τύχην ἐπισταμένη· ἀλλὰ ταῖς συνεχέσι παρ᾽ Ἕκτορος καὶ τῆς Γερουσίας πρεσβείαις πεισθεὶς, ἦλθες ἐπικουρῆσαι φίλοις. Ἀλλ᾽ οὔτ᾽ Ὀδυσσεὺς, οὔτε Διομήδης ταῦτα δεδράκασιν· ἀλλὰ σὺ, ὦ Ἀθηνᾶ, μεμηχάνησαι πάντα· μηδὲ νόμιζε λεληθέναι με· καί τοι ἡμεῖς αἱ Μοῦσαι, τῇ σῇ πόλει ἐμφιλοχωροῦσαι, ὡς μάλιστα τιμῶμεν αὐτήν· τῶν τε μυστηρίων τὴν τελετὴν πρῶτος Ὀρφεὺς ὁ τοῦ νεκροῦ τούτου ἀνεψιὸς, ἐξεδίδαξεν ὃν αὐτὴ ἀγαπητῶς ἀπέκτεινας. Μουσαῖόν τ᾽

---

σικῆς, καὶ ἡττηθεὶς ἐξωμμάτωται. 939. Κἀπιχωρώμεθα χθονὶ] ἡδέως ἐν τῇ γῇ διατρίβομεν ταύτῃ· ἐν ἄλλοις, δὲ, Ἀντιχωρώμεθα κεῖται. 941. Αὐτανέψιος] Ὀρφεὺς γὰρ παῖς ἦν Καλλιόπης ἀδελφῆς Τερψιχόρας, ἧς παῖς ἦν Ῥῆσος. ὁ δὲ Μου-

Σεμνὸν πολίτην, κἀπὶ πλεῖστον ἄνδρ' ἕνα
Ἐλθόντα, Φοῖβος, σύγγονοί τ' ἠσκήσαμεν.
Καὶ τῶνδε μισθὸν παῖδ' ἔχουσ' ἐν ἀγκάλαις,
Θρηνῶ· σοφιστὴν δ' ἄλλον οὐκ ἐπάξομαι.

ΧΟ. Μάτην ἄρ' ἡμᾶς Θρήκιος τροχηλάτης
Ἐδέννασ', Ἕκτορ, τῷδε βουλεῦσαι φόνον.

ΕΚ. Ἤδειν τάδ'· οὐδὲν μάντεως ἔδει φράσαι
Ὀδυσσέως τέχναισι τόνδ' ὀλωλότα.
Ἐγὼ δὲ γῆς ἔφεδρον Ἑλλήνων στρατὸν
Λεύσσων, τί μὴ ἔμελλον οὐ πέμψειν φίλοις
Κήρυκας, ἐλθεῖν κἀπικουρῆσαι χθονί;
Ἔπεμψ'· ὀφείλων δ', ἦλθε συμπονεῖν ἐμοί.
Οὐ μὴν θανόντι γ' οὐδαμῶς συνήδομαι.
Καὶ νῦν ἕτοιμος τῷδε καὶ τεῦξαι τάφον,
Καὶ ξυμπυρῶσαι μυρίων πέπλων χλιδήν·
Φίλος γὰρ ἐλθὼν, δυστυχῶς ἀπέρχεται.

ΜΟ. Οὐκ εἶσι γαίας ἐς μελάγχιμον πέδον·
Τοσόνδε Νύμφην τὴν ἔνερθ' αἰτήσομαι
Τῆς καρποποιοῦ παῖδα Δήμητρος θεᾶς,
Ψυχὴν ἀνεῖναι τοῦδ'. ὀφειλέτις δέ μοι
Τοὺς Ὀρφέως τιμῶσα φαίνεσθαι φίλους.
Κἀμοὶ μὲν ὡς θανών τε, κοὐ λεύσσων φάος,
Ἔσται τὸ λοιπόν· οὐ γὰρ ἐς ταὐτόν ποτε
Οὔτ' εἶσιν οὔτε μητρὸς ὄψεται δέμας.
Κρυπτὸς δ' ἐν ἄντροις τῆσδ' ὑπαργύρου χθονὸς
Ἀνθρωποδαίμων κείσεται βλέπων φάος,

---

σαῖος, Θρᾷξ μὲν ἦν τὸ γένος, κατῴκει δ' ἐν Ἀθήναις. 946. Σοφιστὴν] Θάμυριν δ' ἴσως αἰνίττεται. 954. Ὀφείλων] ἴδ' ἀνωτέρω στίχ. 407. καὶ ἑξῆς. 963. Ὀρφέως φίλους] ὅτι πρῶτον Δήμητραν καὶ Περσεφόνην Ὀρφεὺς ἐδίδαξε

αὐτὸν, οὗ λόγος παρὰ πᾶσι πολὺς, ἡμεῖς σὺν τῷ ἀδελφῷ ἐξεπαιδεύσαμεν Φοίβῳ τὸν δ᾽ ἕτερον σοφιςὴν τούτοις οὐ συναριθμήσω· ἀλλὰ τούτων ἁπάντων τοιαύτην χάριν παρὰ σοῦ ἀπολαμβάνω, τὸν νεκρὸν τοῦτον ἐν ἀγκάλαις φέρουσα θρηνεῖν.

ΧΟ. Μάτην ἄρ᾽, ὦ Ἕκτορ, ᾐτιάσαθ᾽ ἡμᾶς ὁ Θρᾶξ ἐκεῖνος ἁρματηλάτης, ὡς αὐτοὺς συῤῥάψαντας τὸν φόνον τούτῳ·

ΕΚ. Τοῦτο μὲν ᾔδειν ἔγωγε, κοὐδενός μοι μάντεως ἔδει φράσαι, ὅτι μηχαναῖς Ὀδυσσέως ταῦτα τετύρευται. Ἐγὼ μὲν οὖν, ὁρῶν τοὺς Ἕλληνας πολλῷ πλήθει τὸν χῶρον κατέχοντας τοῦτον, τί οὐκ ἔμελλον πρεσβεύεσθαι πρὸς φίλους, βοηθείας δεόμενος; ὁ δὲ ὑπακούσας ἦλθε, προοφείλων οὐ μικρὸν ἐμὲ ὠφελῆσαι. οὐ μὴν θανόντι αὐτῷ ἐφήδομαι, ὡς ἂν εἴποι τις ἀγνοῶν· ἀλλ᾽ ἕτοιμός εἰμι καὶ τάφον αὐτῷ χῶσαι, κἀπὶ τῆς πυρᾶς πολυτελῆ καὶ ἄφθονον συναναλῶσαι ἐσθῆτα· φίλος γὰρ ἐλθὼν, ἐπανέρχεται, ὡς μὴ ὤφειλεν.

ΜΟ. Οὑμὸς παῖς τὸ τῆς γῆς ζοφῶδες οὐδέποτ᾽ ὑποδύσεται· αἰτήσομαι γὰρ τὴν κάτω Νύμφην, τὴν τῆς καρπογόνου Δήμητρος θυγατέρα τοσόνδε μόνον, ἀναπέμψαι τὴν ψυχὴν τούτου πάλιν· ὀφείλει γὰρ ἐκείνη τιμᾶν τοὺς τοῦ Ὀρφέως φίλους· ὁ δὲ, ἐμοὶ μὲν, ὥσπερ ἀποθανὼν ἔσται καὶ τοῦ λοιποῦ, κοὐκέτι τὸ φῶς τουτὶ τοῦ ἡλίου ὀψόμενος· οὐκέτι γὰρ εἰς ταὐτὸν ἐμοὶ ἥξει, οὐδ᾽ ὄψεταί ποτε τὴν ἑαυτοῦ μητέρα· εἰς δὲ τὰ ἄντρα τῆς ὑπαργύρου ἐκείνης χθονὸς ὑποδὺς, κείσεται αὐτόθι, τὴν τῶν ἡμιθέων μεταλαβὼν ζωὴν, ἀφοσιωθεὶς Βάκχῳ· ὃν οἵγ᾽

τὰ μυςήρια· ὀφείλει τοίνυν ἡ Περσεφόνη τιμᾶν τὰς Μούσας, φίλας Ὀρφέως

Βάκχου προφήτης, ὅς τε Παγγαίου πέτραν
Ὤκησε σεμνὸς τοῖσιν εἰδόσιν θεός.
Βαιὸν δὲ πένθος τῆς θαλασσίας θεοῦ
Οἴσω· θανεῖν γὰρ καὶ τὸν ἐκ κείνης χρεών.
Θρήνοις δ' ἀδελφαὶ πρῶτα μὲν σ' ὑμνήσομεν,
Ἔπειτ' Ἀχιλλέα Θέτιδος ἐν πένθει ποτέ.
Οὐ ῥύσεταί νιν Παλλὰς, ἥ σ' ἀπέκτανεν.
Τοῖον φαρέτρα Λοξίου σώζει βέλος.
Ὦ παιδοποιοὶ συμφοραὶ, πόνοι βροτῶν!
Ὡς, ὅστις ὑμᾶς μὴ κακῶς λογίζεται,
Ἄπαις διοίσει, κοὐ τεκὼν θάψει τέκνα.
ΧΟ. Οὗτος μὲν ἤδη μητρὶ κηδεύειν μέλει.
Σὺ δ' εἴ τι πράσσειν τῶν προκειμένων θέλεις,
Ἕκτορ, πάρεστι· φῶς γὰρ ἡμέρας τόδε.
ΕΚ. Χωρεῖτε, συμμάχους τ' ὁπλίζεσθαι τάχος
Ἄνωχθε· πληροῦτ' αὐχένας ξυνωρίδων.
Πανοὺς δ' ἔχοντας, χρὴ μένειν Τυρσηνικῆς
Σάλπιγγος αὐδήν· ὡς ὑπερβάλλων στρατὸν
Τείχη τ' Ἀχαιῶν, ναυσὶν αἶθον ἐμβαλεῖν
Πέποιθα, Τρωσί θ' ἡμέραν ἐλευθέραν
Ἀκτῖνα τὴν στείχουσαν ἡλίου φέρειν.
ΧΟ. Πείθου βασιλεῖ· στείχωμεν ὅπλοις
Κοσμησάμενοι, καὶ ξυμμαχίᾳ
Τάδε φράζωμεν· τάχα δ' ἂν νίκην
Δοίη δαίμων ὁ μεθ' ἡμῶν.

---

οὔσας. χάριν ἐκείνῳ φέρουσα. 971. Βαιὸν δὲ] μετὰ μικρὸν χρόνον.
982. Πανοὺς] πυρσοὺς, φανοὺς φασὶν εἶναι τοὺς πανούς· ἐγὼ δ' οὐκ οἶδ' ἔτι

εἰδότες ὡς μέγα θεὸν τιμῶσιν ἐπὶ τῆς τοῦ Παγγαίου πέτρας· μετὰ δὲ μικρὸν συνθρηνήσω τῇ Νηρηΐδι· χρεὼν γὰρ κἀκείνης τὸν παῖδα ἀπολέσθαι. πρῶτον μὲν οὖν ἡμεῖς αἱ ἀδελφαὶ θρηνήσομέν σε πᾶσαι· ἔπειτα δ' Ἀχιλλέα τὸν τῆς Θέτιδος οὐ μετὰ πολὺν χρόνον· ὃ γὰρ Λοξίας ἐν φαρέτρᾳ ἤσκησεν αὐτῷ βέλος, τοῦθ' ἡ Παλλάς, ἡ σὲ ἀπολέσασα, οὐκ ἂν ἀποστήσειεν ἐκείνου, παρεκτρέψασα ἄλλοσε. Ὦ συμφοραὶ καὶ πόνοι βροτῶν ἐκ τεκνογονίας! ὃς ἂν ἐκείνων ὑμᾶς καλῶς γινώσκῃ, οὗτός γ' ἥδιστ' ἂν διαβιώσειεν ἄπαις· μὴ γὰρ γεννήσας, οὐδέποτε θάψει παῖδας.

**ΧΟ.** Τοῦτον μὲν οὖν μητρὶ μέλει κηδεύειν· σὺ δέ, ὦ Ἕκτορ, εἴτι κελεύεις τῶν παραπόδας ἡμῖν ἐπιμεληθῆναι, λέγε νῦν· ἡ γὰρ ἡμέρα ὑπομειδιᾷ.

**ΕΚ.** Χορεῖθ' ὡς τάχος, ἐροῦντες τοῖς συμμάχοις, αὐτούς τε τὰ ὅπλα περιθέσθαι, καὶ τοὺς ἵππους ἔχειν ὑπεζευγμένους· χρὴ δὲ πονοῦντας περιμένειν τῆς σάλπιγγος ἀκοῦσαι· ἐλπίζω γὰρ τήμερον, τὰ τῶν ἐχθρῶν τείχη ὑπερβαλών, τάς τε ναῦς πυρπολήσειν, καὶ Τροίαν ἐν τῇ αὐτῇ τροχιᾷ τοῦ ἡλίου ἐλευθέραν καταστήσειν.

**ΧΟ.** Χωρῶμεν παρὰ τὰ ὅπλα, πειθόμενοι τῷ ἡγεμόνι, ἐροῦντες τοῖς συμμάχοις τὰ προστεταγμένα· τάχα γὰρ ἂν σὺν θεῷ τῷ μεθ' ἡμῶν νικῷμεν.

---

βούλονται ἐνταῦθα οἱ πυρσοί· εἰ μή τι εἴποι τις πρὸς τὸ κατακαῦσαι τὰς ναῦς· ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται, πόνους ἔχοντας· κατὰ τοῦτο μοι οὖν παραπέφρασται. περὶ δὲ τῆς Τυῤῥηνικῆς σάλπιγγος ἴδε Φοιν. στίχ. 1392. 987. Αἶθον] πῦρ. 988. Τὴν στείχουσαν] καὶ πέποιθα, φησίν, ὅτι ἡ τήμερον στείχουσα ἀκτὶς τοῦ ἡλίου, οἴσει ἐλευθέραν ἡμέραν Τρωσί.

# ἙΛΕΝΗ.

# ΥΠΟΘΕΣΙΣ.

ἩΡΟΔΟΤΟΣ Ἀλικαρνασεὺς ἱστορεῖ περὶ Ἑλένης, καὶ φησὶν ἐλθεῖν μὲν αὐτὴν εἰς Αἴγυπτον, καὶ τοῦτο φάσκειν καὶ τὸν Ὅμηρον, ποιοῦντα τὴν Ἑλένην παρέχειν τῷ Τηλεμάχῳ ἐν Ὀδυσσείᾳ τὸ λαθικηδὲς φάρμακον, τό οἱ πόρε Πολύδαμνα Θόωνος παράκοιτις, (Ὀδ. δ'. 228.) οὐ μὴν δὲ οὕτως, ὡς Εὐριπίδης φησίν. οἱ μὲν γὰρ πλανωμένην φασὶν αὐτὴν μετὰ τοῦ Μενελάου μετὰ τὴν τῆς Ἰλίου πόρθησιν καὶ εἰς Αἴγυπτον παραγενέσθαι, κἀκεῖθεν πεπορίσθαι τὰ φάρμακα· ὁ δὲ τὴν μὲν ἀληθῶς Ἑλένην φησὶ μηδ' ὁποσοῦν ἐλθεῖν εἰς Τροίαν, τὸ εἴδωλον δὲ αὐτῆς· κλέψας γὰρ αὐτὴν ὁ Ἑρμῆς Ἥρας βουλῇ Πρωτεῖ τῷ βασιλεῖ τῆς Αἰγύπτου φυλάττειν παρέδωκε· τούτου δὲ θανόντος, ὁ υἱὸς αὐτοῦ Θεοκλύμενος ἐπειρᾶτο γαμεῖν αὐτήν· ἡ δὲ ἱκέτις παρεκάθητο τῷ τοῦ Πρωτέως μνημείῳ, ὅθεν αὐτῇ ἐπιφαίνεται Μενέλεως, τὰς μὲν ναῦς ἐν τῇ θαλάσσῃ ἀπολέσας, ὀλίγους δέ τινας τῶν ἑταίρων ἐν ἄντρῳ καθειργμένους σώζων. εἰς λόγους δὲ ἐλθόντες καὶ μηχανοῤῥαφήσαντες, ἀπατῶσι μὲν τὸν Θεοκλύμενον, αὐτοὶ δὲ νηῒ ἐμβάντες, ὡς δὴ τῷ Μενέλεῳ θανόντι κατὰ θάλατταν θύσοντες, εἰς τὴν ἰδίαν διασώζονται.

## ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΕΛΕΝΗ.
ΤΕΥΚΡΟΣ.
ΧΟΡΟΣ.
ΜΕΝΕΛΑΟΣ.
ΓΡΑΥΣ.
ΑΓΓΕΛΟΣ.
ΘΕΟΝΟΗ.
ΘΕΟΚΛΥΜΕΝΟΣ.
[ΕΤΕΡΟΣ ΑΓΓΕΛΟΣ]
ΔΙΟΣΚΟΥΡΟΙ.

Προλογίζει δὲ ἡ Ἑλένη.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ
ΒΙΒΛΙΟΘΗΚΗ

# ΕΛΕΝΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΕΛΕΝΗ, ΤΕΥΚΡΟΣ, ΧΟΡΟΣ.

ΕΛ. ΝΕΙΛΟΥ μὲν αἵδε καλλιπάρθενοι ῥοαὶ,
ὃς ἀντὶ δίας ψεκάδος Αἰγύπτου πέδον,
Λευκῆς τακείσης χιόνος, ὑγραίνει γύας.
Πρωτεὺς δ', ὅτ' ἔζη, τῆσδε γῆς τύραννος ἦν,
Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ' ἄναξ,
ὃς τῶν κατ' οἶδμα παρθένων μίαν γαμεῖ,

1. Καλλιπάρθενοι] ἀπὸ τῶν Νυμφῶν μετονόμασε καὶ τὰς ῥοὰς παρθένους· τὸ δὲ γύας ἐπεξήγησις ἂν εἴη τοῦ πέδον. 5. Φάρον νῆσον] νῆσος μέν ποτε, νῦν δὲ, τοῦ ποταμοῦ πολλῇ προσχώσαντος ἰλύϊ, συνέζευκται τῇ χέρσῳ· Περὶ ἧς καὶ Ὅμηρος. Ὀδυσ. Δ. ςίχ. 354.

» Νῆσος ἔπειτά τίς ἐστι πολυκλύςῳ ἐνὶ πόντῳ,
» Αἰγύπτου προπάροιθε· Φάρον δὲ ἑ κικλήσκουσι.

Καὶ περὶ Πρωτέως ὁ αὐτος αὐτόθι ςίχ. 365.

» Πρωτέος Ἰφθίμου θυγάτηρ ἁλίοιο γέροντος.

Περὶ οὗ Εὐστάθιος. Περὶ δὲ Πρωτέως ἱστορηται, ὅτι ἀνήρ τις ἦν Μεμφίτης, ᾧ

# ΕΛΕΝΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΕΛΕΝΗ, ΤΕΥΚΡΟΣ, ΧΟΡΟΣ.

ΕΛ. Αἱ μὲν καλλιπάρθενοι αὗται Νύμφαι τὰ τοῦ Νείλου ῥεῖθρά εἰσιν, ὃς τῇ τῆς χιόνος τήξει ἄνωθεν αὐξόμενος, ἀνασκιρτᾷ, καὶ ἐξανιστάμενος τῶν ὀχθῶν, ἀντὶ ὄμβρου τοῦ διόθεν ἐπιγιγνομένου, τὰς τῆς Αἰγύπτου ἀρδεύει ἀρούρας· τύραννος δὲ τῆς χώρας Πρωτεὺς ἦν ποτε, ὅτε ἦν ἐν τοῖς ζῶσιν, κατοικῶν μὲν τὴν νῆσον Φάρον, κρατῶν δὲ πάσης Αἰγύπτου· ὃς Ψαμάθην τὴν Νηρέως, μίαν τῶν νυμφῶν τῆς θαλάσσης, καταλιποῦσαν, ᾧ συ-

κατὰ Ἑλλήνων γλῶσαν ὄνομα ἦν Πρωτεύς· οὗ καὶ τέμενος ἐν Μέμφῃ κατὰ Ἡρόδοτον κάρτα καλὸν, καὶ εὖ ἐσκευασμένον· ὅτι δὲ ὁ προῤῥηθεὶς Θόων φύλαξ ἦν τοῦ Κανωβικοῦ στόματος, ἀνήνεγκεν εἰς τοῦτον τὸν Πρωτέα τὴν ἀδικίαν τοῦ ἅρπαγος Πάριδος, καὶ ὡς ἀφῃρέθη τότε τὴν Ἑλένην ἐκεῖνος, καὶ ὡς ἀρέσκονται οἱ πλείους μὴ εἶναι τὴν Ἑλένην ἐν Τροίᾳ. 6. Τῶν κατ' εἶδμα παρθένων] τῶν Νηρηΐδων. Αἴολος δὲ μυθεύεται θεὸς εἶναι τῶν ἀνέμων, ἐν νήσῳ παρὰ τῇ Σικελίᾳ οἰκῶν· καίτοι ἐν ἄλλοις ἀντὶ Αἰόλου γράφεται Αἰακοῦ.

Ψαμάθην, ἐπειδὴ λέκτρ' ἀφῆκεν Αἰόλου.
Τίκτει δὲ τέκνα δισσὰ τοῖσδε δώμασιν,
Θεοκλύμενον μὲν ἄρσεν', ὅτι δὴ θεοὺς σέβων
Βίον διήνεγκ', εὐγενῆ τε παρθένον
Εἰδὼ, τὸ μητρὸς ἀγλάϊσμ', ὅτ' ἦν βρέφος·
Ἐπεὶ δ' ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
Καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ,
Τα τ' ὄντα καὶ μέλλοντα πάντ' ἠπίστατο,
Προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
Ἡμῖν δὲ γῆν μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
Λόγος τις, ὡς Ζεὺς μητέρ' ἔπτατ' ἐς ἐμὴν
Λήδαν, κύκνου μορφώματ' ὄρνιθος λαβὼν,
Ὃς δόλιον εὐνὴν ἐξέπραξ' ὑπ' αἰετοῦ
Δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος.
Ἑλένη δ' ἐκλήθην· ἃ δὲ πεπόνθαμεν κακὰ,
Λέγοιμ' ἄν· ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν' Ἀλέξανδρον πάρα,
Ἥρα, Κύπρις τε, Διογενής τε παρθένος,
Μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
Τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχὲς,
Κύπρις προτείνασ', ὡς Ἀλέξανδρος γαμεῖ,
Νικᾷ· λιπὼν δὲ βούσταθμ' Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ', ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ', οὕνεκ' οὐ νικᾷ θεὰς,

---

10. Εἰδὼ] οὕτως ἐξ ἄλλων ἀντὶ τοῦ Εἰδώς. 20. Δόλιον εὐνὴν] ἴδε Ἰφιγ. Αὐλ. στίχ. 800.

νέζευκτο πρότερον, Αἴολον, γήμας, ἐγέννησεν ἐξ αὐτῆς παῖδας δύο, ἄρσεν καὶ θῆλυ· τὸν μὲν, παρὰ τὸ τοὺς θεοὺς διατελέσαι σεβόμενον, καλούμενον Θεοκλύμενον. τὴν δὲ, εὐγενῆ παρθένον τὸ μέγιςον τῇ μητρὶ γενομένην ἀγλάϊσμα· ἣν βρέφος μὲν ἔτι οὖσαν, Εἰδώ· εἰς ὥραν δὲ ἤδη προήκουσαν, Θεονόην προσαγορεύουσιν· οἶδε γὰρ τὰ θεῖα ἐξεπισταμένη, τά τ᾽ ὄντα, καὶ τὰ ἐσόμενα, παρὰ Νηρέως παραλαβοῦσα τὸ γέρας τοῦτο. Ἀλλ᾽ οὐχ ἧττον ἔξεστι κἀμοὶ ἐπαίρεσθαι εὐγενείᾳ· ἡ πατρὶς μέν ἐστιν ἡ Σπάρτη, μέγιστον ἔχουσα κλέος, πατὴρ δὲ Τυνδάρεως· πολὺς δὲ καὶ τοιοῦτός τις λόγος τοῖς τῶν ἀνθρώπων στόμασι ῥεῖ, ὡς ὁ Ζεὺς κύκνου μορφὴν περικείμενος ἔξωθεν, εἰς τὰς τῆς ἐμῆς μητρὸς ἀγκάλας κατέφυγεν· οὕτω γὰρ προσποιησάμενος ἀετὸν διώκοντα φεύγειν, τὴν ὁμιλίαν σὺν δόλῳ κατέπραξεν, εἰ ἀληθῆ λέγεται ταῦτα. Ἐγὼ δὲ καλοῦμαι Ἑλένη, ἡ μεγίςαις συμφοραῖς περιπέσουσα γυνή· τρεῖς γὰρ θεαὶ ὁμοῦ Ἥρα, Ἀθηνᾶ, καὶ Ἀφροδίτη, περὶ κάλλους πρὸς ἀλλήλας διαμιλλώμεναι, παρεγένοντο πρὸς Ἀλέξανδρον παρὰ τὰς τῆς Ἴδης κοιλάδας, κριθῆναι παρ᾽ αὐτοῦ ἀξιοῦσαι, ἥτις αὐτῶν εἴη καλλίων. Ἀφροδίτη δὲ, τοὐμὸν εἰς γάμον Ἀλεξάνδρῳ προτείνασα κάλλος (εἰ δεῖ καλὸν εἰπεῖν, ὃ μέγιστον ἔμοιγε δυςύχημα γέγονεν) ἐκράτησε, λαβοῦσα τὸ καλλιστεῖον· ἐντεῦθεν ἄρα Πάρις, καταλιπὼν τοὺς ἐν Ἴδῃ σταθμοὺς, ἀφίκετο εἰς Σπάρτην, τὸν ἐμὸν θησόμενος γάμον· ἀλλ᾽ ἡ Ἥρα πάθει δουλεύουσα, ἐφ᾽ ᾧ οὐκ ἐνίκησε τὰς ἄλλας θεὰς, ἐμα-

Ἐξηνέμωσε τἄμ' Ἀλεξάνδρῳ λέχη,
Δίδωσι δ' οὐκ ἔμ', ἀλλ' ὁμοιώσασ' ἐμοὶ
Εἴδωλον ἔμπνουν, οὐρανοῦ ξυνθεῖσ' ὕπο,
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ' ἔχειν,
Κενὴν δόκησιν, οὐκ ἔχων· τὰ δ' αὖ Διὸς
Βουλεύματ' ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
Πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
Καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
Πλήθους τε κουφίσειε μητέρα χθόνα,
Γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ' ἐς ἀλκὴν προὐθέμην (ἐγὼ μὲν οὔ,
Τὸ δ' ὄνομα τοὐμὸν) ἆθλον Ἕλλησιν δορός.
Λαβὼν δέ μ' Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος,
Νεφέλῃ καλύψας, (οὐ γὰρ ἠμέλησέ μου
Ζεὺς,) τόνδ' ἐς οἶκον Πρωτέως ἱδρύσατο,
Πάντων προκρίνας σωφρονέστατον βροτῶν,
Ἀκέραιον, ὡς σώσαιμι Μενέλεῳ λέχος.
Κἀγὼ μὲν ἐνθάδ' εἴμ', ὁ δ' ἄθλιος πόσις,
Στράτευμ' ἀθροίσας, τὰς ἐμὰς ἀναρπαγὰς
Θηρᾷ, πορευθεὶς Ἰλίου πυργώματα·
Ψυχαὶ δὲ πολλαὶ δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
Ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ' ἐγὼ
Κατάρατός εἰμι, καὶ δοκῶ, προδοῦσ' ἐμὸν
Πόσιν, συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
Τί δῆτ' ἔτι ζῶ; θεοῦ τόδ' εἰσήκουσ' ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρὶ, γνόντος, ὡς ἐς Ἴλιον
Οὐκ ἦλθον, ἵνα μὴ λέκτρ' ὑποστρώσω τινί.

ρήσατο ἀγχόνῃ· ὁ δ' ἐμὸς ἀνὴρ διὰ χρόνου ἐν πολλοῖς διαύλοις κυμάτων φερόμενος, τελευτῶν ἀπώλετο ἐν αὐτοῖς καὶ ἡ ξυνωρὶς τῶν ἐμῶν ἀδελφῶν, τοῦτο δὴ τὸ διττὸν τῆς πατρίδος ἀγλάϊσμά τε καὶ σέμνωμα, τὰ ἱππήλατα καταλιπόντες πεδία, καὶ τὰ τοῦ δονακοφόρου Εὐρώτα γυμνάσια, ταῦτα δὴ τὰ τῶν νέων μελετήματα καὶ ἀσκήματα, ἐγένοντο ἀφανεῖς.

ΧΟ. Αἶ, αἶ, αἶ, αἶ Ὦ δαίμονος ἀλάστορος, καὶ τύχης τῆς σῆς, ὦ γύναι, τίς συντυχίασοι συνήντησε δύστηνος; τίς καιρὸς δυστυχὴς ἔλαχε τόθ', ἡνίχ' ὁ Ζεὺς λευκὸν κύκνου πτέρωμα περιβεβλημένος, καὶ τῇ σῇ μητρὶ ἐπιπτὰς εὐπρεπῶς διὰ τοῦ αἰθέρος, οὕτω σε κακοδαίμονα ἔτεκε· τίς γὰρ δυστυχία εἴη ἂν, ἧς αὐτὴ οὐκ εἴληφας πεῖραν; τίνα δὲ βίου μεταβολὴν οὐχ ὑπήνεγκας; οὐχ ἡ μήτηρ κατέστρεψεν; οὐχ οἱ παῖδες τοῦ Διὸς κακοδαιμονοῦσι; σὺ δ' οὐχὶ τῆς πατρῴας γῆς ἀπεσχοίνισαι; πρὸς δὲ τούτοις καὶ λόγος ἐκεῖνος συχνὸς ὡς διὰ πολλῶν στομάτων ἐκφέρεται, ὅτι βαρβάρῳ, ὦ πότνια σὺ, ἁρμοσθήσῃ ἀνδρὶ, τοῦ σοῦ ἐκείνου ἀνδρὸς οὐκ οἶδ' ὅπῃ ἀπαλλάξαντος ἐν τοῖς κύμασι, κοὐδέποτε πατρῷον οἶκον ὄψει, οὐδὲ τὴν χαλκίοικον Ἀθηνᾶν ἐξυμνήσεις.

---

228. Χαλκίοικον] Ἀθηνᾶν· ἦν γὰρ ἐν Σπάρτῃ ναὸς Ἀθηνᾶς Χαλκιοίκου, Τυνδάρεω ἀρξαμένου, ὥς φασι, τῆς κατασκευῆς· Παυσανίας δὲ (ἐν Φωκ. σελ. 321 περὶ τοῦ ναοῦ λέγων, τὰ δὲ εἰς τὸν τρίτον, φησι, τῶν ναῶν, ὅτι ἐγένοντο ἐκ χαλκοῦ, θαῦμα οὐδέν· εἴγε Ἀκρίσιος μὲν θάλαμον χαλκοῦν τῇ θυγατρὶ ἐποιήσατο· Λακεδαιμονίοις δὲ Ἀθηνᾶς ἱερὸν Χαλκιοίκου καὶ εἰς ἡμᾶς ἔτι λείπεται.

ΕΛ. Φεῦ φεῦ! τίς ἦν Φρυγῶν; (Ἐπῳδ.)
Ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς
Ἔτεμε τὰν δακρυόεσσαν Ἰλίῳ
Πεύκαν; ἔνθεν ὀλόμενον
Σκάφος συναρμόσας
Ὁ Πριαμίδας, ἔπλευσε βαρβάρῳ πλάτᾳ
Τὰν ἐμὰν ἐφ' ἑστίαν,
Ἐπὶ τὸ δυστυχὲς
Κάλλος, ὡς ἕλοι γάμον ἐμόν.
Ἁ δὲ δόλιος, ἁ πολύκτονος Κύπρις,
Δαναΐδαις ἄγουσα θάνατον Παιαμίδαις τε.
Ὦ τάλαινα συμφορᾶς!
Ἁ δὲ χρυσέοις θρόνοις
Διὸς ὑπαγκάλισμα σεμνὸν Ἥρα,
Τὸν ὠκύπουν ἔπεμψε Μαιάδος γόνον,
Ὅς με, χλοερὰ δρεπομέναν ἔσω πέπλων
Ῥόδεα πέταλα, χαλκίοικον ὡς Ἀθάναν
Μόλοιμ', ἀναρπάσας δι' αἰθέρος
Τάνδε γαῖαν εἰς ἄνολβον,
Ἔριν, ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος.
Τὸ δ' ἐμὸν ὄνομα παρὰ Σιμουντίοις ῥοαῖσι
Μαψίδιον ἔχει φάτιν.

ΧΟ. Ἔχεις μὲν ἀλγείν', οἶδα· συμφέρον δέ σοι
Ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν.

ΕΛ. Φίλαι γυναῖκες, τίνι πότμῳ συνεζύγην;
Ἆρ' ἡ τεκοῦσά μ' ἔτεκεν ἀνθρώποις τέρας;
Γυνὴ γὰρ οὔθ' Ἑλληνίς, οὔτε βάρβαρος

ἀκήρατά μοι ἦν τὰ περὶ τὴν εὐνήν· ἐπειδὴ δὲ ἀπηλλάγη ἐκεῖνος τῶν τῇδε, ὁ παῖς αὐτοῦ δεινῷ σχεθεὶς ἔρωτι, διώκει με ἀπαραιτήτῳ σπουδῇ, εἰς γάμον με συναρμόσασθαι πολλὴν ποιούμενος προθυμίαν· διὸ τὴν πρὸς τὴν εἰς τὸν ἐμαυτῆς ἄνδρα πίστιν πρὸ παντὸς τιθεμένη, πρὸς τῷ τάφῳ τοῦ Πρωτέως τῳδὶ ἱκέτις καθέζομαι, ἵν' ἀμώμητον τῷ ἀνδρὶ ἐκείνῳ τὴν εὐνὴν διασώσω· δεῖ γὰρ δὴ, τοῦ ἐμοῦ ὀνόματος πολλῆς δυσκλείας τυχόντος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα, τόγ' ἐμὸν σῶμα ἐνταῦθα ἀμόλυντον διατηρηθῆναι.

**ΤΕ.** Τίνι ποτὲ τὸ μέγα τοῦτό προσήκει Ἀνάκτορον; εὐδαίμονος γὰρ τοῦτ' ἀνδρός ἐστιν, ὡς εἰκάσαι· τά τε γὰρ ἔπιπλα βασιλικά τε καὶ μεγαλοπρεπῆ, καὶ αἱ καθέδραι εὔθριγγοι πέριξ, καὶ πάντ' ἐς κάλλος ἠσκημένα κύκλῳ. Ἀλλὰ μεταξὺ λόγων τί τοῦθ' ὁρῶ; ὦ θεοί! τίνος τὸ πρόσωπον τοῦτο; ἐχθίστης γυναικὸς δοκῶ μοι ὁρᾶν εἰκόνα, δι' ἣν ἀπώλομαι ὅλως, ἐγώ τε καὶ σὺν ἐμοὶ πάντες Ἕλληνες. Ἀλλὰ παταχθείης, ὦ γύναι, ὅσον ἕνεκα ἔοικας τῇ Ἑλένῃ· καὶ εἰ μὴ ἐτύγχανον ἐν ἀλλοδαπῇ, ἀπόλωλας ἄν, τῷδε τῷ λίθῳ κατεαγεῖσα τὸ κρανίον, τῆς πρὸς τὴν κόρην τοῦ Διὸς ὁμοιότητος δοῦσα δίκην.

**ΕΛ.** Τί δ', ὦ ταλαίπωρε, παθὼν, ὅςτις εἶ, ἐπὶ τῆς ἐκείνης ἁμαρτήμασιν ἐμὲ ἀποστρέφῃ οὕτω;

**ΤΕ.** Ἐσφάλην, ὁμολογῶ, ὀργῇ, οὐκ οἶδ' ὅπως, πολλῇ συναρπαγείς· πᾶσα γὰρ ἡ Ἑλλὰς μισεῖ ἐκείνην· οὐκοῦν συγγνώμη, εἴτι μοι τῆς γλώσσης παράτροπον ἐκτετόξευται.

ΕΛ. Τίς δ' εἶ; πόθεν γῆς τήνδ' ἐπεστράφης πέδον;
ΤΕ. Εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων.
ΕΛ. Οὐκ ἄρα σ', Ἑλένην εἰ στυγεῖς, θαυμαστέον.
Ἀτὰρ τίς εἶ; πόθεν; τίνος; ἐξαυδᾷν σε χρή.
ΤΕ. Ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμὼν, Σαλαμὶς δὲ πατρὶς, ἡ θρέψασά με.
ΕΛ. Τί δῆτα Νείλου τάσδ' ἐπιστρέφῃ γύας;
ΤΕ. Φυγὰς πατρῴας ἐξελήλαμαι χθονός.
ΕΛ. Τλήμων ἂν εἴης. τίς δέ σ' ἐκβάλλει πάτρας;
ΤΕ. Τελαμὼν ὁ φύσας τίν' ἂν ἔχοις μᾶλλον φίλον;
ΕΛ. Ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
ΤΕ. Αἴας μ' ἀδελφὸς ὤλεσ', ἐν Τροίᾳ θανών.
ΕΛ. Πῶς; οὔτι που σῷ φασγάνῳ βίον στερείς;
ΤΕ. Οἰκεῖον αὐτὸν ὤλεσ' ἅλμ' ἐπὶ ξίφος.
ΕΛ. Μανέντ'; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ' ἄν;
ΤΕ. Τὸν Πηλέως τίν' οἶσθ' Ἀχιλλέα γόνον;
ΕΛ. Μνηστήρ ποθ' Ἑλένης ἦλθεν, ὡς ἀκούομεν.
ΤΕ. Θανὼν ὅδ' ὅπλων ἔριν ἔθηκε συμμάχοις.
ΕΛ. Καὶ δὴ τί τοῦτ' Αἴαντι γίγνεται κακόν;
ΤΕ. Ἄλλου λαβόντος ὅπλ', ἀπηλλάχθη βίου.
ΕΛ. Σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;
ΤΕ. Ὅθ' οὕνεκ' αὐτῷ γ' οὐ ξυνωλόμην ὁμοῦ.
ΕΛ. Ἦλθες γὰρ ὦ ξέν' Ἰλίου κλεινὴν πόλιν;
ΤΕ. Καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
ΕΛ. Ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;

---

τὸ δὲ μέτρον καὶ οὕτως καὶ ἄλλως χωλαίνει. 93. Τίνα φίλον] ὁπότε, φησὶ, ὑπὸ τοῦ ἑαυτοῦ πατρὸς φυγαδεύεται, τίνα ἂν εὕροι φίλον; 102. Ἄλλου λαβόντος] ἀ-

ΕΛ. Εἰπὲ δὴ, τίς ὢν, καὶ ποδαπὸς, ἐνταῦθα ἦλθες;

ΤΕ. Καὶ μὴν ὁρᾷς γ' ἕνα Ἑλλήνων τῶν ἀθλίων.

ΕΛ. Οὐδὲν οὖν θαυμαστὸν μισεῖν σε τὴν Ἑλένην· νῦν δ' εἴποις ἡμῖν τίς, τίνος, καὶ ποδαπὸς ὢν τυγχάνεις;

ΤΕ. Τεῦκρος Τελαμῶνος ὁ ἐκ Σαλαμῖνος.

ΕΛ. Εἶτα τί ζητῶν, ὧδε περὶ τὸν Νεῖλον στρέφῃ;

ΤΕ. Καὶ γὰρ φεύγω, ἐξελασθεὶς τῆς πατρίδος.

ΕΛ. Δυστυχὲς τοῦτ' εἶπας· τίς δ' ὁ ἐξελάσας;

ΤΕ. Αὐτὸς ὁ φύσας· τίν' οὖν ἂν ἔχοις φίλον;

ΕΛ. Τίνος ἕνεκα; οὐ γὰρ ἄνευ αἰτίας.

ΤΕ. Αἴας ἀπώλεσέ με, ἀπολεσθεὶς ἐν Τροίᾳ.

ΕΛ. Πῶς; μή τι σὺ ἀπέκτεινας ἐκεῖνον;

ΤΕ. Οὔκ, ἀλλ' αὐτὸς ἑκὼν ἐπιπεσὼν τῷ ξίφει.

ΕΛ. Μανεις; οὐ γὰρ ἂν φρονῶν ἀπετόλμησε τοῦτο.

ΤΕ. Οἶσθ' ἀκηκουῖα τὸν τοῦ Πηλέως παῖδα;

ΕΛ. Ἀχιλλέα φῂς τον ποτὲ μνηστῆρα τῆς Ἑλένης.

ΤΕ. Οὗτος θανὼν, ἔριν ἔλιπε τῶν ὅπλων τοῖς συμμάχοις.

ΕΛ. Καὶ τί δὴ τοῦτο τῷ Αἴαντι πρὸς βλάβην;

ΤΕ. Ἀποτυχὼν τῶν ὅπλων, κατέστρεψε τὸν βίον.

ΕΛ. Εἶτα τι πρὸς σὲ τὸ δυστύχημα ἐκείνου;

ΤΕ. Αἰτίαν ἔσχον τοῦ μὴ συναπολωλέναι.

ΕΛ. Ἦλθες, ὦ ξένε, αὐτὸς εἰς τὴν Πριάμου πόλιν;

ΤΕ. Καὶ συνεξελὼν, αὐτὸς ἀνταπωλέσθην.

ΕΛ. Ἡ δὲ ἑάλω, ὡς φασὶ, καὶ κατεκάη ὅλως;

---

ποθανόντος Ἀχιλλέως, προτίθενται τὰ ὅπλα αὐτοῦ τῷ ἀρίστῳ γεγονότι· πολλῆς δ' ἔριδος γενομένης Αἴαντι καὶ Ὀδυσσεῖ, νικᾷ οὗτος, καὶ λαμβάνει τὰ ὅπλα· ἐντεῦθεν μανεὶς ὁ Αἴας ὑπὸ τοῦ πάθους, εἰσέπεσε τῷ ξίφει, καὶ ἀπέθανε.

ΤΕ· Ὥςτ' οὐδ' ἴχνος γε τειχέων εἶναι σαφές.
ΕΛ. Ὦ τλῆμον Ἑλένη, διὰ σ' ἀπόλλυνται Φρύγες!
ΤΕ· Καὶ πρός γ' Ἀχαιοί· μεγάλα δ' εἴργασται κακά.
ΕΛ· Πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;
ΤΕ. Ἑπτὰ σχεδόν τι καρπίμους ἐτῶν κύκλους.
ΕΛ. Χρόνον δ' ἐμείνατ' ἄλλον ἐν Τροίᾳ πόσον;
ΤΕ. Πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
ΕΛ. Ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;
ΤΕ. Μενέλεως αὐτὴν ἦγ', ἐπισπάσας κόμης.
ΕΛ. Εἶδες σὺ τὴν δύστηνον; ἢ κλύων λέγεις;
ΤΕ. Ὥσπερ σέ γ', οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
ΕΛ. Σκοπεῖτε, μὴ δόκησιν εἴχετ' ἐκ θεῶν.
ΤΕ. Ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.
ΕΛ. Οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;
ΤΕ. Αὐτὸς γὰρ ὄσσοις εἰδόμην, καὶ νοῦς ὁρᾷ.
ΕΛ. Ἤδη δ' ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;
ΤΕ. Οὔκουν ἐν Ἄργει γ' οὐδ' ἐπ' Εὐρώτα ῥοαῖς.
ΕΛ. Αἶ, αἶ! κακὸν τόδ' εἶπας, οἷς κακὸν λέγεις.
ΤΕ. Ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.
ΕΛ. Οὐ πᾶσι πορθμὸς ὡυτὸς Ἀργείοισιν ἦν;
ΤΕ. Ἦν· ἀλλὰ χειμὼν ἄλλοσ' ἄλλον ὤρισεν.
ΕΛ. Ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;
ΤΕ. Μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.
ΕΛ. Κἀκ τοῦδε Μενέλεων οὔτις οἶδ' ἀφιγμένον;
ΤΕ. Οὐδείς· θανὼν δὲ κλῄζεται καθ' Ἑλλάδα.
ΕΛ. Ἀπωλόμεσθα· Θεστιὰς δ' ἔστιν κόρη;

---

133. Ἀπωλόμεσθα] δῆλον ὅτι σιγηλῶς καὶ καθ' ἑαυτὴν λέγει τοῦτο, ἵνα μὴ δὴ

ΤΕ. Οὐδ' ἴχνος ἂν ἴδοις, ὥστε καὶ διαγνῶναι.
ΕΛ. Ὦ δυστυχὴς Ελένη, ἀπώλεσας τοὺς Φρύγας.
ΣΕ. Ἀλλὰ καὶ τοὺς Ἀργείους, τοιαῦτα εἰργασμένη.
ΕΛ. Πόσος δὲ χρόνος ἐστιν, ἐξ οὗ ἑάλω Τροία;
ΤΕ. Ἑπτὰ σχεδὸν ἔτη διῆλθον μέχρι τοῦδε.
ΕΛ Πρὸ δὲ τούτου πόσος ἐν τῇ πολιορκίᾳ;
ΤΕ. Πολλοὶ δὴ μῆνες, δέκα μαλιστα ἔτη.
ΕΛ. Τί δέ; ἐλάβετε ἑλόντες τὴν Ἑλένην;
ΤΕ. Μενέλαός γε, ἀποσπάσας αὐτὴν ἀπὸ τῆς κόμης.
ΕΛ. Ἰδὼν αὐτὴν φὴς, ἢ ἀκηκοὼς τυγχάνεις;
ΤΕ· Οὐχ ἧττον, ἢ νῦν ὁρῶν σε βλέπω.
ΕΛ. Μήτι μίμημα αὐτῆς ἐκ θεοῦ ἡμῖν ἐδόθη;
ΤΕ. Μηκέτ' ἀμφίβαλε περὶ ἐκείνης πλέον.
ΕΛ. Οὕτω δοκεῖτ' ἀληθῶς ἐκείνην εἶναι;
ΤΕ Εἰ χρὴ πιστεύειν τῷ νοεῖν καὶ τῷ βλέπειν.
ΕΛ. Μενέλαος δὲ νῦν ἔχει ἐκείνην οἴκοι;
ΤΕ. Οὐκ ἐν Ἄργει, οὐδέ γε ἐν τῇ Σπάρτῃ.
ΕΛ. Αἶ, αἶ· ὡς δυστυχὲς τοῦθ', ὅτῳδήποτε ἔφης.
ΤΕ. Ἀφανεῖς αὐτοὺς ἄμφω ὁ πολὺς ἐθέλει λόγος.
ΕΛ. Τί δέ; οὐχ ἡ αὐτὴ ἦν τοῖς πᾶσι νόστος;
ΤΕ. Χειμὼν ἐλθὼν, ἐξέωσ' ἄλλοσ' ἄλλον.
ΕΛ. Ποῦ δήποτ' αὐτοῖς τοῦτο παθεῖν συνέβη;
ΤΕ. Κατα μέσον τὸ Αἰγαῖον πλωϊζομένοις.
ΕΛ. Ἐκ δὲ τούτου οὐκ οἶδέ τις Μενέλαον ἐλθόντα;
ΤΕ. Φήμη τις ῥεῖ ἐκεῖνον ἀπολωλέναι.
ΕΛ. Ἀπολώλαμεν· ἡ δὲ Θεστίου κόρη;

---

αἰτίαν τῷ Τεύκρῳ ζητεῖν περὶ αὐτῆς μαθεῖν, ἥτις εἴη· ὡς καὶ κατωτέρω μι-

ΤΕ. Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
ΕΛ. Ἤπου νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;
ΤΕ. Φασὶν, βρόχῳ γ' ἅψασαν εὐγενῆ δέρην.
ΕΛ. Οἱ Τυνδάρειοι δ' εἰσὶν, [ἢ] οὐκ εἰσὶν κόροι;
ΤΕ. Τεθνᾶσι, κοὐ τεθνᾶσι· δύο δ' ἐστὸν λόγοι.
ΕΛ. Πότερος ὁ κρείσσων; ὢ τάλαιν' ἐγὼ κακῶν!
ΤΕ. Ἄστροις σφ' ὁμοιωθέντε φάσ' εἶναι θεώ.
ΕΛ. Καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
ΤΕ. Σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.
Ἅλις δὲ μύθων· οὐ διπλᾶ χρήζω στένειν.
Ὧν δ' οὕνεκ' ἦλθον τούσδε βασιλείους δόμους,
Τὴν θεσπιῳδὸν Θεονόην χρῄζων ἰδεῖν,
Συμπροξένησον, ὡς τύχω μαντευμάτων,
Ὅπῃ νεὼς στείλαιμ' ἂν οὔριον πτερὸν
Ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ' ἐθέσπισεν
Οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν
Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.
ΕΛ. Πλοῦς, ὦ ξέν', αὐτὸς σημανεῖ· σὺ δ' ἐκλιπὼν
Γῆν τήνδε φεῦγε, πρίν σε παῖδα Πρωτέως
Ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ,
Κυσὶν πεποιθὼς, ἐν φοναῖς θηροκτόνοις·
Κτείνει γὰρ Ἕλλην', ὅντιν' ἂν λάβῃ, ξένον.
Ὅτου δ' ἕκατι, μήτε σὺ ζήτει μαθεῖν,
Ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;

---

κρόν. στίχ. 139. ὦ τάλαιν' ἐγὼ τῶν κακῶν. 140. Ἄστροις] ἐγκατετέθησαν τοῖς ἄστροις, ὡς οἱ μῦθοι, ἐφ' ᾧ σημεῖον εἶναι πλωϊζομένοις. Ἄλλως· Ἴδας καὶ Λυγκεὺς, παῖδες Ἀφαρέως (οὗτος δὲ Τυνδάρεω ἦν ἀδελφὸς) γάμους θύοντες

ΤΕ. Τὴν Λήδαν φῄς; πάλαι κατέστρεψε τὸν βίον.

ΕΛ. Διὰ τὴν δύσκλειαν ἴσως τῆς Ἑλένης.

ΤΕ. Δοκεῖ, ὑψόθεν ποθὲν ἀπαγξαμένη.

ΕΛ. Διόσκουροι δὲ περίεισιν οἱ νέοι;

ΤΕ. Διττὸς λόγος ᾄδεται καὶ περὶ τούτων.

ΕΛ. Ὦ δυστυχὴς ἐγώ· πότερος δὲ ὁ κρείττων;

ΤΕ. Φασὶ γὰρ αὐτοὺς ἐν ἄστροις ἠριθμῆσθαι.

ΕΛ. Τοῦτο μὲν καλόν· τὸ δ' ἕτερον ποῖον;

ΤΕ. Φασὶ γὰρ αὐτόχειρας γενέσθαι, τὸ τῆς ἀδελφῆς μὴ φέροντες ὄνειδος· ἀλλ' ἅλις τούτων· τί γάρ με δεῖ στένειν αὖθις· σὺ δέ μοι σύμπραξον, ὅπως τύχω, ὧν ἕνεκα τυγχάνω δεῦρο ἀφιγμένος. Θεονόην γὰρ τὴν μάντιν ἐρέσθαι βούλομαι, ὅπῃ δεῖ με πλεῦσαι ἀσφαλῶς πρὸς Κύπρον, ἔνθ' ὁ Φοῖβος ἐκέλευσέ με ἐποικῆσαι, Σαλαμῖνα ὁμώνυμον τῆς ἐμαυτοῦ μετονομάσαντα πατρίδος.

ΕΛ. Αὐτὸς ὁ πλοῦς, ὦ ξένε, ἔστω σοι ἡγεμὼν πρὸς ταῦτα· σὺ δὲ καλῶς ποιῶν, ἀναχώρει ἐντεῦθεν, πρίν ἄν σε ὁ τοῦ Πρωτέως παῖς, ὁ νῦν τῆς χώρας κρατῶν ταύτης, εὕρῃ ὧδε, ἐκ τῆς θήρας ἐπανελθών· ἀποκτείνει γὰρ οὗτος, ὅντιν' ἂν τῶν Ἑλλήνων λάβῃ· τὸ δ' αἴτιον σοί τε μαθεῖν περιττὸν, κἀμοὶ κάλλιον σιωπᾶν.

---

τῶν θυγατέρων Λευκίππου, Φοίβης καὶ Ἱλαείρας, ἐκάλεσαν τοὺς Διοσκόρους, ὡς ὄντας συγγενεῖς· τούτους δὲ φασὶν ἐξαρπάσαι τὰς κόρας ἔτι παρθένους οὔσας· καὶ μαχομένων οὕτω περὶ τοῦ γάμου ἀνῃρέθη Κάστωρ· ὅθεν ὀργισθεὶς ὁ Ζεὺς κτείνει κεραυνῷ Ἴδαν· παραμυθεῖται δὲ καὶ Πολυδεύκην, καὶ προτίθεται αὐτῷ αἵρεσιν, πότερον θέλει ἀθάνατος αὐτὸς εἶναι ἄνευ τοῦ ἀδελφοῦ ἢ σὺν ἐκείνῳ ἓξ μὲν μῆνας τεθνηκὼς, ἓξ δὲ ζῶν εἶναι; ὁ δὲ εἵλετο μᾶλλον μετὰ Κάστορος ἀποθανεῖν καὶ ζῆν. 157. Ἐγώ τε σιγῶ] οὐ γὰρ ἂν εἰς καιρὸν εἴπῃ

ΤΕ. Καλῶς ἔλεξας, ὦ γύναι. θεοὶ δέ σοι
Ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο!
Ἑλένῃ δ' ὅμοιον σῶμ' ἔχουσ', οὐ τὰς φρένας
Ἔχεις ὁμοίας, ἀλλὰ διαφόρους πολύ.
Κακῶς δ' ὄλοιτο, μηδ' ἐπ' Εὐρώτα ῥοὰς
Ἔλθοι· σὺ δ' εἴης εὐτυχὴς ἀεὶ, γύναι!

ΕΛ. Ὦ μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον,
Ποῖον ἀμιλλαθῶ γόον; ἢ τίνα μοῦσαν ἐπέλθω,
Δάκρυσιν, ἢ θρήνοις, ἢ πένθεσιν;
Ἓ, ἕ!
Πτεροφόροι νεάνιδες, (Στρ. ά.)
Παρθένοι, Χθονὸς κόραι,
Σειρῆνες, εἴθ' ἐμοῖς γόοις
Μόλοιτ' ἔχουσαι τὸν Λίβυν
Λωτὸν, ἢ σύριγγας, αἰλίνοις κακοῖς
Τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
Πάθεσι πάθεα, μέλεσι μέλεα
Μουσεῖά τε θρηνήμασι ξυνῳδά.
Πέμψειε Φερσέφασσα
Φόνια, φόνια, χάριτας ἵν' ἐπὶ δάκρυσι
Παρ' ἐμέθεν ὑπὸ μέλαθρα νύχια, παιᾶνας
Νέκυσιν ὀλομένοις λάβῃ.

ΧΟ. Κυανοειδὲς ἀμφ' ὕδωρ (Ἀντ. ά.)
Ἔτυχον ἕλικά τ' ἀνὰ χλόαν

---

ὅτι ἀποκτείνει τοὺς ξένους, δεδιὼς, μὴ κλέψωσιν αὐτήν. 169. Σειρῆνες] κατὰ μὲν τὸν ποιητὴν τῆς Γῆς ἦσαν θυγατέρες· κατ' ἄλλους δὲ Ἀχελώου τοῦ ποταμοῦ, καὶ Καλλιόπης τῆς Μούσης· ἦσαν δὲ τρεῖς, Ἀγλαοφώνη, Θελξιέπεια,

ΘΕ. Εὖ λέγεις· οἱ δὲ θεοὶ δῷέν σοι ὄλβια ἄντι τούτων· εἶδος γὰρ τῇ Ἑλένῃ ὅμοιον ἔχουσα, οὐχ ὁμοιὰς ἔχεις φρένας. ἐκείνη δ' οὖν κακὴ κακῶς ἀπώλετο, μήδ' ἀφίκοιτο ποτὲ εἰς τὸν Εὐρώταν· σὺ δ' εἴης ἀεὶ εὐδαιμονοῦσα.

ΕΛ. Ὦ μεγάλων πόνων, μεγάλων οἴκτων ἐγὼ ἀρχὴν καταβαλοῦσα, ποίῳ χρήσομαι θρήνῳ; ποίαν μετέλθω μοῦσαν ἐν δάκρυσι καὶ θρήνοις; ἒ, ἒ.

Πτεροφόροι Σειρῆνες, νεάνιδες παρθένοι, μελῳδοὶ τῆς Γῆς κόραι, ἔλθοιτε ὑμεῖς ἐν τοῖς ἐμοῖς θρήνοις ἤδη· ἔλθοιτέ μοι Λίβυον αὐλὸν, ἢ σύριγγας ἔχουσαι, δάκρυα τοῖς ἐμοῖς δυςυχήμασι, πάθη πάθεσι, καὶ ἐπ' ἄλγεσιν ἄλγη φέρουσαι συνεχῆ. Ὦ πότνια Κόρη, πέμψειάς μοι κάτωθεν καὶ αὐτὴ μέλος μουσικὸν, ὅμοιον θρήνῳ, οἷον φόνιον φόνιον, ἵν' ἐκ τῶν ἐμῶν δακρύων παιᾶνα θρῆνον ὡς χάριν προσενέγκῃς παρ ἐμοῦ τοῖς ἐν ᾅδου τὸ σκότος κατοικοῦσιν.

ΧΟ. Ἔτυχον παρὰ τὰς ἀκτὰς πέπλους πορφυροῦς ἐπὶ τῆς πόας καὶ τῶν χλοερῶν καλάμων πρὸς τὰς τοῦ ἡλίου

---

καὶ Πεισινόη· ἦσαν γὰρ λίαν μελῳδικαὶ καὶ θελξίθυμοι. 174. Μουσεῖα ᾠδὰς θρηνητικάς· ἡ δὲ Φερσέφασσα ἡ αὐτὴ ἐστὶ τῇ Περσεφόνῃ. ἣ καὶ Κορη ἐξαίρετον λέγεται. 176. Χάριτας] πότερον ἐπεξήγησις τοῦ φόνια ἄσματα, ἔστι τοῦτο, ἤτοι ὡς ἐπιθυμητὰ αὐτῇ ἐν τῇ παρούσῃ συμφορᾷ, ἢ ἡ Κόρη ἐκ τοῦ ᾅδου τοιούτοις χαίρει; τοῦτο μᾶλλον· τὸ δὲ ὅλον, οἷον πέμψον μοι μέλος λυπηρὸν ἵνα λαβοῦσα παρ' ἐμοῦ κλαυθμηροὺς παιᾶνας δῷς τοῖς νεκροῖς αὐτοῦ τοῖς ἡμοῖς συγγενέσιν ὡς χάριν παρ' ἐμοῦ. 180. Ἕλικα] ὡς ἐπίθετον τῆς πόας, τῶν

Φοίνικας ἀλίου πέπλους
Αὐγαῖσιν ἐν ταῖς χρυσέαις
Ἀμφιθάλπουσ' ἔν τε δόνακος ἔρνεσιν·
Ἔνθεν οἰκτρὸν ἀνεβόασεν,
Ὅμαδον ἔκλυον ἄλυρον, ἔλεγον,
Ὅ τι ποτ' ἔλακεν αἰάγμασι στένουσα,
Νύμφα τις οἷα Ναΐς,
Ὄρεσι φυγάδα γάμον ἱεῖσα γοερόν·
Ὑπὸ δὲ πέτρινα μύχατα γύαλα [εἰσδῦσα,]
Πανὸς, ἀναβοᾷ γάμους.

ΕΛ. Ἰώ! ἰώ! (Στρ. β'.)
Θήραμα βαρβάρου πλάτας,
Ἑλλανίδες κόραι,
Ναύτας Ἀχαιῶν τις ἔμολεν, ἔμολε,
Δάκρυα δάκρυσί μοι φέρων,
Ἰλίου κατασκαφὰν,
Πυρὶ μέλουσαν δαΐῳ
Δι' ἐμὲ τὰν πολύκτονον.
Δι' ἐμὸν ὄνομα πολύπονον.
Λήδα δ' ἐν ἀγχόναις
Θάνατον ἔλαβεν αἰσχύ-

---

φυτῶν, ἐξείληπται το Ἕλιξ. 181. Φοίνικας] ἡ συνθήκη οὕτω· ἔτυχον θάλπουσα φοίνικας (πορφυροὺς πέπλους) ἐν ταῖς χρυσαῖς αὐγαῖς τοῦ ἡλίου· ἡ δὲ θάλψις αὕτη ἦν, ἵνα ἡ βαφὴ στεγανωτέρα, καὶ φαιδροτέρα γένηται· φησὶ γὰρ Πολυδεύκης (βιβλ. Ι. 49.) Χαίρει δὲ ἡλίῳ ὁμιλοῦσα τῆς πορφύρας ἡ βαφὴ, καὶ ἡ ἀκτὶς αὐτὴν ἀναπυρσεύει, καὶ πλείω ποιεῖ, καὶ φαιδροτέραν τὴν αὐγήν· αἱ δὲ Νύμφαι ἦσαν θυγατέρες Νηρέως καὶ Δωρίδος· ἐξ ὧν αἱ μὲν ἦσαν ἐν οὐρανῷ,

χρυσαυγεῖς θάλπουσα ἀκτῖνας, ὅπου ἔλακα φωνῆς λυγερᾶς ἀκοῦσαι γυναικὸς, οἰκτρὸν, συγκεχυμένον, παράμουσον, πένθιμον ὅλως προϊεμένης μέλος, ὥσπερ, ὅτε Νύμφη τὶς Ναῒς τὸν ἑαυτῆς ὀλοφύρεται ἄνδρα, ἐν ὄρεσί πη καταλιποῦσ' ἐκεῖνον· εἰς δὲ τὰ κοιλώτατα καὶ μυχαίτατα τῶν τοῦ Πανὸς ἀντρῶν καταδῦσα, τὸν ἑαυτῆς ἀνακαλεῖται γάμον.

ΕΛ. Ἰὼ, ἰὼ, κόραι Ἑλληνίδες, θήραμα πειρατῶν γενόμεναι βαρβάρων, ἀκούετε; ἀνὴρ γὰρ τῶν Ἑλλήνων τις, καταχθεὶς ὡς ἡμᾶς ἐνταῦθα, ἄξια θρήνων, ἄξια μυρίων διεξῆλθέ μοι δακρύων· ἥτε γὰρ Τροία κατεσκάφη, παρανάλωμα πυρὸς ὀλέθρου γιγνομένη δι' ἐμὲ τὴν πολυκτόνον, ἢ μᾶλλον διὰ τὸ ἐμὸν πολύπονον ὄνομα· καὶ Λήδα ἡ μήτηρ ἐπὶ ταῖς ἐμαῖς αἰσχυνομένη τύχαις, ἐχ-

---

αἱ δὲ ἐπὶ γῆς. ὅσαι εἶχον πρασίνην κόμην· ὧν αἱ μὲν Ναπαῖαι, καὶ Δρυάδες, καὶ Ἀναδρυάδες ἐφύλαττον τὰ δάση, τοὺς λειμῶνας, τὰ ἄνθη, καὶ τὰ ποίμνια· αἱ δὲ Ναϊάδες, τὰς πηγάς, καὶ τοὺς ποταμοὺς· αἱ δὲ Νηρεΐδες ἦσαν ἐν τῇ θαλάσσῃ ἐνασμενίζουσαι ταῖς ᾠδαῖς τῶν Ἀλκυώνων παρὰ τὰς ἀκτάς. 188. Γάμον] ἐν ἄλλοις κεῖται, νόμον· τὸ δὲ Εἰσδῦσα προσέθηκα. ἵν' ᾖ πως σύμφωνον τῇ στροφῇ 190. Πανὸς ἀναβοᾷ γάμους] ὁ Χορὸς μήπω εἰσελθὼν. ἀκούει ἔξωθεν τὴν Ἑλένην ἔνδον θρηνοῦσαν τοὺς συγγενεῖς· ἐντεῦθεν εἰσέρχεται εἴσω, καί φησι, ὅτι ἤκουσε θρῆνον ὥσπερ Ναΐδος τινὸς θρηνούσης τὸν Πᾶνα τὸν ἑαυτῆς ἄνδρα, ὅταν καταλίπῃ αὐτὸν ἐν τοῖς ὄρεσι. 197. Πυρὶ μέλουσαν δαΐῳ] ἐπιτετραμμένην τῇ τοῦ δαΐου πυρὸς φροντίδι· ὅ ἐστι, τὸ πῦρ αὐτὸ ἐφρόντισε τῆς κατασκαφῆς τοῦ Ἰλίου· λέγομεν γὰρ, μέλει μοι τῆς κατασκαφῆς, καὶ μέλει μοι ἡ κατασκαφή· τὸ δὲ Δαΐῳ ἐν ἄλλοις κεῖται Ἰδαίῳ· ὅτι τῇ ἐκ τῆς Ἴδης τρέφεται ὕλῃ. 198. Πολύκτονον] ἄμεινον πολυκτόνον ὡς καὶ ἐν ἄλλοις κεῖται, ὡς πολλῶν φόνων τῆς Ἑλένης γενομένης αἰτίας. καίτοι διαφορεῖται τὸ σημαινόμενον. 201. Ἔλαβεν] οὕτως ἐξ ἄλλων ἀντὶ τοῦ ἔλαυεν φύ

Νας ἐμᾶς ὑπ' ἀλγέων.
Ὁ δ' ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
Πόσις ὀλόμενος οἴχεται,
Κάστορός τε, συγγόνου τε,
Διδυμογενὲς ἄγαλμα πατρίδος
Ἀφανες, ἀφανὲς ἱππόκροτα λέλοιπε δάπεδα
Γυμνάσιά τε δονακόεντος Εὐ-
Ρώτα, νεανίαν πόνον.

ΧΟ. Αἶ, αἶ, αἶ, αἶ! (Ἀντ. β'.)
Ὦ δαίμονος πολυστόνου
Μοίρας τε σᾶς, γύναι!
Αἰὼν δυσαίων τίς ἔλαχεν, ἔλαχεν,
Ὅτε σε τέκετο ματρόθεν
Ζεὺς πρέπων. δι' αἰθέρος
Χιονόχρως κύκνου πτερῷ;
Τὶ γὰρ ἄπεστί σοι κακῶν;
τίνα δὲ βίοτον οὐκ ἔτλας;
Μάτηρ μὲν οἴχεται,
Δίδυμά τε Διὸς οὐκ εὐ-
Δαιμονεῖ τέκεα φίλα,
Χθόνα δὲ πάτριον οὐχ ὁρᾷς,
Διὰ δὲ πόλεας ἔρχεται
Βάξις, ἅ σε βαρβάροισιν
Λέχεσι, πότνια, παραδίδωσιν·
Ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέλοιπε βίοτον,
Οὐδέ ποτ' ἔτι πάτρια μέλαθρα καὶ
Τὰν Χαλκίοικον ὀλβιεῖς.

ταίωσε τὰς ἐκείνου ἐλπίδας· εἴδωλον γὰρ ἐκ τοῦ αἰθέρος συνθεῖσα, τοῦτ᾽ ἀντ᾽ ἐμοῦ δέδωκε τῷ Πριάμῳ· ὃς λαβών με, ἔδοξεν ἔχειν, ἣν οὐδέποτ᾽ ἔσχεν, ὅτι μὴ κατὰ δόκησιν· ἐκ δὴ τούτου ἕτερ᾽ αὖθις κακὰ Ζεὺς ἐβουλεύσατο· ἵνα γὰρ τήν τε γῆν τοῦ πλήθους ἀνακουφίσειε τῶν ἀνθρώπων, καὶ τὸν κράτιστον τῶν Ἑλλήνων ἀρίγνωτον ποιήσειε παρὰ πᾶσι, πόλεμον πρὸς Φρύγας, εἰσήνεγκεν Ἕλλησιν, ἆθλον αὐτοῖς ἀμφοτέροις ἀλκῆς καὶ πολέμου ἐμὲ προθείς· ἢ μᾶλλον οὐκ ἐμὲ. τοὔνομα δὲ τοὐμόν· ἐμὲ γὰρ λαβὼν ὁ Ἑρμῆς, καὶ νεφέλῃ περικαλύψας, εἰς τήνδε βουλῇ τοῦ Διὸς τὴν ἑστίαν τοῦ Πρωτέως καθίδρυσε, σωφρονεστάτην ταύτην πάντων ἀνθρώπων εἰδὼς, ὅπως ἀδιάφθορος καὶ ἀκήρατος Μενελάῳ σωθείην· κἀγὼ μὲν ἐνταῦθα εἰμί· ὁ δ᾽ ἐμὸς ἄθλιος ἀνὴρ, στρατὸν πολὺν συναγείρας, καὶ ἐπὶ τὴν Ἴλιον πλεύσας, σπουδὴν ἤδη ἔχει, ἀναρπάσαι με πάλιν, πολλοὶ δὲ δι᾽ ἐμὲ κατέστρεψαν παρὰ τῷ Σκαμάνδρῳ· κἀγὼ ἡ παντλήμων, ὡς δῆθεν αἰτία τοῦ πολέμου γεγενημένη, τῷ δόξαι τὸν ἐμαυτῆς ἄνδρα προδεδωκέναι, ὑπέπεσον ταῖς τῶν πάντων ἀραῖς· τί οὖν δεῖ με ζῆν ἔτι; πλὴν ὅτι ἀκήκοα αὐτοῦ τοῦ Ἑρμοῦ εἰπόντος, ὡς ἔσθ᾽ ὅτε ἐπανήξω εἰς Σπάρτην μετὰ τοῦ ἀνδρὸς, γνόντος τὴν ἐμὴν ἐς Τροίαν οὐκ ἄφιξιν, ὅπως μηδενὶ ἔλθω εἰς ὁμιλίαν γάμου. Μέχρι μὲν οὖν Πρωτεὺς περιῆν,

—40. Κουφίσειε μητέρα χθόνα] τοῦτο γὰρ ἦν σκοπὸς τοῦ Διός. Ὀρ. στίχ. 1653. κράτιστον δὲ τῆς Ἑλλάδος, Ἀχιλλέα ἐνοεῖ. 63. Τίς τῶνδε

Ἕως μὲν οὖν φῶς ἡλίου τόδ' ἔβλεπεν
Πρωτεὺς, ἄσυλος ἦν γάμων· ἐπεὶ δὲ γῆς
Σκότῳ κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
Θηρᾷ γαμεῖν με· τὸν πάλαι δ' ἐμὸν πόσιν
Τιμῶσα, Πρωτέως μνῆμα προσπιτνῶ τόδε
Ἱκέτις, ἵν' ἀνδρὶ τἄμα διασώσω λέχη,
Ὡς, εἰ καθ' Ἑλλάδ' ὄνομα δυσκλεὲς φέρω,
Μή μοι τὸ σῶμά γ' ἐνθάδ' αἰσχύνην ὄφλῃ.

ΤΕ. Τίς τῶνδ' ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτου γὰρ οἶκος ἄξιος προσεικάσαι,
Βασίλειά τ' ἀμφιβλήματ', εὔθριγκοί θ' ἕδραι.
Ἔα.
Ὦ θεοὶ· τίν' εἶδον ὄψιν; ἐχθίστην ὁρῶ
Γυναικὸς εἰκὼ φόνιον, ἥ μ' ἀπώλεσεν,
Πάντας τ' Ἀχαιούς· θεοί σ' ὅσον μίμημ' ἔχεις
Ἑλλένης, ἀποπτύσειεν· εἰ δὲ μὴ 'ν ξένῃ
Γαίᾳ πόδ' εἶχον, τῷδ' ἂν εὐστόχῳ πέτρῳ
Ἀπώλεσ', ἵν' εἰκοῦς ἔθανες ἂν Διὸς κόρης.

ΕΛ. Τί δ', ὦ ταλαίπωρ', ὅστις ὤν μ' ἀπεστράφης,
Καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;

ΤΕ. Ἥμαρτον· ὀργῇ δ' εἶξα μᾶλλον, ἤ μ' ἐχρῆν.
Μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
Σύγγνωθι δ' ἡμῖν τοῖς λελεγμένοις, γύναι.

---

Τεῦκρος ἐνταῦθα εἰσάγεται· ὃν Τελαμὼν ὁ πατὴρ οὐκ ἐδέξατο, ἐπανελθόντα ἀπὸ Τροίας, ὡς δολίως ἦλθεν ἐγκαταλιπόντα Αἴαντα τὸν ἀδελφὸν σφαγῆναι, ἵν' αὐτὸς τὸ τῆς βασιλείας ἐν Σαλαμῖνι σχῇ κράτος μετὰ τὸν θάνατον τοῦ πατρός· ὅθεν φυγὼν ἐς Κύπρον, αὐτοῦ ἔκτισε πόλιν ὁμώνυμον τῆς ἑαυτοῦ πατρίδος, Σαλαμῖνα προσαγορεύσας. 77. Ἀπώλεσ' ἵν' εἰκοῦς] ἀντὶ τοῦ ἀπώλλυσ' ἔγραψα· τὸ δὲ ὅλον εἴη ἂν οὕτω· ἀπώλεσά σε ἂν τῷδε τῷ πέτρῳ ἵνα ἔθανες ἂν ἕνεκα τῆς εἰκόνος τῆς κόρης τοῦ Διός· ἐν ἄλλοις δὲ κεῖται, ἀπόλαυσιν εἰκοῦς, εἴτουν, δι' ἀπόλαυσιν.

ΕΛ. Φεῦ, φεῦ· τίςποτ' ἦν Φρυγῶν, ἢ Ἑλλήνων, ὃς τὴν πολύδακρυν ἐκείνην πεύκην τεμὼν ἐν Ἴδῃ, ἐτεκτήνατο σκάφος, ἐφ' οὗ ὁ Πριάμου βαρβάρῳ κώπῃ πλεύσας, ἐπι τὴν ἐμὴν ἀφίκετο ἑςίαν, ὥςε τοὐμὸν ἰδόντα κάλλος, τὴν ἐμήν φημι δυςυχίαν, ἐπιθυμῆσαι συζεύξασθαί με γάμῳ; Ἀλλ' Ἀφροδίτη ἔσθ', ἡ δόλιος Ἀφροδίτη, ἡ πολύπονος ἐκείνη θεὸς, ἡ Τρωσί τε καὶ Ἕλλησι μέγαν ὄλεθρον ἐπενεγκοῦσα· ὦ τάλαιν' ἐγὼ τῆς συμφορᾶς Ἥρα δὲ, τὸ ἐν χρυσαῖς εὐναῖς μέλημα καὶ εντρύφημα τοῦ Διὸς, τὸν ὠκύπουν ἔπεμψε τῆς Μαίας παῖδα· ὃς εὑρών με ῥόδα χλοερὰ δρεπομένην εἰς τὸν κόλπον, ὅπως εἰς τὸν Χαλκίοικον ἔλθοιμι νεὼν, ἀναρπάσας με, ἐς τήνδε τὴν κακοδαίμονα κατέθηκε χώραν, ἔριν μεγίςην ἐμβαλὼν Ἕλλησι πρὸς βαρβάρους· ἐξ οὗ μέγ ὄνειδος ἔμοιγ' ἀνεφύη παρὰ τοῖς τοῦ Σιμόεντος ῥείθροις.

ΧΟ. Μεγάλα μὲν, εὖ οἶδα τοῦτο, καὶ κρείττω ἢ φέρειν δεινά σοι συνέβη· χρὴ δὲ φέρειν ῥᾷςα, ὅσ' ὑπ' ἀνάγκης συμβαίνει ἐν τῷ βίῳ.

ΕΛ. Ὦ φίλταται γυναῖκες, τίνι ἆρ' ἐγὼ ἐξ αὐτῆς τῆς ἀρχῆς συνέζευγμαι τύχῃ; οὐ δοκῶ τέρας ἀνθρώποις γεννηθῆναι; οὔτε γὰρ Ἑλληνὶς, οὔτε βάρβαρος γυνὴ πώποτε

---

229. Τίς φρυγῶν] τίς; Ὅμηρός σοι τοῦτον ἔδειξεν. Ἰλ. Ε. ςίχ. 59.
» Μηριόνης δὲ Φέρεκλον ἐνήρατο τέκτονος υἱὸν
» Ἁρμονίδεω· ὃς χερσὶν ἐπίστατο δαίδαλα πάντα
» Τεύχειν· ἔξοχα γάρ μιν ἐφίλατο Παλλὰς Ἀθήνη·
» Ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐίσας·

250. Μαψίδιον] πότερον, μάτην φέρεται καὶ ψευδῶς τοὐμὸν ὄνομα ἐν Τροίᾳ, ὡς ἐμοῦ ὧδε οὔσης, ἢ κακόφημόν ἐστιν ἐφ' οἷς δοκῶ πλημμελῆσαι; ἐγὼ εἰλόμην τὸ δεύτερον.

Τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
Ἐν ᾧ με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.
Τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ' ἐστί μοι,
Τὰ μὲν δι' Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον.
Εἴθ' ἐξαλειφθεῖσ', ὡς ἄγαλμ', αὖθις πάλιν,
Αἴσχιον εἶδος ἀντὶ τοῦ καλοῦ λαβεῖν!
Καὶ τὰς τύχας μὲν τὰς κακὰς, ἃς νῦν ἔχω,
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
Ἔσωζον, ὥσπερ τὰς κακὰς σώζουσί μου.
Ὅστις μὲν οὖν, ἐς μίαν ἀποβλέπων τύχην,
Πρὸς θεῶν κακοῦται, βαρὺ μὲν, οἰστέον δ' ὅμως.
Ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
Πρῶτον μὲν, οὐκ οὖσ' ἄδικος, εἰμὶ δυσκλεής.
Καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν,
Ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
Ἔπειτα πατρίδος θεοί μ' ἀφυδρύσαντο γῆς
Ἐς βάρβαρ' ἤθη. καὶ φίλων τητωμένη,
Δούλη καθέστηκ', οὖσ' ἐλευθέρων ἄπο·
Τὰ βαρβάρων γὰρ δοῦλα πάντα, πλὴν ἑνός.
Ἄγκυρα δ', ἥ μου τὰς τύχας ὀχεῖ μόνη,
Πόσιν ποθ' ἥξειν, καί μ' ἀπαλλάξειν κακῶν.
Οὗτος τέθνηκεν, οὗτος οὐκέτ' ἔστι δή.
Μήτηρ δ' ὄλωλε, καὶ φονεὺς αὐτῆς ἐγὼ,
Ἀδίκως μὲν, ἀλλὰ τἄδικον τοῦτ' ἔστ' ἐμόν.
Ὃ δ' ἀγλάϊσμα δωμάτων ἐμοῦ τ' ἔφυ,
Θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται·
Τὼ τοῦ Διὸς δὲ λεγομένω Διοσκόρω

---

258. Τεῦχος] τὸ ὠόν φησιν, ὃ ἔτεκεν ἡ Λήδα. ἴδε Ἰφιγ. Αὐλ. στιχ. 800.

ἐν ἀγγείῳ λευκῷ νεοσσοὺς ὑποθάλψασα φαίνεται, ἐν ᾧ λέγεται ἡ Λήδα ἐκ Διὸς ἐκκολάψαι με· ὅ,τε γὰρ βίος αὐτὸς οὑμὸς καὶ τὰ πράγματα τερατώδη συνέβη πάντα· αἴτιον δὲ, τῶν μὲν, ἡ Ἥρα· τῶν δὲ τὸ τοῦ σώματος κάλλος· εἴη δέ μοι τὸ πρῶτον ἐξαλείψασαν εἶδος, εἰς ἕτερον αἴσχιον, ὥσπερ εἰκὼν, μεταμορφωθῆναι· εἴθε δὲ καὶ τῶν προσόντων μοι νῦν τῶν μὲν κακῶν ἐπιλάθοιντο Ἕλληνες, τῶν δὲ καλῶν μνήμην ἔχοιεν· ὥσπερ νυν τῶν κακῶν· Ὅστις οὖν, μιᾷ τινι συμπεπλεγμένος τύχῃ, κακῶς θεόθεν πάσχει, βαρὺ μὲν καὶ τοῦτο, ἀλλ᾽ ὅμως οἰςέον· ἐγὼ δὲ τοσαύταις συμφοραῖς ἀθρόως περιπεσοῦσα, πῶς εἴσω; πρῶτον μὲν γὰρ μεγίστην, ἐφ᾽ οἷς ἠδίκησ᾽ οὐδὲν, δύσκλειαν ἐκτησάμην· καὶ τοῦτο δὴ ἔμοιγε μεῖζον κακὸν, εἴτις ἐκ μὴ προσόντων πάσχει, τοῦ ἐξ αὐτῶν τῶν ἔργων· ἔπειθ᾽ οἱ θεοὶ τῆς ἐμῆς ἀπαλλοτριώσαντες πατρίδος, φέροντες ἀφῆκαν εἰς βάρβαρα ἤθη· ἔνθα τῶν φιλτάτων ἀπαςερουμένη, ἀντ᾽ ἐλευθέρου κατέςην δούλη· τῶν γὰρ βαρβάρων οὐκ ἔσθ᾽ ὅ,τι μὴ δοῦλον, πλὴν τοῦ τυράννου μόνου· ἥτις δὲ ἦν μοι ἔθ᾽ ὑπόλοιπος ἄγκυρα βίου, τὸν ἐμὸν ποθ᾽ ἥξειν ἄνδρα, τὴν μόνην ἔμοιγε τῶν κακῶν ἀπαλλαγὴν, οὗτος ἀπώλετο· καὶ οὐκέτ᾽ ἐστὶν ἐν τοῖς ζῶσιν· ἡ δὲ μήτηρ κατέστρεψε καὶ αὐτὴ, ἐμοῦ, καίτοι μὴ ἀληθῶς, ἀλλ᾽ οὖν γενομένης αὐτῇ τοῦ θανάτου αἰτίας· ἡ δ᾽ αὖ Ἑρμιόνη, ἣ μόνη ἦν μοι ἀγάλλεσθαι οἴκοι, καὶ αὐτὴ παρθενεύεται ἔτι, πολὺν ἤδη χρόνον τῶν τοῦ γάμου καλῶν ἀποστερουμένη· οἱ δὲ Διόσκουροι, ὡς ὁ λόγος κρατεῖ, καὶ αὐτοὶ μετήλλαξαν

Οὐκ ἐστόν· ἀλλὰ πάντ' ἔχουσα δυστυχῆ,
Τοῖς πράγμασιν τέθνηκα, τοῖς δ' ἔργοισιν οὔ.
Τὸ δ' ἔσχατον τοῦτ', εἰ μόλοιμεν ἐς πάτραν,
Κλείθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ' Ἰλίῳ
Δοκοῦντες Ἑλένην Μενέλεώ μ' ἐλθεῖν μέτα.
Εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἂν
Ἐς ξύμβολ' ἐλθόντες, ἃ φανερὰ μόνοις ἂν ἦν.
Νῦν δ' οὔτε τοῦτ' ἔστ', οὔτε μὴ σωθῇ ποτε.
Τί δῆτ' ἔτι ζῶ; τίν' ὑπολείπομαι τύχην;
Γάμους ἑλομένη τῶν κακῶν ἀπαλλαγὰς,
Μετ' ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν
Τράπεζαν ἵζουσ'; ἀλλ' ὅταν πόσις πικρός.
Ξυνῇ γυναικὶ, καὶ τὸ σώζεσθαι πικρόν.
Θανεῖν κράτιστον. πῶς θάνοιμ' ἂν οὖν καλῶς;
Ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι,
Κἀν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται,
Σφαγαὶ δ' ἔχουσιν εὐγενές τι καὶ καλὸν,
Σμικρὸν δ' ὁ καιρὸς ἄρτ' ἀπαλλάξαι βίου.
Ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
Αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
Γυναῖκες, ἡμᾶς δ' αὐτὸ τοῦτ' ἀπώλεσεν·

---

286. Τοῖς πράγμασι] τὰ μὲν πράγματα, εἴτουν τὰ πάθη εἰσὶ τοσαῦτα καὶ τηλικαῦτα, οἷά με ἀπολέσαι· τὸ δ' ἔργον τοῦ θανάτου μόνον οὔπω μοι γέγονεν. 289. Δοκοῦντες] ὀρθῶς ἀποδίδοται εἰς τὸ, εἰργοίμεσθα· τὸ δὲ, Ἑλένην με, ἄμεινόν πως γράφεσθαι εἰς εὐθεῖαν, Ἑλένη ἐγώ· καίτοι ἡ ἐν Τροίᾳ ἑτέρα ἦν κατά γε τὸν τοῦ ἡμετέρου ποιητοῦ μῦθον. τῆς ἐν Αἰγύπτῳ Ἑλένης· καὶ κατὰ τοῦτο εὐοδοῖτ' ἂν καὶ οὕτω τὰ τῆς συντάξεως. 291. Εἰς ξύμβολα] σημεῖα

τὸν βίον· οὕτω πανταχόθεν δύστηνος οὖσα, μονονουχὶ ἔργῳ οὐκ εἰμὶ τεθνηκυῖα· τὰ δ' ἄλλ', ἀπόλωλ' ὅλως· ὅδ' ἔσχατον τῶν κακῶν, εἰς τὴν πατρίδα εἴποτ' ἔλθοιμι, ἐξελάσουσίμε κἀκεῖθεν, τὴν μετὰ Μενελάου ἀπὸ Τροίας ἐπανελθοῦσαν Ἑλένην ἐμὲ δοκοῦντες εἶναι· ἐκείνου γὰρ περιόντος ἐκ πολλῶν συμβόλων, ἃ μόνοις ἂν ἡμῖν φανερὰ εἴη, ἀνεγνώσθημεν ἄν· νῦν δὲ, τούτου μὴ ὄντος, μήτε μὴν ἐσομένου, τίν' ἐλπίδα εὐτυχίας τοῦ λοιποῦ ὑποθάλπουσα, ςέρξω βιῶναι; μῶν εἰς νέους γάμους δεῖ με ἀπιδεῖν πρὸς ἀπαλλαγὴν τῶν παρόντων δεινῶν, καὶ ἀνδρὶ συνοικοῦσαν βαρβάρῳ, ἀπόλαυσιν τραπεζῶν πολυτελῶν διώκειν; ἀλλ' ὅταν τις ἀνδρὶ ὁμιλῇ πικρῷ, πῶς ἂν εἴη μὴ συμμετασχεῖν τῆς πικρίας; μία οὖν τῶν δεινῶν μοι λύσις ὁ θάνατος· τοῦ.ο οὖν σκεπτέον, ὅπως καλῶς ἡμῖν ἔσται· ἀγχόνη μὲν γὰρ ἐκ μεταρσίου χρήσασθαι αἴσχιστον, ὡς καὶ τοῖς δούλοις οὐ καλῶς ἀπρεπὲς νομιζόμενον· σφαγὴν δ' ἐπιφέρειν πρὸς τῷ καιρῷ καὶ γενναῖον εἶναι δοκεῖ· καὶ τὸ πάθος ἐν ἐλαχίστῳ ἂν εἴη χρόνῳ· τοσούτοις γὰρ, καὶ τηλικούτοις κακοῖς τυγχάνω περιπεπτωκυῖα, ὥσθ' ὃ ταῖς ἄλλαις τῶν γυναικῶν ἐςιν εὐτυχὲς, τοῦτ' ἔμοιγ' ἀπωλείας γέγονεν αἴτιον, οἷόν ἐστι τὸ κάλλος.

---

ἀναγνωρίσεως· οὕτω δὲ καὶ Πηνελόπη πρὸς τὸν Ὀδυσσέα. (Ὁμ. Ὀδύσ. Ψ' στίχ. 109.)

» . . . . . . . . . . . Ἔστι γὰρ ἡμῖν
» Σήμαθ', ἃ δὴ καὶ νῶϊ κεκρυμμένα ἴδμεν ἀπ' ἄλλων.

297. Σώζεσθαι] ἐν ἄλλοις κεῖται Σωμ' ἐστι· οὐκ ὀρθὸν δὲ τὸ μέτρον.

ΧΟ. Ἑλένη, τὸν ἐλθόνθ', ὅς τις ἐστὶν ὁ ξένος,
Μὴ πάντ' ἀληθῆ δοξάσῃς εἰρηκέναι.
ΕΛ. Καὶ μὴν σαφῶς γ' ἔλεξ' ὀλωλέναι πόσιν.
ΧΟ. Πόλλ' ἂν γένοιτο καὶ διὰ ψευδῶν ἔπη.
ΕΛ. Καὶ τοὔμπαλίν γε τῶν δι' ἀληθείας σαφῆ.
ΧΟ. Ἐς συμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρει.
ΕΛ. Φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ' ἄγει.
ΧΟ. Πῶς δ' εὐμενείας τοισίδ' ἐν δόμοις ἔχεις;
ΕΛ. Πάντες φίλοι μοι, πλὴν ὁ θηρεύων γάμους.
ΧΟ. Οἶσθ' οὖν, ὃ δρᾶσον; μνήματος λιποῦσ' ἕδραν —
ΕΛ. Ἐς ποῖον ἕρπεις μῦθον, ἢ παραίνεσιν;
ΧΟ. Ἐλθοῦσ' ἐς οἴκους, ἣ τὰ πάντα ἐπίσταται,
Τῆς ποντίας Νηρῆος ἐκγόνου κόρης,
Πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ' ἔστ' ἔτι,
Εἴτ' ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ' εὖ,
Πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
Πρὶν δ' οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
Λυπουμένῃ γένοιτ' ἄν; ἀλλ' ἐμοὶ πιθοῦ.
Τάφον λιποῦσα τόνδε, σύμμιξον κόρῃ,
Ὅθεν περ εἴσῃ πάντα· τἀληθῆ φράσαι
Ἔχουσ' ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;
Θέλω δὲ κἀγώ σοι συνεισελθεῖν δόμους,
Καὶ συμπυθέσθαι παρθένου θεσπίσματα.
Γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.

---

310. Ἀληθείας σαφῆ] ἀληθῆ καὶ σαφῆ παραινεῖ τις γραφειν. 315. Οἶσθ' οὖν ὃ δρᾶσον] ἰδιάζει τῷ σχήματι τούτῳ Εὐριπίδης, πολλαχῆ οὕτω χρησάμενος ἐν τῷ αὐτῷ ῥήματι· ἅπαξ δὲ εἶπε καί, οἶσθ' οὖν, ὅμοι σύμπραξον; ἴδε Ἡρακ.

ΧΟ. Ἑλένη, ὃν φῂς ξένον ἐλθεῖν, μὴ πίστευε πάντ' εἰπεῖν ἀληθῆ.

ΕΛ. Καὶ μὴν εἴρηκέ μοι σαφῶς τεθνᾶναι Μενέλαον.

ΧΟ. Τῶν γὰρ πλειόνων ψευδεῖς εἰσιν οἱ λόγοι.

ΕΛ. Τἀνάπαλιν δὲ οὗτοι ἀληθεῖς εἶναι δοκοῦσιν.

ΧΟ. Ἀλλὰ ταῦτα ἀντ' εὐτυχίας εἰς δυςυχίαν φέρει.

ΕΛ. Οὕτω γὰρ ὁ φόβος ὑπόνοιάν μοι τίκτει.

ΧΟ Πῶς ἔχεις εὐνοίας πρὸς τοὺς οἰκοῦντας ᾧδε;

ΕΛ. Πλ.. το.. ἐρῶντος πάντες εἰσί μοι φίλοι.

ΧΟ. Οἶσθ' οὖν, ὅ δράσεις; ἀναστᾶσα ἐντεῦθεν,

ΕΛ. Ἆρα τί μοι φήσεις, τοιαῦτα παραινοῦσα;

ΧΟ. Ἐλθοῦσα ὡς Θεονόην τὴν τῆς Ψαμάθης κόρην, ἣ ἐπίσταται πάντα, πυνθάνου αὐτῆς περὶ τοῦ ἀνδρὸς, εἰ ἔτι ἐν τοῖς ζῶσιν ἐστὶν ἐκεῖνος· τοῦτο δὲ εὖ μαθοῦσα, τηνικαῦτα τρέπου ἢ πρὸς τὸ θρηνεῖν, ἢ χαίρειν, ἐφ' ἑκάτερον ἐκ τῶν ἀποβαινόντων· πρὶν δὲ σαφῶς μαθεῖν ὅ, τι εἴη, πρὸς τί τοσαύτη λύπη; πείθου μοι τοίνυν, καὶ καταλιποῦσα τὸν τάφον τοῦτον, χρῆσαι τῇ κόρῃ, ὑφ' ἧς μαθήσῃ περὶ τούτου τἀληθές· τί γὰρ δὴ βλέπειν πρόσω, ἐνταῦθα τὴν χρησμῳδὸν εὑραμένην; ἕψομαι δέ σοι κἀγὼ, εἰ τοῦτο βούλοιο, συμπευσομένη· δεῖ γὰρ γυναῖκα οὖσαν γυναικὶ συμπονεῖν.

---

ςίχ. 452.—325. Φράσαι] ἐξαρτάσθω ἀπὸ τοῦ ἔχουσα ἑπομένως· ἵνα ᾖ ἐςιγμένον ὡδί.

» Ὅθενπερ εἴσῃ πάντα τἀληθῆ· φράσαι.

» Ἔχουσ' ἐν οἴκοις τοῖςδε, τί βλέπεις πρόσω;

ΕΛ. Φίλαι, λόγους ἐδεξάμαν.
Βᾶτε, βᾶτε δ' εἰς δόμους,
Ἀγῶνας ἐντὸς οἴκων
Ὡς πύθησθε τοὺς ἐμούς.
ΧΟ. Θέλουσαν οὐ μόλις καλεῖς.
ΕΛ. Ἰὼ μέλεος ἁμέρα!
Τίν' ἄρα τάλαινα, τίνα δακρυό-
Εντα λόγον ἀκούσομαι;
ΧΟ Μὴ πρόμαντις ἀλγέων
Προλάμβαν', ὦ φίλα, γόους.
ΕΛ. Τί μοι πόσις·μέλεος ἔτλα;
Πότερα δέρκεται φάος,
Τέθριππά τ' ἀελίου,
Ἐς κέλευθά τ' ἀστέρων,
Ἢ 'ν νέκυσι κατὰ χθονὸς
Τὰν χθόνιον ἔχει τύχαν;
ΧΟ. Εἰς τὸ φέρτερον τίθει
Τὸ μέλλον, ὅ,τι γενήσεται.
ΕΛ. Σὲ γὰρ ἐκάλεσα, σέ δὲ κατώμοσα,
Τὸν ὑδρόεντα δόνακι χλωρὸν
Εὐρώταν, θανόντος εἰ βάξις ἔτυ-
Μος ἀνδρὸς ἅδε μοι.
ΧΟ τί τάδ' ἀσύνετα;
ΕΛ. Φόνιον αἰώρημα διὰ δέρης ὀρέξομαι,
Ἢ ξιφοκτόνον δίωγμα
Λαιμορύτου σφαγᾶς,
Αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
Θῦμα τριζύγοις θεαῖσι
Τῷ τε συριγγ' ἀν' Ἴδην σεβίζοντι Πρια-
Μίδᾳ ποτ', ἀμφὶ βουστάθμους.

ΕΛ. Πείθομαι, ὦ φίλαι, οἷς παραινεῖτε· εἰσέλθετε τοίνυν, συνεισέλθετε οἴκαδε, τὰς ἐμὰς συμπευσόμεναι συμφοράς·

ΧΟ. Ἑκοῦσαν τοῦτο, κοὐκ ἄκουσαν κελεύεις.

ΕΛ. Ὦ δυςυχὴς ἡμέρα, τίν' ἆρα, τίνα λόγον μεστὸν δακρύων ἡ δύστηνος ἀκούσω.

ΧΟ. Μὴ προλάμβανε, κακὰ προμαντεύουσα ὦ φίλη.

ΕΧ. Ἄρα τί πέπονθ' οὑμὸς ἀνήρ; ἆρ' ὁρᾷ τὸ φῶς τοῦ ἡλίου, καὶ τὰς τῶν ἀστέρων κινήσεις, ἢ μετὰ τῶν ἐν Ἅδου τὴν τοῦ Ἅδου κατέχει ἑστίαν.

ΧΟ. Πρὸς τὸ κρεῖττον λογιστέον πᾶν ὅ,τι ἂν ᾖ τὸ μέλλον.

ΕΛ. Εὐρώτα, οὗ τὸ ῥεῖθρόν ἐστι διαυγὲς, καὶ αἱ ὄχθαι χλοάζουσαι δόναξι, σὲ καλῶ, σὲ ἐπικαλοῦμαι σαφῶς μοὶ εἰπεῖν, εἰ ἀληθῆ ταῦτα λέγεται περὶ τοῦ ἀνδρός μου·

ΧΟ. Τίσε δεῖ τοιαῦτ' ἀσύνετα προφέρειν;

ΕΛ· Δεῖ γάρ με ἤτοι ἀπὸ βρόχου ποθὲν ἐξαρτῆσαι ἐμαυτὴν, οἰκτρὸν αἰώρημα εἰς θέαν παρεχομένην· ἢ ξίφος φόνιον, λαιμοτόμον ὤσασαν διὰ τῆς σαρκὸς, θῦμ' ἁμίλλης ταῖς τε τρισὶ γενέσθαι θεαῖς, καὶ τῷ Πριαμίδῃ αὐτῷ τῷ κατὰ τὴν Ἴδην τὴν σύριγγα τιμῶντι ἐν βουςάθμοις·

---

331. Βᾶτε] κινεῖ τὸν Χορὸν συμπαρεύεσθαι αὐτῇ πρὸς τὴν Θεονόην· καίτοι παρα κανονας τοῦτ' ἐστιν ἐξελθεῖν τον Χοροὺ τῆς ὀρχήστρας, ὥστε μηδὲν μένειν προσωπον ἐντος. 358. Τῷ τε σύριγγι] ἐν ἄλλοις διεφθάρθαι δοκεῖ τὸ χωρίον. ἔχει γαρ ὡδί. Τῷ τε σύριγγ' ἀοιδᾶς σέβιζον Πριαμίδας· και ἀλλη ἄλλως ὅ τις διορθοῦν πειρᾶται ὡδί.

» Θῦμα τριζύγοις θεαῖσιν, ἅς γε τῇ σύριγγ' ἀεί-
» Λων, σέβιζε Πριαμίδας.

ΧΟ. Ἄλλοσ' ἀποτροπὰ κακῶν γένοιτο, τὸ δὲ σὸν εὐτυχές!
ΕΛ. Ἰὼ Τροία τάλαινα!
Δι' ἔργ' ἄνεργ' ὄλλυσαι, μέλεά τ' ἔτλας.
Τὰ δ' ἐμὰ δῶρα Κύπρις ἔτεκε
Πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον, ἄχεά τ' ἄχεσι,
Δάκρυα δάκρυσιν ἔλαβε πάθεα.
Ματέρες τε παῖδας ὤλεσαν,
Ἀπὸ δὲ παρθένοι κόμας
Ἔθεντο σύγγονοι νεκρῶν, Σκαμάνδριον
Ἀμφὶ Φρύγιον οἶδμα.
Βοὰν, βοὰν δ' Ἑλλὰς
Κελάδησε κἀνωτότυξεν,
Ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
Ὄνυχι δ' ἁπαλόχροα γένυν
Ἔδευσε φονίαισι πλαγαῖς.
Ὦ μάκαρ Ἀρκαδία ποτὲ παρθένε Καλλιστοῖ, Διὸς
Ἃ λεχέων ἐπέβας τετραβάμοσι γυίοις,
Ὡς πολὺ ματρὸς ἐμᾶς ἔλαχες πλέον!
Ἁ μορφᾷ θηρῶν, λάχνᾳ γυίων,
Ὄμματι λάβρῳ, σχῆμα λεαίνης
Ἐξαλλάξας ἄχεα λύπης·
Ἄν τέ ποτ' Ἄρτεμις ἐξεχορεύσατο,

Ἕτερος δέ — Θεαῖσιν, ὅτε σύριγγ' ἀείδων, σέβιζε Πριαμίδας. 361. Δι' ἔργ' ἄνεργα] δι' αἰτίαν μὴ οὖσαν· δια τον ἐμὸν ψευδώνυμον γάμον. 371. Κἀνωτότυξε] παρὰ τὸ θρηνητικὸν Ὀτοτοι, Ὀτοτύζειν, τὸ ὀλοφύρεσθαι, προφέροντες τὸ ὀτοτοῖ. 375. Καλλισοῖ] Καλλισὼ, ἢ Καλισὼ, θυγάτηρ Λυκάονος τοῦ βασιλέως τῆς Ἀρκαδίας· ἥτις συγκυνηγὸς οὖσα Ἀρτέμιδι καὶ συμπαρθενεύουσα, ἐπειδὴ ἑκοῦσα διεκορεύθη ὑπο τοῦ Διὸς, ἀγανακτήσασα ἡ θεος, μετέβαλεν

ΧΟ. Ἄλλοσε ἀποτρέψειε ταῦτα Ζεύς· τὸ δὲ σὸν εἴη ἀεὶ εὐτυχές·

ΕΛ. Ἰὼ Τροία τάλαινα· δι' αἰτίας ἀναιτίους ἄρα κατέςρεψαι, τὰ μέγιστα κακὰ πεπονθυῖα· τοῦτ' ἦν ἄρα τοὐμὸν πρὸς τῆς Ἀφροδίτης σοι δώρημα, αἷμα πολὺ, καὶ ῥεῖθρα ὅλα δακρύων, πάθη παθῶν ἑτέρων συνέχειαν ἔχοντα, μητέρων ὀλοφυρομένων τοὺς παῖδας, καὶ παρθένων ἀποκειραμένων ἐπὶ τῶν τάφων τῶν ἀδελφῶν, παρὰ ταῖς τοῦ Σκαμάνδρου ὄχθαις ἀπολεσθέντων· ἡ δ' αὖ Ἑλλὰς οὐχ ἧττον καὶ αὐτὴ ἀνωλόλυξε, τήν τε κεφαλὴν ἀράξασα ταῖς χερσὶ, καὶ τοῖς ὄνυξι τὰς παρειὰς ἐξαιμάξασα· ὦ μακαρία παρθένε Καλλιστοῖ ἡ ἐξ Ἀρκαδίας, ἡ ἐπὶ τῆς τοῦ Διὸς εὐνῆς ἀναβᾶσα τετράπους, καίτοι καὶ τὸ σὸν τῆς μεταμορφώσεως πάθος οὐ σμικρόν ἐςι, μορφὴν θηρὸς δασυμάλλου, καὶ ὄμμα πυρῶδες, καὶ ὅλως σχῆμα λεαίνης μεταλαβεῖν, ταῦτα δὴ τὰ λύπης μεγίστης γιγνόμενα αἴτια, ἀλλὰ πρὸς τὸ τῆς ἐμῆς μητρὸς πάθος παραβαλλομένη, εἴης ἂν εὐτυχής. Ταύτην

---

αὐτὴν εἰς ἄρκτον· Ζεὺς δὲ οἰκτείρας, μετέθηκεν εἰς τον οὐρανὸν, καὶ μετέβαλεν εἰς τὸν ὁμώνυμον αὐτῇ ἀστερισμόν· ὃν καὶ ἅμαξαν καλοῦσι· 377. Ἔλαχες πλέον] παραβάλλουσα ἡ Ἑλένη το τῆς μητρὸς πάθος πρὸς τὸ τῆς Καλλιςοῦς, εὑρίσκει τοῦτο δεινότερον· ἄμφω γὰρ τῷ Διῒ ὁμιλήσασαι, οὐχ ὁμοίῳ πάθει ἐχρήσαντο· ἡ μὲν γὰρ, καίτοι εἰς φύσιν θηρος μεταμεμόρφωται, ἀλλὰ κἀν τοῖς ἄστροις ἠξιώθη καταταχθῆναι· ἡ δε δυςυχὴς Λήδα ἀγχόνῃ ἐχρήσατο. 378. Λάχνα γυίων] ἐπὶ τῇ τῶν γυίων δασύτητι τινὲς δ' ᾠήθησαν δεῖν γράφειν, λαγχογυίων, ὑφ' ἓν, ἐπιθετικῶς προς τὸ θηρῶν. 379. Λεαίνης] ἀντὶ ἄρκτου, δι' ὁμοιότητα θηριότητος οὕτω μετείληπται· Τιτανίδα δ' αὐτὴν καλεῖ, ὡς δῆθεν ὑπὸ Μέροπος τοῦ Τιτᾶνος σπαρεῖσαν· το δὲ Ἐξήλλαξας, ἐν ἄλλοις κεῖται Ἐξαλλάξασ'· κατὰ δὲ τοῦτο γραπτεον Λείπεις ἀντὶ τοῦ Λύπης ἑξῆς.

Χρυσοκέρωτ' ἔλαφον Μέροπος Τιτανίδα κούραν
Καλλοσύνας ἕνεκεν· τὸ δ' ἐμὸν δέμας
Ὤλεσεν, ὤλεσε Πέργαμα Δαρδανίας ὀλο-
Μένους τ' Ἀχαιούς.

## ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΜΕΝΕΛΑΟΣ, ΓΡΑΥΣ, ΕΛΕΝΗ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΜΕ. Ὦ τὰς τεθρίππους Οἰνομάῳ Πίσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
Εἴθ' ὤφελες τόθ' ἡνίκ' ἔρανον ἐς θεοὺς
Πρισθεὶς ἐποίεις, ἐν θεοῖς λιπεῖν βίον,
Πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
Ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον' ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν·
Πλεῖστον γὰρ οἶμαι, -καὶ τόδ' οὐ κόμπῳ λέγω,
Στράτευμα κώπῃ διορίσαι Τροίαν ἔπι
Τύραννος, οὐδὲν πρὸς βίαν στρατηλατῶν,
Ἑκοῦσι δ' ἄρξας Ἑλλάδος νεανίαις.
Καὶ τοὺς μὲν οὐκέτ' ὄντας ἀριθμῆσαι πάρα,
Τοὺς δ' ἐκ θαλάσσης ἀσμένως πεφευγότας,
Νεκρῶν φέροντας ὀνόματ' εἰς οἴκους πάλιν.
Ἐγὼ δ' ἐπ' οἶδμα πόντιον γλαυκῆς ἁλὸς

386. Οἰνομάῳ] μέτιθι, ἃ ἐσημειωσάμεθα ἐν τῷ προλόγῳ τῆς Ἰφιγενείας ἐν

γὰρ ποθ' ἡ Ἄρτεμις τὴν Τιτανίδα, τὴν θυγατέρα φημὶ τοῦ Μέροπος, ἐξήλασε τοῦ χοροῦ τῶν Νυμφῶν, κάλλους ἕνεκα εἰς χρυσόκερων ἔλαφον μεταβαλοῦσα· τὸ δ' ἐμὸν τοῦτο κάλλος ἀπώλεσ', ἀπώλεσε τούς τε Τρῶας καὶ Ἕλληνας.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΜΕΝΕΛΑΟΣ, ΓΡΑΥΣ, ΕΛΕΝΗ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΜΕ. Ὦ Πέλοψ, ὁπότ' ἐν Πίσῃ ἀγωνισάμενος πρὸς Οἰνόμαον περὶ τοῦ τεθρίππου, εἴθ' ὤφειλες ἐκλιπεῖν τότε τὸν βίον, ἡνίκα σφαγεὶς παρετέθης τοῖς θεοῖς εἰς εὐωχίαν, πρὶν τὸν ἐμὸν πατέρα φῦσαι, οὗ καὶ τῆς Ἀερόπης Ἀγαμέμνων τε κἀγὼ ἡ περικλεὴς ἐγενόμεθα ξυνωρίς. καὶ τοῦτ' οὐ κόμπος ἁπλῶς ἐστι λόγων· ἴσασι γὰρ ἅπαντες, ὅσῳ στρατῷ ἑκόντων τῶν Ἑλλήνων ἡγούμενος, κοὐδὲν πρὸς βίαν πράττων, ἔπλευσα ἐπὶ Τροίαν· ἔνθα οἱ μὲν ἔπεσον ἐν μάχαις· οἱ δὲ περιγενόμενοι, διαφυγόντες ἄσμενοι τοὺς ἐν τῇ θαλάσσῃ κινδύνους, ἤνεγκαν πάλιν τὰ ὀνόματα τῶν μετὰ καλλίστης ἀποθανόντων δόξης· ἐγὼ δ' ὁ δυστυχὴς ἀλῶμαι ἐπὶ τῶν κυ-

---

Ταύροις. 394. Διορίσαι] ὀρθῶς ἔχει οὕτως· ἐν ἄλλοις δὲ κεῖται, διορίσας. 396. Ἑκοῦσι δὲ ἄρξας] περιποιητικώτερον δοτικῇ συνῆψε το, Ἄρξας, ἀντὶ τοῦ

Τλήμων ἀλῶμαι χρόνον, ὅσονπερ Ἰλίου
Πύργους ἔπερσα; κεἰς πάτραν χρῄζων μολεῖν,
Οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης τ' ἐρήμους ἀξένους τ' ἐπιδρομὰς
Πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
Πάλιν μ' ἀπωθεῖ πνεῦμα, κοὔποτ' οὔριον
Εἰσῆλθε λαῖφος, ὥστε μ' ἐς πάτραν μολεῖν.
Καὶ νῦν τάλας ναυαγὸς, ἀπολέσας φίλους,
Ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτρας
Πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
Τρόπις δ' ἐλείφθη ποικίλων ἁρμοσμάτων,
Ἐφ' ἧς ἐσώθην μόλις ἀνελπίστῳ τύχῃ
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω·
Ὄνομα δὲ χώρας, ἥτις ἥδε καὶ λεὼς,
Οὐκ οἶδ'· ὄχλον γὰρ ἐσπεσεῖν ᾐσχυνόμην,
Ὥσθ' ἱστορῆσαι τὰς ἐμὰς δυσχλαινίας,
Κρύπτων ὑπ' αἰδοῦς τὰς τύχας. ὅταν δ' ἀνὴρ
Πράξῃ κακῶς ὑψηλὸς, εἰς ἀηθίαν
Πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
Χρεία δὲ τείρει μ'· οὔτε γὰρ σῖτος πάρα,
Οὔτ' ἀμφὶ χρῶτ' ἐσθῆτες· αὐτὰ δ' εἰκάσαι
Πάρεστι· ναὸς ἐκβόλοις ἀμπίσχομαι.
Πέπλους δὲ τοὺς πρὶν, λαμπρα τ' ἀμφιβλήματα,

ἡγούμενος αὐτοῖς, διὰ τὸ ἑκουσίως ἐκείνους ὑπεῖξαι. 416. Ἱστορῆσαι] πότερον, ἵνα μὴ αὐτὸς ἱστορήσῃ, εἴτουν δείξῃ τοῖς ἄλλοις τὴν φαύλην ἐσθῆτα, ἢ ἵνα μὴ ἐκεῖνοι ἴδωσιν, εἴτουν μάθωσι ταύτην; τὸ δεύτερον ἄμεινον ἔοικε.

μάτων οὐκ ἐλάσσω χρόνον, ἢ ὅσον τυγχάνω Τροίαν συνεξῃρηκώς· βουλόμενος γὰρ ἀπονοστῆσαι οἴκαδε, οὐχ οἷός τε εἰμὶ τοῦτο πρὸς τῶν θεων εὑρέσθαι, ἄλλοτ' ἄλλοσ' ἐπ' ἐρήμους καὶ ἀξένους καταφυγὰς κατὰ τὴν Λιβύην τυγχάνω ἁρπαζόμενος ὑπὸ τῶν κυμάτων ἐπειδὰν γὰρ ἐγγὺς γένωμαι τῆς πατρίδος, πνεῦμ' αἴφνης ἐπιγενόμενον ἐναντίον, ἀντωθεῖ πάλιν, κοὐδέποτ' ἐθέλει πρὸς αὐτὴν τὴν πατρίδα ἀποκολπῶσαι τὸ ἱστίον· καὶ νῦν ὁ ταλαίπωρος ἐγὼ, ναυαγήσας, τῆς νεὼς εἰς μυρία πρὸς τοὺς σκοπέλους διαλυθείσης ναυάγια, καὶ τοὺς φίλους ἀπολέσας, ἐξέπεσον ὧδε ἐπὶ τῆς τρόπιδος μόνης σὺν τῇ Ἑλένῃ, ἣν ἀποσπάσας ἀπὸ τῆς Τροίας ἔχω, διασωθεὶς παρὰ προσδοκίαν· τίς δὲ ἡ χώρα αὕτη, καὶ τίνες οἱ ἐνοικοῦντες οὐκ ἔχω συμβαλεῖν· παραγενέσθαι δὲ πρὸς τὸ πλῆθος οὐκ ἀξιῶ, τάτε ῥάκη ταῦτα καὶ σὺν αὐτοῖς τὴν ἐμαυτοῦ δυστυχίαν φανερὰν ἐκείνοις ποιεῖν αἰσχυνόμενος· ἀνὴρ γὰρ λαμπρᾶς τυχὼν τύχης, ἐπειδὰν τῆς ἐναντίας ποτὲ εἰς πεῖραν ἔλθῃ, οὐχ ὁμοίως φέρει τὴν μεταβολὴν τῷ πάλαι πράττοντι κακῶς· χωρὶς δὲ τούτων πιέζει με ἀδυσωπήτως καὶ ἡ χρεία τῶν ἐπιτηδείων· οὔτε γὰρ σῖτος πάρεστιν, οὔτ' ἐσθὴς περὶ τὸ σῶμα· ἃ δ' ἀμπίσχομαι νῦν, ταῦτ' οὐδὲν χαλεπὸν ἐστιν εἰκάσαι ἐκβράσματα τῶν τῆς νεὼς ναυαγίων ἄθλια εἶναι, τῶν πρὶν λεπτῶν πέπλων, καὶ τῆς

420. Σῖτος] γραπτέον μᾶλλον, σῖτον ἐν οὐδετέρῳ γένει· σῖτος μὲν γάρ ἐστι πυρὸς ἀκατέργαστος· τὸ δὲ σῖτον καὶ σιτίον, πυρὸς εἰς βρῶσιν κατειργασμένος,

Χλιδάς τε πόντος ἥρπασ᾽, ἐν δ᾽ ἄντρου μυχοῖς
Κρύψας γυναῖκα, τὴν κακῶν πάντων ἐμοὶ
Ἄρξασαν, ἥκω, τούς γε περιλελειμμένους
Φίλων φυλάσσειν τἄμ᾽ ἀναγκάσας λέχη.
Μόνος δὲ νοσῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
Τὰ πρόσφορ᾽, ἤν πως ἐξερευνήσας λάβω.
Ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε,
Πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινὸς,
Προσῆλθον· ἐλπὶς δ᾽ ἔκ γε πλουσίων δόμων
Λαβεῖν τι ναύταις, ἐκ δὲ μὴ ᾿χόντων βίον,
Οὐδ᾽ εἰ θέλοιεν, ὠφελεῖν ἔχοιεν ἄν.
Ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
Ὅστις διαγγείλειε τἄμ᾽ εἴσω κακά;

ΓΡ. Τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξη δόμων,
Καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις,
Ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανῇ
Ἕλλην πεφυκὼς, οἷσιν οὐκ ἐπιστροφαί.

ΜΕ. Ὦ γραῖα, ταῦτα πάντ᾽ ἔπη καλῶς λέγεις.
Ἔξεστι· πείσομαι γάρ· ἀλλ᾽ ἄνες λόγον.

ΓΡ. Ἄπελθ᾽· ἐμοὶ γὰρ τοῦτο πρόκειται, ξένε,
Μηδένα πελάζειν τοισίδ᾽ Ἑλλήνων δόμοις.

ΜΕ. Ἆ· μὴ πρόσειε χεῖρα, μηδ᾽ ὤθει βίᾳ.

ΓΡ. Πείθῃ γὰρ οὐδὲν, ὧν λέγω· σὺ δ᾽ αἴτιος.

ΜΕ. Ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς

---

οἷος ὁ ἄρτος, καὶ ὅ,τι δήποτε. 445. Μὴ πρόσεις χεῖρα] ἐν ἄλλοις δὲ γρα, προσείλει, καὶ προσείλα, ἐκ τοῦ προσελαύνειν, ἢ προσελᾶν, προσέλα καὶ προσείλα· ἄμφω δὲ εἰς ταὐτὸν ἥκει σημασίας· ὁ μὲν γὰρ ἄψασθαι δοκεῖ τῆς θύ-

λαμπρᾶς ἐσθῆτος μετὰ τῆς ἄλλης Ἑλληνικῆς τρυφῆς ἀπολεσθέντων πάντων· καὶ νῦν καταλιπὼν τὴν γυναῖκα, τὴν πάντων τῶν κακῶν μοι γενομένην αἰτίαν ἐν σπηλαίῳ, καὶ τῶν φίλων τοὺς ὑπολελειμμένους φυλάσσειν ἐκείνην, ἦλθον ὧδε, μόνος περινοστῶν, σωτηρίαν τοῖς ἐκεῖ, εἰ οἷός τ' εἴην ποθὲν, εὑρησόμενος· ἰδὼν δὲ τὰ ἀνάκτορα ταῦθ' οὕτω σεμνὰ περιβόλοις τε καὶ θριγκοῖς καὶ τῇ ἄλλῃ εὐδαιμονίᾳ, οἷα εἰκὸς εἰκάσαι ἀνδρὸς πλουσιου εἶναι, προσῄειν θαῤῥῶν· ἀνδράσι γὰρ χειμαζομενοις ὕπεστιν ἀεὶ ἐλπὶς παρ' εὐδαιμόνων ἂν οἰκτόν τινα εὑρέσθαι· ἐκ δὲ τῶν μηδὲν ἐχόντων τί ἄν τις λάβοι, κἂν προαιρῶνται δοῦναι; Ἀλλὰ ποῦ ποτ' ἂν ἴδοιμι τὸν θυρωρὸν, ὡς ἂν τὰς ἐμὰς δυστυχίας ἀγγείλειε τοῖς ἔνδον.

ΓΡ. Τίς ἐστι πρὸ τῶν πυλῶν; τὶ βουλόμενος, ὦ οὗτος, πράγματα παρέξεις τοῖς δεσπόταις; οὐκ ἀπαλλάξῃ αὐτίκα μάλα; οἰμώξεις ἄρ'. ὦ ταλαίπωρε, ἀποθανὼν, εἴγ' Ἕλλην εἶ, οἷς ἄξενα καὶ ἀπρόσιθ' ὅλως εισὶ τὰ τῇδε·

ΜΕ. Ὦ γεραιὰ, ταῦτα μὲν καλῶς εἴρηταί σοι, καὶ πείσομαί γε τούτοις· ἀλλά μοι δὸς πρῶτον λέγειν.

ΓΡ. Ἄπελθ', ἄπελθε, ὅσον τάχος. τοῦτο γὰρ ἐμοί ἐστι προςεταγμένον, μηδένα τῶν Ἑλλήνων ἐᾶν ἐνταῦθα προσιέναι.

ΜΕ. Ἆ, ἆ! τὶ ὠθεῖς με βίᾳ, τὴν χεῖρ' ἐπιβαλοῦσα;

ΓΡ. Σὺ γὰρ αἴτιος, μὴ πειθόμενος, οἷς λέγω.

ΜΕ. Ἴθι ἄγγειλόν με ἔνδον τοῖς σοῖς δεσπόταις.

---

ρας, ἢ ὅτου δὴ, βουλόμενος εἰσιέναι· ἡ δὲ ἐμφράξασα τὴν εἴσοδον τῇ χειρὶ ἐξώθει.

ΓΡ. Πικρῶς ἂν οἶμαί γ' ἀγγελεῖν τοὺς σοὺς λόγους.
ΜΕ. Ναυαγὸς ἥκω, ξένος, ἀσύλητον γένος.
ΓΡ. Οἶκον πρὸς ἄλλον νύν τιν' ἀντὶ τοῦδ' ἴθι.
ΜΕ. Οὐκ, ἀλλ ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.
ΓΡ. Ὀχληρὸς ἴσθ' ὤν· καὶ τάχ' ὠσθήσῃ βίᾳ.
ΜΕ. Αἶ, αἶ! τὰ κλεινὰ ποῦ 'στί μοι στρατεύματα;
ΓΡ. Οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ', οὐκ ἐνθάδε.
ΜΕ. Ὦ δαῖμον, ὡς ἀνάξι' ἠτιμώμεθα!
ΓΡ. Τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν' οἰκτρὸς εἶ;
ΜΕ. Πρὸς τὰς πάροιθεν συμφορὰς εὐδαίμονας.
ΓΡ. Οὐκοῦν ἀπελθὼν, δάκρυα σοῖς δώσεις φίλοις.
ΜΕ. Τίς δ' ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;
ΓΡ. Πρωτεὺς τάδ' οἰκεῖ δώματ', Αἴγυπτος δὲ γῆ.
ΜΕ. Αἴγυπτος; ὢ δύστηνος, οἷ πέπλευκ' ἄρα!
ΓΡ. Τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γένος;
ΜΕ. Οὐ τοῦτ' ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
ΓΡ. Πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
ΜΕ. Ἔστ' οὖν ἐν οἴκοις, ὅντιν' ὀνομάζεις, ἄναξ;
ΓΡ Τόδ' ἐστὶν αὐτοῦ μνῆμα, παῖς δ' ἄρχει χθονός.
ΜΕ. Ποῦ δῆτ' ἂν εἴη; πότερον ἐκτὸς' ἢ 'ν δόμοις;
ΓΡ. Οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
ΜΕ. Τίν' αἰτίαν σχὼν, ἧς ἐπηυρόμην ἐγώ;
ΓΦ. Ἑλένη κατ' οἴκους ἐστὶ τούσδ', ἡ τοῦ Διός.
ΜΕ. Πῶς φῄς, τίν' εἶπας μῦθον; αὖθίς μοι φράσον.
ΓΡ. Ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ' ἦν.
ΜΕ. Πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ' ἔχει λόγον;
ΓΡ. Λακεδαίμονος γῆς δεῦρο νοστήσασ' ἄπο.
ΜΕ. Πότ'; οὔτι που λελῄσμεθ' ἐξ ἄντρων λέχος;

ΓΡ. Ὡς πικρὸν τοῦτο τὸ ἄγγελμά σοι ἔσται.

ΜΕ. Ναυαγὸς ἦλθον, ὢν ἀπαραβίαστον τὸ γένος.

ΓΡ. Ὄντως· ἀλλ' ἴθι πρὸς ἄλλον τινὰ οἶκον.

ΜΕ. Οὔκ, ἀλλ' ἔα με ἐνταῦθα εἰσιέναι.

ΓΡ. Ὀχληρὸς ὤν, ἴσθι, ὡς ἀπαλλάξεις βίᾳ.

ΜΕ. Αἶ, αἶ· ποῦ μοι νῦν ςρατὸς ὁ ἐν Ἰλίῳ!

ΓΡ. Ἐκεῖ μέγας ἦσθα· ὧδε μὴ φρόνει οὕτως·

ΜΕ. Ὦ τύχη, ὡς ἀνάξια πάσχω ταῦτα·

ΓΡ. Πρὸς τί δακρύεις; τίνα τοῦτον οἰκτίζῃ οἶκτον;

ΜΕ. Πρὸς τὴν ὑπάρξασάν μοί ποτε εὐδαιμονίαν.

ΓΡ. Οὐκοῦν ἄπελθε δακρύσων τοῖς σοῖς φίλοις.

ΜΕ. Τίς δὲ ἡ χώρα καὶ ἡ οἰκία αὕτη;

ΓΡ. Αἴγυπτός ἐςιν· ὁ δὲ οἶκος τοῦ Πρωτέως.

ΜΕ. Τί φής; Αἴγυπτος; φεῦ μοι τῆς δυςυχίας;

ΓΡ. Τίς ἡ μέμψις σοι ἥδε πρὸς τοὺς ἐν Αἰγύπτῳ;

ΜΕ. Τὴν ἐμαυτοῦ μᾶλλον μέμφομαι δυσπραξίαν.

ΓΡ. Οὐ μόνος, ἀλλὰ πολλοὶ καὶ ἄλλοι δυςυχοῦσιν.

ΜΕ. Ἔνδον δ', ὃν ἔφης δεσπότην, ἐςιν οὗτος;

ΓΡ. Τούτου μὲν τάφος ὅδε· ὁ δὲ παῖς αὐτοῦ ἄρχει.

ΜΕ. Πότερον δ' οὗτος, ἔνδον ἐςὶν, ἢ ἔξω;

ΓΡ. Οὐκ ἔνδον· πολέμιος δὲ τῶν Ἑλλήνων·

ΜΕ. Ἔγκλημα δὲ τί, οὗ ἂν ἐγὼ μετέσχον;

ΓΡ. Ἑλένη γὰρ ἔνδον ἡ τοῦ Διός ἐςι κόρη.

ΜΕ. Τί φής; λέγ' αὖθις σαφέςερον, ὦ γύναι.

ΓΡ. Τυνδαρὶς ἐκείνη ἡ ποτὲ ἐν τῇ Σπάρτῃ·

ΜΕ. Πόθεν ἐλθοῦσα, ὥςεγε καὶ πιςεῦσαι;

ΓΡ. Πόθεν ἄλλοθεν, ἢ ἐξ αὐτῆς τῆς Σπάρτης;

ΜΕ. Πότε; μή τις αὐτὴν ἀφείλετό με ἐκ τοῦ ἄντρου;

ΓΡ. Πρὶν τοὺς Ἀχαιοὺς, ὦ ξέν', ἐς Τροίαν μολεῖν.
Ἀλλ' ἕρπ' ἀπ' οἴκων· ἔστιν γάρ τις ἐν δόμοις
Τύχη, τύραννος ᾗ ταράσσεται δόμοις.
Καιρὸν γὰρ οὐδέν' ἦλθες· ἢν δὲ δεσπότης
Λάβῃ σε, θάνατος ξένιά σοι γενήσεται.
Εὔνους γάρ εἰμ' Ἕλλησιν, οὐχ ὅσον πικροὺς
Λόγους ἔδωκα, δεσπότην φοβουμένη.

ΜΕ. Τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
Ἐκ τῶν πάροιθεν τὰς παρεστώσας κλύω,
Εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
Ἥκω δάμαρτα, καὶ κατ' ἄντρα σώζεται,
Ὄνομα δὲ ταὐτὸν τῆς ἐμῆς ἔχουσά τις
Δάμαρτος ἄλλη, τοισίδ' ἐνναίει δόμοις.
Διός γ' ἔλεξε παῖδά νιν πεφυκέναι.
Ἀλλ' ἦ τίς ἐστι Ζηνὸς ὄνομ' ἔχων ἀνὴρ
Νείλου παρ' ὄχθας; εἷς γὰρ ὅγε κατ' οὐρανόν.
Σπάρτη δὲ ποῦ γῆς ἐστὶ, πλὴν ἵνα ῥοαὶ
Τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;
Ἁπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται.
Λακεδαίμονος δὲ γαῖά τις ξυνώνυμος
Τροίας τε; ἐγὼ μὲν οὐκ ἔχω, τί χρὴ λέγειν.
Πολλοὶ γὰρ, ὡς εἴξασιν, ἐν πολλῇ χθονὶ
Ὀνόματα ταὔτ' ἔχουσι, καὶ πόλις πόλει,
Γυνὴ γυναικί τ'· οὐδὲν οὖν θαυμαστέον.
Οὐδ' αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα.
Ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας,

---

497. Ὡς εἴξασι] ἐοίκασι, ἀπὸ τοῦ εἴκω. 505. Ἔχει δέμοι] τοῦτο δη

ΓΡ. Πρὶν τοὺς Ἕλληνας εἰς Τροίαν ἐπιπλεῦσαι. ἀλλὰ σύγε νῦν σωφρονῶν, ἀπαλλάττου ἐντεῦθεν τὴν ταχίστην. οὐ γὰρ εἰς καιρὸν ἦλθες, ταραχῆς οὔσης ἔνδον· καὶ ἢν ἐμπέσῃς εἰς χεῖρας τοῦ δεσπότου, θάνατός σοι ἀντὶ ξενίων ἔσται· ἴσθι γάρ με ὡς μάλιστα τοῖς Ἕλλησιν εὐνοοῦσαν· εἰ δὲ πικρότερον, ἢ ὡς ἔδει, ἐδεξάμην σε τὸ πρῶτον, τοῦτ' ἦν μοι ὁ φόβος τοῦ δεσπότου.

ΜΕ. Ὦ τῶν μεγίστων συμφορῶν, αἷς αὖθις ἐγὼ τυγχάνω περιπεπτωκώς! τί εἴπω νῦν γ' αὖ περὶ ὧν ἀκούω παρὰ ταύτης, εἰ ἣν μὲν ἐκ Τροίας ἧκον ἄγων γυναῖκα, αὕτη μοι σώζεται ἐν τῷ ἄντρῳ· ἑτέρα δέ τις ὁμώνυμος ἐκείνης ἐστὶν ἐν τῇ οἰκίᾳ τῇδε; Διὸς γὰρ τὸ γραΐδιον ἔφη ἐκείνην παῖδα εἶναι· ἀλλ' εἴτις ἀνὴρ, Ζεὺς ἀκούων, παρὰ ταῖς ὄχθαις ἐστὶ τοῦ Νείλου, ἐγὼ μὲν οὐκ οἶδα· εἷς γὰρ Ζεὺς ὁ ἐν οὐρανῷ· ἓν δὲ καὶ τὸ Τυνδάρειον ὄνομα ἐξακούεται· Σπάρτη δ' αὖ ποῦ ἂν εἴη ἑτέρα ἐπὶ γῆς, πλὴν ἣν ὁ καλλιδόναξ ἀρδεύει Εὐρώτας, μόνη; ποῦ δὲ Λακεδαίμονος, ἢ καὶ Τροίας αὐτῆς ἑτέρα συνώνυμος ἂν εἴη χώρα; ἐγὼ μὲν οὐκ ἔχω τί φῶ πρὸς ταῦτα· πολλοὶ γὰρ, ὡς ἔοικεν, ἐν ἀπλέτῳ τῇ οἰκουμένῃ ταὐτὰ ὀνόματ' ἔχουσι, καὶ ὁμοίας τὰς προσηγορίας, γυνὴ γυναικὶ, πόλις τε πόλει, καὶ χώρα ἑτέρα χώρᾳ συνωνυμοῦντα· οὔκουν δεῖ θαυμάζειν, εἰ πάνθ' ὁμοῦ ταῦτα τυγχάνει συμπεσόντα· ἀλλ' οὐδ' ὃ πάλιν ἠπείληταί μοι παρὰ τῆς γεραιᾶς πείσεσθαί με, δέδοικα· τίς γὰρ οὕτω βάρβαρος καὶ σκαιὸς ἂν εἴη τὰς

Ὃς, ὄνομ' ἀκούσας τοὐμὸν, οὐ δώσει βορᾶν.
Κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ', ὃς ἧψά νιν,
Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσῃ χθονί.
Δόμων ἄνακτα προσμενῶ γ'· ἔχει δέ μοι
Δισσὰς φυλάξεις· ἢν μὲν ὠμόφρων τίς ᾖ,
Κρύψας ἐμαυτὸν, εἶμι πρὸς ναυάγια·
Ἢν δ' ἐνδιδῷ τι μαλθακὸν, τὰ πρόσφορα
Τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.
Κακῶν δὲ γ' ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
Ἄλλους τυράννους, αὐτὸν ὄντα βασιλέα,
Βίον προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει.
Λόγος γάρ ἐστιν οὐκ ἐμὸς, σοφῶν δ' ἔπος,
Δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.

ΧΟ. Ἤκουσα τᾶς θεσπιῳδοῦ κόρας,
Ἃ χρήζουσ' ἐφάνη τυράννοις
Δόμοις, ὡς Μενέλαος οὔπω
Μελαμφαὲς οἴχεται
Δι' ἔρεβος, χθονὶ κρυφθεὶς,
Ἀλλ' ἔτι κατ' οἶδμ' ἅλιον
Τρυχόμενος οὔπω λιμένων
Ψαύσειε πατρίας γᾶς,
Ἀλατείᾳ βιότου
Ταλαίφρων, ἄφιλος φίλων,
Παντοδαπᾶς ἐπὶ γᾶς
Πόδα χριμπτόμενος εἰναλίῳ
Κώπᾳ Τρῳάδος ἐκ γᾶς.

---

Ἐννόστι τὸ προσμεῖναί τὸν ἄνακτα παρέχει μοι διττῶς αὐτὸν φυλάξασθαι, ἢ

φρένας, ὅς ἀκούσας ἐλθόντα Μενέλαον, οὐδώσει τἀναγκαῖα; περίπυστος γάρ ἐστιν ὁ ἐμπρησμὸς τῆς Τροίας· καὶ ὁ τὸ πῦρ ἀνάψας εἰμὶ ἐγὼ, οὐκ ἀγνὼς ἀνὴρ οὐδενί. Οὔκουν ἀναμενῶ ἐνταῦθα τον κύριον τῆς οἰκίας· ἔξεστι δέ μοι διττήν τινα πρόνοιαν λαβεῖν τῆς ἐμαυτοῦ σωτηρίας· ἢν μὲν γὰρ αἴσθωμαι ὠμὸν ὄντ' ἐκεῖνον, κρύψας ἐμαυτὸν, ὅστις εἰμὶ, καταφευξοῦμαι αὖ, ἔνθα τῆς ἐμῆς νεὼς ἐστι τὰ ναυάγια· εἰδὲ ἐνδείξειέ τι φιλάνθρωπον, αἰτήσομαι παρ' αὐτοῦ, ἃ ἡ παροῦσα ἀναγκάζει με συμφορὰ καὶ οἶδα μὲν ἔσχατον τοῦτ' ἔμοιγε πάντων κακῶν ὄν, αὐτὸν βασιλέα ὄντα, ἄλλους τυράννους τἀπιτήδεια προσαιτεῖν· ἀλλ' ἀναγκαίως ἔχει συγκαταβαίνειν, τῷ καιρῷ συγχωροῦντα· εἴρηται γὰρ οὐκ ἐμοὶ, ἀλλ' ἀνδράσιν ἐμοῦ πολλῷ σοφωτέροις, ὡς ἀνάγκης δεινῆς οὐδὲν ἰσχύει πλέον.

ΧΟ. Οὐκοῦν ψευδές ἐστι τεθνᾶναι Μενέλαον, καὶ εἰς τὸ ζοφερὸν ἔρεβος, ὅπερ λέγεται, κατελθεῖν· ἡ γὰρ θεσπιῳδὸς κόρη, ἡ τὰ βασίλεια ταυτὶ κατοικοῦσα, ζῆν ἐκεῖνον ἔφη, χειμαζόμενον ἐν πολλοῖς διαύλοις κυμάτων, οὔπω προσχόντα Πελοποννήσῳ, ἀλλ' ἐξ ἄλλων ἀεὶ ἀπὸ Τροίας πρὸς ἄλλα πελάγη ἀποπλανώμενον, φίλων τε ἐστερημένον, καὶ γῆν ἐκ γῆς παραμείβοντα εἰρεσίᾳ·

---

διαφυγεῖν ὠμὸν ὄντα, ἢ θεραπεῦσαι, χρηστὸν εἰς ἐμὲ γενόμενον. ὥστε λαβεῖν τι παρ' αὐτοῦ. 515. Ἤκουσα τῆς Θεσπιῳδοῦ] Θεονόης· νῦν δ' ἐπανήκεν ὁ Χορὸς, ἐξελθών πως παρὰ τὸ προσῆκον, καὶ μετ' ὀλίγον εἰσέρχεται καὶ ἡ Ἑλένη· τὸ δὲ χρήζουσα ἀντὶ τοῦ χρησμῳδοῦσα ἄνευ ὑπογεγραμμένου, φασὶν, Ἰῶτα· χρήζουσ' ἐφάνη ἀντὶ τοῦ, ἔχρησε. 519. Δι' ἔρεβος] οὔπω οἴχεται εἰς τὸ

ΕΛ. Ἤδ' αὖ τάφου τοῦδ' εἰς ἕδρας ἐγὼ πάλιν
Στείχω, μαθοῦσα Θεονόης φίλους λόγους,
Ἣ πάντ' ἀληθῶς οἶδε· φησὶ δ' ἐν φάει
Πόσιν τὸν ἀμὸν ζῶντα φέγγος εἰσορᾶν,
Πορθμοὺς δ' ἀλᾶσθαι μυρίους πεπλευκότα
Ἐκεῖσε κἀκεῖσ' οὐδ' ἀγύμναστον πλάνοις
Ἥξειν, ὅταν δὴ πημάτων λάβῃ τέλος.
Ἓν δ' οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται.
Ἐγὼ δ' ἀπέστην τοῦτ' ἐρωτῆσαι σαφῶς,
Ἡσθεῖσ', ἐπεί νιν εἶπέ μοι σεσωσμένον.
Ἐγγὺς δὲ νίν που τῆσδ' ἔφασκ' εἶναι χθονὸς,
Ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις.
Ὤ, μοι πόθ' ἥξεις, ὡς ποθεινὸς ἂν μόλοις!
Ἔα, τίς οὗτος; οὔτι που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
Οὐχ ὡς δρομαία πῶλος, ἢ Βάκχη θεοῦ,
Τάφῳ ξυνάψω κῶλον; ἄγριος δέ τις
Μορφὴν ὅδ' ἐστὶν, ὅς με θηρᾶται λαβεῖν.

ΜΕ. Σὲ τὴν ὄρεγμα δεινὸν ἡμελλημένην
Τύμβου 'πὶ κρηπῖδ' ἐμπύρους τ' ὀρθοστάτας.
Μεῖνον· τί φεύγεις; ὡς δέμας δείξασα σὸν,
Ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστίθης.

ΕΛ. Ἀδικούμεθ', ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
Τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ' ἑλὼν, θέλει
Δοῦναι τυράννοις, ὧν ἐφεύγομεν γάμους.

---

μελεμφαὲς (ζοφῶδες) ἔρεβος (σκότος) κρυφθεὶς (ὑπὸ) χθονί 541. Ἔα· τίς οὗτος; αἴφνης στραφεῖσα, εἶδε Μενέλαον πλησιάζοντα πρὸς αὐτὴν, καὶ ἐνέδραν εἰ-

ΕΛ. Ἐπειδὴ τυγχάνω μαθοῦσα φίλα παρὰ τῆς Θεονόης, καθέζομαι αὖθις παρὰ τῷ τάφῳ· ἐκείνη γὰρ, ὡς πάντ' εἰδοῦσα σαφῶς, τὸν ἐμὸν ἄνδρα φησὶ περιεῖναι. ἀλῆσθαι δε κατὰ πορθμοὺς μυρίους. ἥξειν δέ ποτε μετὰ πολλοὺς κινδύνους, ἐπειδὰν πληρωθῇ αὐτῷ τὸ πεπρωμένον· ἓν δὲ μόνον ἐνδεῖ μοι, ὅτι οὐκ εἴρηκέ μοι, εἰ ἐλθὼν, σωθήσεται ἐντεῦθεν· κἀγὼ ὑφ' ἡδονῆς τῶν πρώτων, ἐπελαθόμην ἀνιστορῆσαι τὴν μάντιν περαιτέρω· ἔφη γὰρ ἐγγύς που ἐκεῖνον εἶναι, ἐκ ναυαγίου περισωθέντα σὺν ὀλίγοις τῶν φίλων· ἀλλ' ὅπως πόθ' ἥξεις, ὡς ποθεινὸς ἔμοιγ' ἔσῃ ἐλθών. Ἀλλ' ἔα! τίς οὗτος; ἆρ' οὐχ ὑπὸ τῆς τοῦ παιδὸς τοῦ Πρωτέως κακοβουλίας ἐνεδρεύομαι; οὐχ ὡς πῶλος δρομαία, ἢ Βάκχη τις, ἀντιλήψομαι δραμοῦσα τοῦ τάφου τούτου; ἄγριον γὰρ ἄνδρα ὁρῶ τουτονὶ, ὃς ἔρχεται συλληψόμενός με.

ΜΕ. Ὦ γύναι· σὲ καλῶ τὴν ταχεῖ ποδὶ, καὶ βήματι μεγάλῳ πρὸς τὸν τάφον σπεύδουσαν τουτονὶ, ἐφ' οὗ πολλὰ πέμματα νεκροῖς ὁρῶ ἐπιτεθειμένα, μεῖνον μικρὸν, τί φεύγεις οὕτως; ἅμα γὰρ ἰδὼν τὸ σὸν εἶδος, καταπέπληγμαι ὅλως.

ΕΛ. Γυναῖκες φίλαι, ἀρήγετε, βοηθεῖτε· δεινὰ γὰρ ὑπὸ τούτου πάσχω τοῦ ἀνδρὸς εἰργομένη τοῦ τάφου· ᾗς σπεύδει με συλλαβὼν παραδοῦναι τῷ τυράννῳ, οὗ τὸν γάμον ἀποφεύγω.

---

ναι οἰομένη, τρέχει ἁψομένη τοῦ τάφου. 546. Ὄρεγμα δεινὸν ἡμελλημένην] μετ' ἁμίλλης καὶ σπουδῆς κατεπείγουσαν τὸ βῆμα· ὄρεγμα γὰρ τὸ βῆμα ἢ τὸ κίνημα. τὸ δὲ ὀρθοστάτας, εἶδος πλακουντίου προσφερομένου τοῖς νεκροῖς. ἡ δὲ κλίσις αὐτοῦ, ὁ ὀρθοστάτης, καὶ ἡ ὀρθοστάδη, καὶ ἡ ὀρθοστὰς, ὀρθοστάδος.

ΜΕ. Οὐ κλῶπες ἐσμὲν, οὐχ ὑπηρέται κακῶν.
ΕΛ. Καὶ μὴν στολήν γ' ἄμορφον ἀμφὶ σῶμ' ἔχεις.
ΜΕ. Στῆσον, φόβου μεθεῖσα, λαιψηρὸν πόδα.
ΕΛ. Ἵστημ', ἐπεί γε τοῦδ' ἀφάπτομαι τόπου.
ΠΕ. Τίς εἶ; τίν' ὄψιν σὴν, γύναι, προσδέρκομαι;
ΕΛ. Σὺ δ' εἶ τίς; ωὑτὸς γὰρ σὲ κἄμ' ἔχει λόγος.
ΜΕ. Οὐ πώποτ' εἶδον προσφερεστέραν δέμας.
ΕΛ. Ὦ θεοί! θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.
ΜΕ. Ἑλληνὶς εἶ τις, ἢ 'πιχωρία γυνή;
ΕΛ. Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
ΜΕ. Ἑλένῃ σ' ὁμοίαν δὴ μάλιστ' εἶδον, γύναι.
ΛΕ. Ἐγὼ δὲ Μενελάῳ γε σ'· οὐδ' ἔχω, τί φῶ.
ΜΕ. Ἔγνως γὰρ ὀρθῶς ἄνδρα δυστυχέστατον.
ΕΛ. Ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.
ΜΕ. Ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.
ΕΛ. Ἥν σοι δίδωσι Τυνδάρεως ἐμὸς πατήρ.
ΜΕ. Ὦ φωσφόρ' Ἑκάτη, πέμπε φάσματ' εὐμενῆ.
ΕΛ. Οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ' ὁρᾷς.
ΜΕ. Οὐ μὴν γυναικῶν γ' εἷς δυοῖν ἔφυν πόσις.
ΕΛ. Ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;
ΜΕ. Ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.
ΕΛ. Οὐκ ἔστιν ἄλλη σή τις ἀντ' ἐμοῦ γυνή.
ΜΕ. Ἦ που φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;
ΕΛ. Οὐ γάρ με λεύσσων, σὴν δάμαρθ', ὁρᾶν δοκεῖς;
ΜΕ. Τὸ σῶμ' ὅμοιον, τὸ δὲ σαφές μ' ἀποστερεῖ.
ΕΛ. Σκέψαι· τί δ', εἴ τις ἐστί σου σοφώτερος;

---

570. Ἐνοδίας] ἐλέγετο δὲ ἡ Ἑκάτη Ἐνοδία, ὅτι αὐτὴ ἐδόκει αἰτία εἶναι νυκτερινῶν φόβων ἐν διόδοις καὶ τριόδοις· λέγεται δὲ καὶ ὁ Ἑρμῆς Ἐνόδιος ὡς

ΜΕ. Μηδὲν τοιοῦτον πάθῃς· οὐ γὰρ ἐσμὲν ὑβρισταί.
ΕΛ. Καὶ γὰρ ἡ ἐσθὴς αὐτὴ φοβερόν σε δεικνύει.
ΜΕ. Ἐπίσχες, στῆθι, μεθεῖσα πάντα φόβον.
ΕΛ. Νῦν γε ἵσταμαι, δραξαμένη τοῦ τάφου.
ΜΕ. Τίς εἶ; τὸ σὸν γὰρ ἐξίστησί με εἶδος.
ΕΛ. Τίς δὲ καὶ σύ; κἀμὲ γὰρ τὸ αὐτὸ ἔχει πάθος.
ΜΕ. Οὔπω γὰρ εἶδον ὁμοιοτέραν ὄψιν.
ΕΛ. Ὦ θεοί! θεῖον γὰρ καὶ τὸ γινώσκειν φίλους.
ΜΕ. Ἑλληνὶς τίς εἶ· ἢ τῶν ἐπιχωρίων;
ΕΛ. Ἑλληνίς. νῦν δὲ καὶ τὸ σαυτοῦ μοι λέγε.
ΜΕ. Ὡς μάλιστά σε εἰκάζω τῇ Ἑλένῃ.
ΕΛ. Κἀγώ σε οὐχ ἧττον Μενελάῳ τῷ Ἀτρείδῃ.
ΜΕ. Ὀρθῶς ἔγνως με δυστυχέστατον ἄνδρα.
ΕΛ. Ὦ φίλος· νῦν ἔχεις τὴν σαυτοῦ γυναῖκα.
ΜΕ. Ποίαν γυναῖκα; μή μου ἅπτου τῶν πέπλων.
ΕΛ. Ἣν τυγχάνεις εἰληφὼς ποτε, τὴν Τυνδαρίδα.
ΜΕ. Ὦ φωσφόρ' Ἑκάτη, τί φάσμα ἐστὶ τοῦτο;
ΕΛ. Οὐ φάσμα εἰμὶ ἐκ τῶν τῆς Ἐνοδίας.
ΜΕ. Οὐ γὰρ δυοῖν γυναικῶν ἀνὴρ τυγχάνω.
ΕΛ. Τίνος ἑτέρας πλὴν ἐμοῦ ποτε μόνης;
ΜΕ. Ἣν λαβὼν ἐκ Τροίας φυλάττω πῃ ἐν ἄντρῳ.
ΕΛ. Οὐκ ἂν ἔχοις, πλὴν ἐμοῦ γυναῖχ' ἑτέραν.
ΜΕ. Ἆρ' ἐν τῷ φρονεῖν ἐξαπατῶμαι βλέπων;
ΕΛ. Ἀλλ' ὁρῶν, οὐχ ὁρᾷς τὴν σεαυτοῦ γυναῖκα;
ΜΕ. Τὸ μὲν σῶμ' ὅμοιον, ἕτερον δ' ἀντικρούει.
ΕΛ. Ἴδε, τί ἔτι δεῖ; τίς οἶδε σοῦ μᾶλλον ταῦτα;

κῆρυξ, καὶ ἡγεμὼν τῆς ὁδοῦ τοῖς πορευομένοις. 578. Τίδ', εἴτις] ἐν ἄλλοις

ΜΕ. Ἔοικας· οὔ τοι τοῦτό γ' ἐξαρνήσομαι.
ΕΛ. Τίς οὖν διδάξει σ' ἄλλος, ἢ τὰ σ' ὄμματα;
ΜΕ. Ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ' ἄλλην ἔχω.
ΕΛ. Οὐκ ἦλθον ἐς γῆν Τρῳάδ', ἀλλ' εἴδωλον ἦν.
ΜΕ. Καὶ τίς βλέποντα σώματ' ἐξεργάζεται;
ΕΛ. Αἰθὴρ, ὅθεν σὺ θεοπόνητ' ἔχεις λέχη.
ΜΕ. Τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
ΕΛ. Ἥρας διάλλαγμ', ὡς Πάρις με μὴ λάβοι.
ΜΕ. Πῶς οὖν ἂν ἐνθάδ' ἦσθά τ', ἐν Τροίᾳ θ' ἅμα;
ΕΛ. Τοὔνομα γένοιτ' ἂν πολλαχοῦ, τὸ σῶμα δ' οὔ.
ΜΕ. Μέθες με, λύπας ἅλις ἔχων ἐλήλυθα.
ΕΛ. Λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν' ἐξάξεις λέχη;
ΜΕ. Καὶ χαῖρέ γ', Ἑλλένῃ προσφερὴς ὅθ' οὕνεκ' εἶ.
ΕΕ. Ἀπωλόμην· λαβοῦσα σ' οὐχ ἕξω πόσιν.
ΜΕ· Τοὐκεῖ με μέγεθος τῶν πόνων πείθει, σὺ δ' οὔ.
ΕΛ. Οἴ γώ! τίς ἡμῶν ἐγένετ' ἀθλιωτέρα;
Οἱ φίλτατοι λείπουσιν· οὐδ' ἀφίξομαι
Ἕλληνας, οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.
ΑΓ. Μενέλαε, μαστεύων σε κιγχάνω μόλις,
Πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
Πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο.
ΜΕ. Τί δ' ἐστὶν; ἦ που βαρβάρων συλᾶσθ' ὕπο;
ΑΓ. Θαυμάστ', ἔλασσον τοὔνομ', ἢ πρᾶγμ', ἔχων.
ΜΕ. Λέγ', ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.

---

τί σου δεῖ τις· ἀλλ' οὐχ ὑγιαίνει τὸ μέτρον οὕτω. 579. Ἔοικας] ἐνταῦθα ἡ Ἑλένη ἔδειξεν ἑαυτὴν εἰς πλήρη θέαν τῷ Μενελάῳ, ἴσως δὲ καὶ σημεῖόν τι γνωςὸν αὐτῷ. 581. Ἐκεῖ νοσοῦμεν] ἐν ἄλλοις, ἐκεῖνο, σοῦμεν. 583. Βλέποντα

ΜΕ. Ἐοικάς γε, καὶ οὐκ ἂν ἀρνηθεῖεν τοῦτο.

ΕΛ. Τίς οὖν διδάσκαλος τῶν σῶν ὀμμάτων κρείττων;

ΜΕ. Ἓν μόνον, ὅτι γυναῖχ' ἑτέραν ἔχω.

ΕΛ. Ελένη οὐκ ἐς Τροίαν, τὸ δ' εἴδωλον Ἑλένης.

ΜΕ. Καὶ τίς ἂν οὕτω σώματα ζῶντα πλάττοι;

ΕΛ. Ὁ αἰθὴρ, ἐξ οὗ σοι θεόθεν τῆς γυναικὸς τὸ πλάσμα.

ΜΕ. Τίς δ' ἔπλασε τοῦτο; ἀπίθανα γὰρ λέγεις.

ΕΛ. Ἥρα, ἀνταλλάξασα, ὡς μή με λάβῃ Πάρις.

ΜΕ. Ὧδε κἀν Τροίᾳ σὺ ἅμα πῶς ἂν εἴης;

ΕΛ. Τοὔνομα μὲν πολλαχοῦ, οὐ μὴν δὲ καὶ τὸ σῶμα·

ΜΕ. Ἔαμε· οὐ γὰρ ὀλίγας ἥκω ἔχων λύπας.

ΕΛ. Καταλείψεις οὖν ἐμὲ, τὸ φάσμα προτιμήσας;

ΜΕ. Καὶ χαῖρέ μοί γε, ὡς ἐοικυῖα τῇ Ελένῃ.

ΕΛ. Ἀπόλωλα, ἐκ δευτέρου τὸν ἄνδρα στερουμένη.

ΜΕ. Ἃ γὰρ ἠγώνισμαι ἐκεῖ, ταῦτά με πείθει μᾶλλον.

ΕΛ. Οἴμοι τῇ παναθλίᾳ· τίς ἐμοῦ γέγονέ ποτε γυνὴ δυστυχεστέρα; οἱ φίλτατοί μοι καταλιμπάνουσί με, καὶ οὐκέτ' ἂν ἴδοιμι τὴν Ἑλλάδα· ὦ φιλτάτη πατρίς!

ΑΓ. Μενέλαε, πᾶσαν ἐκπεριελθὼν τήνδε τὴν χώραν τῶν βαρβάρων, μόλις ἐνέτυχόν σοι, πεμφθεὶς ὑπὸ τῶν λοιπῶν ἑταίρων.

ΜΕ. Τί δέ ποθ' ἥκες ἀγγελῶν; μὴ ὑφήρεσθέ τι ὑπὸ βαρβάρων,

ΑΓ. Ἄλλο τι, θαυμαστότερον, ἢ ὥστε λέγειν.

ΜΕ. Λέγε· ἄξιον γάρ τι τῆς σπουδῆς δοκεῖς ἔχειν.

---

ζῶντα. 594. Οἳ ἐγὼ] ἐνταῦθα ἰδοῦσα Μενέλαον ἀναχωροῦντα θρηνεῖ ἑαυτὴν ὡς καταλελειμμένην· ἀλλὰ φθὰς ὁ Ἄγγελος λύει δεξιῶς τὴν δέσιν. 591. Θαυμαστὰ] ἐν ἄλλοις. Θαῦμ' ἐστ' ἔλασσον τοὔνομα, ἢ τὸ πρᾶγμ', ἔχον.

ΑΓ. Λέγω, πόνους σε μυρίους τλῆναι μάτην.
ΕΛ. Παλαιὰ θρηνεῖς πήματ'· ἀγγέλλεις δὲ τί;
ΑΓ. Βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτύχας
Ἀρθεῖσ', ἄφαντος οὐρανῷ δὲ κρύπτεται,
Λιποῦσα σεμνὸν ἄντρον, οὗ σφ' ἐσώζομεν,
Τοσόνδε λέξασ'· ὦ ταλαίπωροι Φρύγες
Πάντες τ' Ἀχαιοὶ, δι' ἔμ' ἐπὶ Σκαμανδρίοις
Ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνήσκετε,
Δοκοῦντες Ἑλένην οὐκ ἔχοντ' ἔχειν Πάριν.
Ἐγὼ δ', ἐπειδὴ χρόνον ἔμειν', ὅσον μ' ἐχρῆν,
Τὸ μόρσιμον σώσασα, πατέρ' ἐς οὐρανὸν
Ἄπειμι· φήμας δ' ἡ τάλαινα Τυνδαρὶς
Ἄλλως κακὰς ἤκουσεν, οὐδὲν αιτία.
Ὦ χαῖρε, Λήδας θύγατερ, ἐνθάδ' ἦσθ' ἄρα;
Ἐγὼ δέ σ' ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
Ἤγγελλον, εἰδὼς οὐδέν, ὡς ὑπόπτερον
Δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
Ἡμᾶς τόδ' αὖθις, ὡς μάτην ἐν Ἰλίῳ
Πόνους παρεῖχες σῷ πόσει καὶ συμμάχοις.
ΜΕ. Τοῦτ' ἔστ' ἐκεῖνο· ξυμβεβᾶσιν οἱ λόγοι
Οἱ τῆσδ' ἀληθεῖς· ὦ ποθεινὸς ἡμέρα,
Ἥ σ' εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν!
ΕΛ. Ὦ φίλτατ' ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
Παλαιὸς, ἡ δὲ τέρψις ἀρτίως πάρα.
Ἔλαβον ἀσμένα πόσιν ἐμὸν, φίλαι,
Περιπετάσασα χέρα
Φίλιον ἐν μακρᾷ φλογὶ φαεσφόρῳ.

613. Πατέρα ἐς οὐρανὸν] εἰς τὸ νέφος, ὅθεν γεγένημαι. 620. Μάτην] εἰκότω

ΑΓ. Καὶ μὴν λέγω σοι, εἰς μάτην οἱ ἀγῶνες ἐν Ἰλίῳ.

ΕΛ. Ἔα τὰ πρίν· νῦν δὲ τί ἔχεις εἰπεῖν μοι νέον;

ΑΓ. Ἡ γὰρ σὴ γυνὴ φρούδη πρὸς τὸν αἰθέρα· καταλιποῦσα γὰρ τὸ ἄντρον, ἔνθ' ἡμεῖς αὐτὴν ἐφρουροῦμεν, κατέδυ εἰς τὰς νεφέλας, μετέωρος ἀναφερομένη· καὶ εὐθὺς ἡμῖν ἐγένετο ἄφαντος, ὑπειποῦσα τοσόνδε μόνον· ὦ πολύστονοι καὶ πολυτλήμονες Ἕλληνές τε καὶ Φρύγες, οἷα ἄρα σκευωρία τῆς Ἥρας τυγχάνετε δι' ἐμὲ πεπονθότες, ἄλλοι ἐπ' ἄλλοις παρὰ ταῖς τοῦ Σκαμάνδρου ἀποθανόντες ὄχθαις, οἰόμενοι Πάριν ἔχειν, καὶ μὴ ἔχοντα, τὴν Ἑλένην· ἐγὼ γὰρ μείνασα, ὅσον ἦν πεπρωμένον, νῦν ἐπάνειμι εἰς οὐρανὸν τὸν φύσαντά με. Ἀλλὰ τί τοῦθ' ὁρῶ; πόθεν Ἑλένη ὧδε; ὦ χαῖρε, θύγατερ Λήδας· ἐνταῦθ' ἄρ' ἦσθα, ἐγὼ δὲ μὴ εἰδώς σε ὑπόπτερον σῶμα ἔχουσαν, προήγγειλον ἀποπτῆναί σε εἰς τὸν χορὸν τῶν ἀστέρων· ἀλλ' οὐκέτ' ἂν καταγελάσειας ἡμῶν τὰ αὐτὰ, ὡς μάτην ἠγωνίσμεθα τὰ περὶ τὴν Τροίαν.

ΜΕ. Τοῦτ' ἦν ἄρα μοι τὸ ἄπορον ἐκεῖνο· νῦν οὖν ὁμόλογα πάντα, καὶ πᾶς λόγος ἤδη συνᾴδει τοῖς πράγμασιν· ὦ φιλτάτη ἡμέρα αὕτη, καθ' ἥν σε ἐν ταῖς ἀγκάλαις ἔχω.

ΕΛ. Ὦ φίλτατε Μενέλαε ἀνδρῶν ἁπάντων· ὡς διὰ πολλοῦ μὲν σου ἀπεστέρημαι χρόνου, ἀλλ' ὁ πόθος καὶ ἡ χαρὰ ἀθρόα συμπεσόντα, κομιδῇ ἤδη θάλλουσι. συγχαίρετέ μοι καὶ ὑμεῖς, ὦ φίλαι γυναῖκες· ἤδη γὰρ ἐν τῷ φαεινοτάτῳ τούτῳ φωτὶ ἐν ἀγκάλαις διὰ χρόνου πολλοῦ τὸν ἐμαυτῆς ἔχω ἄνδρα.

---

οὕτω γραπτέον, ἀντὶ τοῦ Ἀδην· ὡς εἴκασέ τις· παράβαλε δὲ τοῖς μ. κρὸν ἀνω-

ΜΕ. Κἀγὼ σέ· πολλοὺς δ' ἐν μέσῳ λόγους ἔχων
Οὐκ οἶδ', ὁποίου πρῶτον ἄρξομαι τανῦν.
ΕΛ. Γέγηθα, κρατὶ δ' ὀρθίους ἐθείρας
Ἀνεπτέρωκα καὶ δάκρυ σταλάσσω,
Περὶ δὲ γυῖα χεῖρας ἔβαλον
Ἡδονὰν ὡς λάβω.
Ὦ πόσις, ὦ φιλτάτη πρόσοψις!
ΜΕ. Οὐκ ἐμέμφθην· ἔχω.
Τὰ τοῦ Διὸς λέκτρα Λήδας θ',
Ἂν ὑπὸ λαμπάδων κόροι
Λεύκιπποι, ξυνομαίμονες ὤλβισαν, ὤλβισαν
Τοπρόσθ', ἐκ δόμων δ' ἐνόσφισαν θεοί σ' ἐμοῦ.
ΕΛ· Πρὸς ἄλλαν δ' ἐλαύνει θεὸς συμφορὰν
Τᾶσδε κρείσσω· τὸ κακὸν δ' ἀγαθὸν
Σέ τε κἀμὲ συνάγαγε, πόσι,
Χρόνιον, ἀλλ' ὅμως ὀναίμαν τύχας.
ΜΕ. Ὄναιο δῆτα! ταυτὰ δὴ ξυνεύχομαι.
Δυνεῖν γὰρ ὄντοιν οὐχ ὁ μὲν τλήμων, ὁ δ' οὔ.
ΕΛ. Φίλαι, φίλαι, τὰ πάρος
Οὐκέτι στένομεν, οὐδ' ἀλγῶ.
Πόσιν ἐμὸν ἐμὸν ἔχομεν, ἔχομεν, ὃν ἔμενον,
Ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.
ΜΕ. Ἔχεις μ', ἔχω τε σ', ἡλίους δὲ μυρίους
Μόγις διελθὼν, ᾐσθόμην τὰ τῆς θεοῦ.
Ἐμὰ δὲ δάκρυα χαρμονὰ, πλέον ἔχει
Χάριτος ἢ λύπας.

---

τέρῳ. στίχ. 603. — 642. Πρὸς ἄλλην συμφορὰν] διφορεῖται τὸ ὄνομα, συμ-

**ΜΕ.** Κἀγώ σε αὐτήν. ἀλλὰ μυρίων μοι παρισταμένων λόγων, οὐκ οἶδα τίνος πρῶτον ἀρχήμε λάβῃ πρός σε.

**ΕΛ.** Γέγηθα, γέγηθα. ἡ δὲ κόμη μοι ἐπὶ τῆς κεφαλῆς ὑφ' ἡδονῆς ἀνεπτέρωται, καὶ δάκρυ ἐκθλίβεται ὑπὸ χαρᾶς· καὶ χεῖρες ταῖς σαῖς συμπλακεῖσαι, εὐφραίνουσί με· ὦ φίλτατ' ἄνερ, ὦ φιλτάτη μοι θέα.

**ΜΕ.** Οὐκέτι μεμψιμοιρῶ. ἔχω γὰρ ἤδη, ἣν Λήδα τε ἔτεκεν ἐκ Διός, καὶ Διόσκοροι, ἐπὶ λευκῶν ἵππων τὸν αὐτῆς ὑμέναιον ἐν λαμπάσιν ᾖσάν ποτε. ἀφείλοντο δέ με ἔπειτα οἱ θεοί, νῦν δ' εἰς βελτίω τύχην τῆς παρούσης τὰ πράγμαθ' ἡμῖν θεὸς ἀνάγει· τὸ γὰρ κακὸν σὺν τῷ ἀγαθῷ συνήγαγεν αὖθις ἡμᾶς ἀλλήλοις, σὺν χρόνῳ μέν, ἀλλ' ὅμως ὀναίμην τῆςγε παρούσης τύχης.

**ΕΛ.** Ὄναιο δήπου· ταῦτα δὲ κἀμοὶ πάρεστιν εὔχεσθαι· δυοῖν γὰρ ὄντοιν νῷν, οὐ καλὸν μὴ συνευτυχεῖν.

Ἀλλ' ὦ φίλαι, φίλαι γυναῖκες, οὐκέτ' ὀλοφυροῦμαι, οὐκέτι θρηνῶ τὰ πρόσθεν· ἔχω γάρ, ἔχω τὸν ἐμὸν φίλον ἄνδρα, ὃν πολὺν ἤδη χρόνον ἀνέμενον ἐκ Τροίας.

**ΜΕ.** Ἔχεις γάρ· ἔχω δὲ κἀγώ σε· μόλις δὲ πολλῶν παρελθόντων ἐτῶν, ᾐσθόμην τῆς θεοῦ τὴν ἐπήρειαν· ἀλλὰ νῦν τἀμὰ δάκρυα πλέον ἔχει χάριτος, ἢ λύπης τῆς παρούσης ἕνεχ' ἡδονῆς.

---

φορά, πολλάκις μὲν ἐπὶ δυστυχίας λαμβανόμενον, ἔσθ' ὅπου δὲ, ὡς καὶ ἐνταῦθα, ἐπὶ εὐτυχίας· τὸ δὲ δίστιχον ἀποδιδόασί τινες τῷ τῆς Ἑλένης στόματι· εἰ δὲ τοῦτο ἄμεινον, τὸ Συμφορα αἰνίττεται, οἶμαι, τὸν ἀπὸ τοῦ Θεοκλυμένου κίνδυνον. 647. Δυεῖν] ἄμεινον δυοῖν, επικρατοῦντος τοῦ ἀρσενικοῦ. 654. Χαρμονὰ] ἐν ἄλλοις κεῖται, χαρμονάν· ἀλλ' ἄμφω ἀσυνάρτητα, εἰμή τις συνάψειεν οὕτω· τὰ ἐμὰ δάκρυά ἐστι χαρμονή· καὶ πλέον μέρος ἔχει χάριτος.

ΕΛ. Τί φῶ; τίς ἂν τόδ' ἤλπισεν βροτῶν ποτε;
Ἀδόκητον ἔχω σε πρὸς στέρνοις.
ΜΕ. Κἀγὼ σὲ τὴν δοκοῦσαν Ἰδαίαν πόλιν
Μολεῖν Ἰλίου τε μελέους πύργους.
Πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;
ΕΛ. Ἒ ἔ! πικρὰς ἐς ἀρχὰς βαίνεις.
Ἒ ἔ! πικρὰν δ' ἐρευνᾷς φάτιν.
ΜΕ. Λέγ', ὡς ἀκουστὰ πάντα δῶρα δαιμόνων.
ΕΛ. Ἀπέπτυσα μὲν λόγον, οἷον [οἷον] ἐσοίσομαι.
ΜΕ. Ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλυειν.
ΕΛ. Οὐκ ἐπὶ λέκτρον βαρβάρου νεανία,
Πετομένας κώπας,
Πετομένου δ' ἔρωτος ἀδίκων γάμων.
ΜΕ. Τίς γάρ σε δαίμων ἢ πότμος συλᾷ πάτρας;
ΕΛ. Ὁ Διός, ὁ Διός, ὦ πόσι, παῖς
Μ' ἐπέλασεν Νείλῳ.
ΜΕ. Θαυμαστὰ τοῦ πέμψαντος· ὦ δεινοὶ λόγοι!
ΕΛ. Κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω
Δάκρυσιν· ἁ Διός μ' ἄλοχος ὤλεσεν
Ἥρα.
ΜΕ. Τίνων χρήζουσα προσθεῖναι κακῶν;
ΕΛ. Ὤμοι ἐμῶν δεινῶν, λουτρῶν καὶ κρηνῶν,
Ἵνα θεαὶ μορφὰν ἐφαίδρυναν, ἔν-
Θεν ἔμολεν κρίσις.
ΜΕ. Τάδ' εἰς κρίσιν σοι τῶνδ' ἔθηχ' Ἥρα κακῶν;

---

ἢ λύπης. 663. Δῶρα δαιμόνων] τοὺς ἔρωτας οἶμαι λέγειν· διὸ ἀγανακτεῖ τοῦτ' ἀκούσασα Ἑλένη.

ΕΛ. Τί ποτε φῶ; τίς τῶν ἀνθρώπων τοιαῦτα πώποτ' εἶδεν; οὐ γὰρ εὐπροσδόκητόν σε ἐν ταῖς ἐμαῖς ἀγκάλαις ἔχω.

ΜΕ. Ταῦτα δὲ παθεῖν πρὸς σε κἀμοι συνέβη· τίς γὰρ ἤλπισεν εὑρήσειν σε καθαρὰν ἐνταῦθα, ἢ ἔδοξας ἀπελθεῖν αἰσχρῶς εἰς Τροίαν; ἀλλὰ πρὸς θεῶν εἴποις ἄν μοι, ὅπως τῆς ἐμῆς ἀπεπέμφθης οἰκίας;

ΕΛ. Ἔ, ἔ· ὡς ἐπὶ πικρὰς ἀρχὰς ἀνατρέχεις, πικρὰν ἀνακαλῶν φήμην.

ΜΕ. Λέγε· τὰ γὰρ τῶν θεῶν δῶρα οὐκ ἀποκρυπτέα.

ΕΛ. Ἀπέπτυσα μὲν τὸν λόγον τοῦτον· οἷον δ' ἐρῶ ἀντὶ τούτου.

ΜΕ. Εἰπὲ μέντοι· ὡς γὰρ ἡδύ μοι τῶν σῶν ἀκοῦσαι πόνων.

ΕΛ. Οὐκ ἐς Τροίαν ἔπλευσα, ἔρωτι τοῦ βαρβάρου ἐκείνου νεανίου ἁλοῦσα, ὡς ἔδοξα τοῖς πολλοῖς πεπλευκέναι.

ΜΕ. Τίνι δὲ τύχῃ ἀπέστης τῆς πατρίδος;

ΕΛ. Ὁ παῖς, ὦ ἄνερ, ὁ παῖς αὐτὸς τοῦ Διὸς ἐξαρπάσας ἀπήγαγέ με ὧδε.

ΜΕ. Ὡς θαυμαστὰ δοκεῖς μοι ταῦτα λέγειν τοῦ πέμψαντος ἔργα! ὢ σχέτλιος λόγος οὗτος.

ΕΛ. Ἥρα ἡ τοῦ Διὸς γυνὴ ἀπώλεσέ με· ἀλλὰ τούτων μεμνημένη, οὐ δύναμαι κατέχειν τὰ δάκρυα.

ΜΕ. Τίνος ἕνεκα ὀργισθεῖσα ἐκείνη;

ΕΛ. Οἴμοι τῶν ἐμῶν συμφορῶν, τῶν τε κρηνῶν ἐκείνων, καὶ λουτρῶν, ὅπου ἐλούσαντο τόθ' αἱ θεαί· ἐκεῖθεν, ἐκεῖθέν μοι ἦλθεν ἡ φονικὴ ἐκείνη κρίσις.

ΜΕ. Ἀλλὰ τί ποτε δι' ἐκεῖνα κατέγνω σου τοιαῦτα παθεῖν ἡ Ἥρα;

ΕΛ. Κύπριν ὡς ἀφέλοιτο.
ΜΕ. Πῶς; αὔδα.
ΕΛ. Πάριν, ᾧ μ' ἐπένευσ'.
ΜΕ. Ὦ τλᾶμον!
ΕΛ. Τλάμων, τλάμων! ὧδ' ἐπέλασ' Αἰγύπτῳ.
ΜΕ. Εἶτ' ἀντέδωκ' εἴδωλον· ὡς σέθεν κλύω.
ΕΛ. Τὰ δὲ κατὰ μέλαθρα πάθεα, πάθεα, μᾶ-
Τερ, οἳ 'γώ!
ΜΕ. Τί φής!
ΕΛ. Οὐκ ἔστι μάτηρ· ἀγχόνειον δὲ βρόχον
Δι' ἐμὲ κατεδήσατο, δύσγαμον αἰσχύναν.
ΜΕ. Ὤμοι! θυγατρὸς δ' Ἑρμιόνης ἐστὶν βίος;
ΕΛ. Ἄγαμος ἄτεκνος, ὦ πόσι, καταστένει
Γάμον ἄγαμον αἰσχύνᾳ.
ΜΕ. Ὦ πᾶν κατ' ἄκρας δῶμ' ἐμὸν πέρσας, Πάρις,
Τάδε καὶ σὲ διώλεσε, μυριάδας τε
Χαλκεόπλων Δαναῶν.
ΕΛ. Ἐμὲ δὲ πατρίδος ἄπο κακόποτμον ἀραίαν
Ἔβαλε θεὸς ἀπό τε πόλεος ἀπό τε σέθεν,
Ὅτι μέλαθρα λέχεά τ' ἔλιπον, οὐ λιποῦσ',
Ἐπ' αἰσχροῖς γάμοις
ΧΟ. Εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
Τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν.
ΑΓ. Μενέλαε, κἀμοὶ πρόσδοτέ τι τῆς ἡδονῆς,
Ἣν μανθάνω μὲν καὐτὸς, οὐ σαφῶς δ' ἔχω.

---

680. Κύπριν] ἐν ἄλλοις κεῖται Κύπρις, ἀποδιδόμενον εἰς τὸ ἐπένευσεν ἑξῆς. 682. Τλάμων, τλάμων—μᾶτερ, οἳ ἐγὼ] ἀσυνάρτητα δο-

ΕΛ Ἵνα μὴ λάβῃ με ὁ Πάρις.

ΜΕ Πῶς; λέγε σαφέστερον.

ΕΛ. Ὦ ἡ Κύπρις ὑπέσχετό με δώσειν.

ΜΕ. Ὦ τλῆμον.

ΕΛ. Τλήμων, τλήμων· οὕτως ἀπήχθην ὧδε.

ΜΕ. Ἔπειτ' ἀντέδωκεν εἴδωλον ἐκείνῳ, ὥς εἴρηταί σοι·

ΕΛ. Αἶ αἶ. τὰ δ' αὖ κακὰ τοῦ οἴκου, μῆτερ, οἴμοι!

ΜΕ. Τὶ φής; οὐ γὰρ ἔχω συμβαλεῖν.

ΕΛ. Ἡ ἐμὴ μήτηρ φρούδη, ἀγχόνῃ δι' ἐμὲ χρησαμένη ὡς τὸν ἐμὸν αἰσχυνομένη γάμον.

ΜΕ. Φεῦ. ἡ δ' Ἑρμιόνη ἐστὶν ἐν τοῖς ζῶσι;

ΕΛ. Ἄγαμος, ἄτεκνος τὸν ἐμὸν ἄγαμον θρηνοῦσα γάμον ἐξ αἰσχύνης.

ΜΕ. Ὦ Πάρι κακόπαρι, ὅς τὸν ἐμὸν ἀπώλεσας οἶκον. ἄρδην ταῦτα γὰρ σέτε αὐτὸν, καὶ πολλὰς Ἑλλήνων ἀπώλεσε μυριάδας.

ΕΛ Ἐμὲ δὲ σὺν δυσφημίᾳ ἐξέβαλε θεὸς ἀπό τε σοῦ καὶ τῆς πατρίδος, πολλὰς ἀκούσασαν ἀράς, ἐφ' οἷς ἔδοξα λιπεῖν τὸν θάλαμον ἐπὶ γάμοις αἰσχροῖς.

ΧΟ Ἀλλ' εἰ τόγε λοιπὸν εὐδαίμονες εἴητε, τοῦθ' ἱκανὸν ἔσται ταῖς ἐπιγινομέναις τύχαις τὰ πρόσθεν παραμυθήσασθαι·

ΑΓ Μενέλαε, οὐ δώσεις κἀμοὶ κοινωνὸν τῆς ἡδονῆς γενέσθαι, ἣν αἰσθάνομαι μέν πως, οὐκ ἔχω δὲ σαφῶς γινώσκειν.

---

κεῖ ταῦτα διὰ τὴν περίστασιν· ἡ γὰρ γυνὴ ἀποπνιγομένη τοῖς ὀλοφυρμοῖς, οὐκ ἐπαρκεῖ προφέρειν τοὺς λόγους τελείους, εὐθυμίους καταλιποῦσα· διὸ καὶ Μενέλαος αὐτὸς ἐρωτᾷ, τί φής; οὐ γὰρ κατανοεῖ.

ΜΕ. Ἀλλ', ὦ γεραιὲ, καὶ σὺ κοινώνει λόγων.
ΑΓ. Οὐχ ἥδε μόχθων τῶν ἐν Ἰλίῳ βραβεύς;
ΜΕ. οὐχ ἥδε, πρὸς θεῶν δ' ἦμεν ἠπατημένοι,
Νεφέλης ἄγαλμ' ἔχοντες ἐν χεροῖν λυγρόν.
ΑΓ. Τί φής;
Νεφέλης ἄρ' ἄλλως εἴχομεν πόνους πέρι;
ΜΕ. Ἥρας τάδ' ἔργα, καὶ θεῶν τρισσῶν ἔρις.
ΑΓ. Ἡ δ' οὖσ' ἀληθῶς ἐστὶν ἥδε σὴ δάμαρ;
ΜΕ. Αὕτη λόγοις δ' ἐμοῖσι πίστευσον τάδε.
ΑΓ. Ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
Καὶ δυστέκμαρτον! εὖ δέ πως ἀναστρέφει,
Ἐκεῖσε κἀκεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
Ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
Βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
Σὺ γὰρ, πόσις τε σὸς πόνων μετέσχετε,
Σὺ μὲν λόγοισιν, ὁ δὲ δορὸς προθυμίᾳ.
Σπεύδων δ', ὅτ' ἔσπευδ', οὐδὲν εἶχε· νῦν δ' ἔχει,
Αὐτόματα πράξας τἀγάθ' εὐτυχέστατα.
Οὐκ ἄρα γέροντα πατέρα, καὶ Διοσκόρω
Ἤσχυνας, οὐδ' ἔδρασας, οἷα κλῄζεται.
Νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν,
Καὶ λαμπάδων μεμνήμεθ', ἃς τετραόροις
Ἵπποις τροχάζων παρέφερον· σὺ δ' ἐν δίφροις
Σὺν τῷδε νύμφη δῶμ' ἔλειπες ὄλβιον.
Κακὸς γὰρ, ὅστις μὴ σέβει τὰ δεσποτῶν,
Καὶ ξυγγέγηθε, καὶ ξυνωδίνει κακοῖς.
Ἐγὼ μὲν εἴην, κεἰ πέφυχ' ὅμως λάτρις,

ΜΕ. Πρόσιθι, ὦ γέρον, λέγε ὅ, τι ποτε βούλει.

ΑΓ. Οὐχ αὕτη ἐστὶν, δι' ἣν οἱ ἀγῶνες ἐν Ἰλίῳ;

ΜΕ. Οὐμενουν· θεοὶ γὰρ εἴδωλον ἐκεῖ ἀντὶ τῆσδε δόντες ἐκ νεφέλης, ἐξηπάτησαν ἡμᾶς.

ΑΓ. Τί φῄς; ἕνεκα νεφέλης ἄρ' ἦσαν ἡμῖν οἱ πόνοι.

ΜΕ. Ἥρα ἡ αἰτία, καὶ τῶν τριῶν θεῶν ἔρις.

ΑΓ. Ἡ δὲ ἀληθὴς γυνὴ ἥδε σοί ἐστι;

ΜΕ. Ἥδε πάντως· τοῖς δ' ἐμοῖς πείθου λόγοις.

ΑΓ. Ὦ θύγατερ, ὡς ποικίλον καὶ δυςέκμαρτόν ἐστι τὸ θεῖον, ἀνέλκον, καθέλκον ἀντιῤῥόπως τὸν τῶν ἀνθρώπων βίον· τοὺς μὲν γὰρ κινδύνων πολλῶν διασώζει, οἷς δὲ τὰ πράγματα δοκεῖ εὖ ἔχειν, οὗτοι πολλάκις περιέστησαν εἰς ἀπώλειαν· οὕτως οὐδὲν ἂν εἴη βέβαιον μέχρι τέλους. αὐτίκα γὰρ σὺ, καὶ ὁ σὸς ἀνὴρ, πολλὰ πεπονθότες, ὁ μὲν ἐν μάχαις, σὺ δὲ ἐν δυσφημίαις, νῦν ἀπολελαυκότες ἀλλήλων, εὐθηνεῖτε· ἐκεῖνός τε γάρ, ὅτε μὲν ἔσπευσε τούτου τυχεῖν, οὐδὲν κατεπράξατο· νῦν δὲ αὐτόματον ἐλθοῦσαν ἔχει τὴν εὐτυχίαν· καὶ σὺ νῦν τοῦ πράγματος, ὅπως ἔσχεν, ἐξακριβωθέντος, ἀναιρεῖς τὴν τοῦ πατρὸς ἐπί σοι καὶ τῶν Διοσκούρων αἰσχύνην, μὴ δράσασα, οἷα λέγεται. Ἐγὼ δ' οὖν τὸν σὸν ἐκ νέου ἀναπεμπάζομαι ὑμέναιον, καὶ λαμπάδας γαμηλίους, ἃς παρέφερον τῷ σῷ παρασπεύδων τεθρίππῳ, εἰς μνήμην ἀναπολῶ, ἡνίκα σὺ, νύμφη ἤδη, σὺν τῷ σαυτῆς ἀνδρὶ τούτῳ ἐν δίφρῳ φερομένη, τὸν πατρῷον ὄλβιον ἔλειπες οἶκον· ὃς γὰρ ἂν τῶν οἰκετῶν, ὁρῶν τὰ τῶν δεσποτῶν εὖ, ἢ ὡς ἑτέρως ἔχοντα, μὴ συγχαίρῃ, ἢ συναλγῇ, κακὸς οὗτος· ἐγὼ δὲ, καὶ εἰ τὸ δοῦλος εἶναι

Ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
Δούλοισι, τοὔνομ' οὐκ ἔχων ἐλεύθερον,
Τὸν νοῦν δέ· κρεῖσσον γὰρ τόδ', ἢ δυοῖν κακοῖν
Ἓν ὄντα χρῆσθαι, τὰς φρένας τ' ἔχειν κακὰς,
Ἄλλων τ' ἀκούειν, δοῦλον ὄντα τῶν πέλας.
ΜΕ. Ἄγ', ὦ γεραιέ· πολλὰ μὲν παρ' ἀσπίδα
Μοχθήματ' ἐξέπλησας ἐκ πόνων ἐμῶν.
Καὶ νῦν μετασχὼν τῆς ἐμῆς εὐπραξίας,
Ἄγγελος ἐλθὼν τοῖς λελειμμένοις φίλοις
Τάδ', ὡς ἔχονθ' εὕρηκας, οἷ τ' ἐσμὲν τύχης,
Μένειν τ' ἐπ' ἀκταῖς, τούς τ' ἐμοὺς καραδοκεῖν
Ἀγῶνας, οἳ μένουσιν, οὓς ἐλπίζομεν,
Καὶ τῆσδε πῶς δυναίμεθ' ἐκπλεῦσαι χθονὸς,
Φρουρεῖν, ὅπως ἂν εἰς ἓν ἐλθόντες τύχης,
Ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.
ΑΓ. Ἔσται τάδ', ὦναξ. ἀλλά τοι τὰ μάντεων
Ἐσεῖδον, ὡς φαῦλ' ἐστὶ καὶ ψευδῶν πλέα.
Οὐδ' ἦν ἄρ' ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς,
Οὔτε πτερωτῶν φθέγματ'· εὔηθες δέ τοι
Τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.
Κάλχας γὰρ οὐκ εἶπ', οὐδ' ἐσήμηνε στρατῷ,
Νεφέλης ὕπερ θνήσκοντας εἰσορῶν φίλους·
Οὐδὲν γὰρ, ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.

---

739. Ἐλεύθερον] Ὅμηρος δὲ (Ὀδ. Ρ'. στίχ. 322.) πολύτι καὶ τοῦ νοὸς ἀφαιρεῖσθαί φησι τὸν δοῦλον.

» Ἥμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται Εὐρύοπα Ζεὺς
» Ἀνέρος, εὖ τ' ἄν μιν κατὰ δούλιον ἦμαρ ἕλησιν.

παρὰ τῆς τύχης κεκλήρωμαι, ἀλλ' οὖν τὸν νοῦν ὑγιαίνων, αὐχῶ τοῖς γενναίοις τῶν δούλων εναριθμεῖσθαι· δυοῖν γὰρ τοῖς οἰκέταις κακοῖν προσόντοιν τοῦτε τὰς φρένας μὴ ὑγιεῖς ἔχειν, καὶ τοῦ δουλεύειν ἄλλοις, θατέρῳ τούτων εὐςόχως χρῆσθαι ἔχει τι μετριώτερον τοῖς εὖ φρονοῦσι.

**ΜΕ.** Δεῦρ' ὦ γέρον, ὃς πολλὰ ποθ' ὑπήνεγκας, παρὰ τὴν ἐμὴν ἀεὶ ἀσπίδα κάμνων, ἴθι τῆς ἐμῆς νῦν εὐπραξίας κἀυτὸς μετασχὼν, ἄγγελε τῶν ἑταίρων τοῖς ὑπολελελειμμένοις ταῦθ', ἃ ὁρᾷς καὶ ἐν ᾧ νῦν τύχης ἡμῖν μετέςη τὰ πράγματα, μένειντε παρὰ ταῖς ἀκταῖς, καὶ πρὸς ἅ μοι λείπεται ἔτι προσανταγωνίσασθαι τὸν νοῦν ἔχειν, περισκοποῦντας τοῦθ', ὅπως ἂν εἰς τὴν αὐτὴν ἐλθόντες τύχην, δυναίμεθα τῆς βαρβάρου ταύτης ἐκπλεῦσαι χθονὸς πρὸς σωτηρίαν.

**ΑΓ.** Ταῦτα μὲν, ὦ ἄναξ, ἔσται αὐτίκα μάλα· ἃ δ' ἐπῆλθε μοι νῦν ἐνθυμηθῆναι περὶ μαντειῶν, τοῦτ' ἐρῶ καὶ οὐκ ἀποκρύψομαι· οἶσθ', ὦ δέσποτα, ὡς οὐδὲν τούτων ἐστιν ὑγιὲς, οὔτε τῶν ἐμπύρων, οὔτε τῶν οἰωνῶν, ἀλλὰ λῆρος σαφὴς καὶ ψεύδους μεστὰ πάντα; πῶς γὰρ οὐκ εὔηθες πιστεύειν δύνασθαι ὄρνιθας ἀνθρώπους ὠφελῆσαι; καὶ πότ' εἴρηκε Κάλχας, εἰ ᾔδει, ὑπὲρ νεφέλης πολεμοῦντας τοὺς Ἕλληνας μάτην, ἀποθνήσκειν; οὐδὲν οὐδέπω. ἀλλ' ἡ Τροία, τηλικαύτη γε πόλις, αλοῦσα μάτην πυρὶ παραδέδοται πᾶσιν· ἀλλ' ἴσως ἐρεῖς νεοῦ

Εἴποις ἂν οὕνεχ' ὁ θεὸς οὐκ ἠβούλετο.
Τί δῆτα μαντευόμεθα; τοῖς θεοῖσι χρὴ
Θύοντας αἰτεῖν ἀγαθὰ, μαντείας δ' ἐᾶν.
Βίου γὰρ ἄλλως δέλεαρ εὑρέθη τόδε,
Κοὐδεὶς ἐπλούτησ' ἐμπύροισιν, ἀργὸς ὤν.
Γνώμη δ' ἀρίστη μάντις, ἥ τ' εὐβουλία.

ΧΟ· Ἐς ταὐτὸ κἀμοὶ δόξα μάντεων πέρι
Χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τις ἂν
Φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις·

ΕΛ. Εἶεν· τὰ μὲν δὴ δεῦρ' ἀεὶ καλῶς ἔχει.
Ὅπως δ' ἐσώθης, ὦ τάλας, Τροίας ἄπο,
Κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
Τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά.

ΜΕ. Ἦ πόλλ' ἀνήρου μ' ἑνὶ λόγῳ, μιᾷ θ' ὁδῷ.
Τί σοι λέγοιμ' ἂν τὰς ἐν Αἰγαίῳ φθορὰς,
Τὰ Ναυπλίου τ' Εὐβοϊκὰ πυρπολήματα,
Κρήτην τε, Λιβύην θ', ἃς ἐπεστράφην πόλεις,
Σκοπιάς τε Περσέως; οὐ γὰρ ἐμπλήσαιμί σε
Μύθων λέγων τ' ἄν σοι κάκ' ἀλγοίην ἔτι,
Πάσχων τ' ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν.

ΕΛ. Κάλλιον εἶπας, ἤ σ' ἀνηρόμην ἐγώ.

---

765. Ἑνὶ λόγῳ] ἐν ἄλλοις κεῖται, ἐν ὀλίγῳ. 768. Ναυπλίου Παλαμίδης κατηγορηθεὶς ὑπ' Ὀδυσσέως προδοσίας, κατεδικάσθη εἰς θάνατον. Ναύπλιος δὲ μαθὼν ταῦτα, ἐλθὼν εἰς Εὔβοιαν παρὰ τὸν Καφηρέα, αἴρει πυρσοὺς τῆς νυκτὸς τοῖς ἐκ Τροίας ἀπονοστοῦσιν, ὅπως ἐλθόντες πρὸς τὸ φῶς ὡς ἐπὶ λιμένα, ἐξοκείλωσι πρὸς τοὺς σκοπέλους (ἴδε κατωτέρω. στίχ. 1140) ἔπραξε δὲ ταῦτα, τιμωρῶν τῷ θανάτῳ τοῦ παιδός.

βουλὴν εἶναι ταῦθ' οὕτω γενέσθαι· τί οὖν μάντεσι χρώμεθα, παρὸν θεοῖς θύοντας, παρ' ἐκείνων τἀγαθὰ προσδοκᾶν, καὶ μὴ ἐμματαιάζειν μαντείαις; πρὸς οὐδεμίαν γὰρ βίου τοῦτο μεμηχάνηται ὄνησιν τοῖς χρωμένοις· οὐδένα γὰρ, ἀργὸν ὄντα, πώποθ' ἑώρακα ἐκ τῶν ἐμπύρων γενόμενον πλούσιον· μάντις δ' ἔμοιγ' ἀρίστη φρόνησίς τε καὶ εὐβουλία μόνη.

ΧΟ. Οὐ πάνυ διάφορα τῷ γέροντι τούτῳ ἔπεισι κἀμοὶ φρονεῖν περὶ μάντεων· ὃς γὰρ ἂν ἔχῃ τὴν παρὰ τῶν θεῶν εὔνοιαν, πολλῷ βεβαιοτέραν τῆς μαντικῆς ἐπιστήμην τυγχάνει ἔχων οἴκοι.

ΕΛ. Εἶεν· ἀλλὰ τὰ μὲν μέχρι δεῦρο καλῶς ἡμῖν ἔχει· ἐκεῖνο δὲ περικναίει μου τὴν διάνοιαν ἔτι μαθεῖν, ὅπως διεσώθης ἀπὸ τῆς Τροίας καίτοι γὰρ μηδὲν πλέον ἔμοιγ' ἐκ τοῦ ταῦτα μαθεῖν, ἀλλὰ πόθος τὶς ὑποκνίζει τοὺς φιλοῦντας τὰς τῶν φιλούντων εἰδέναι δυσπραξίας.

ΜΕ. Ὡς πολλὰ ἐν ἐλαχίστῳ χρόνῳ καὶ μονοτρόπως ἀξιοῖς παρ' ἐμοῦ ἀνιστορῆσαι· τί γὰρ ἂν εἴποιμι πρῶτον, τί δὲ μέσον, τί δ' ὕστατον πάντων; τοὺς ἐν τῷ Αἰγαίῳ κινδύνους; ἢ τοὺς τοῦ Ναυπλίου ἐν ταῖς τῆς Εὐβοίας ἀκταῖς φρυκτωρίας; ἢ Κρήτην αὐτὴν, καὶ τὰς τῆς Λιβύης σύρτας, καὶ πρὸς ἃς αὐτόσε παρεγενόμην πόλεις, καὶ τὰς τοῦ Περσέως ἐνέδρας, καὶ τὰ τοιαῦτα; ὧν οὐδ' αὐτὴ κόρον ἀκούουσα λήψῃ, κἀγὼ μάτην ἀναξανῶ τὰ ἐμαυτοῦ τραύματα, ἀναλαβὼν τῇ μνήμῃ, ἃ τυγχάνω πεπονθώς.

ΕΛ Ἔα τοίνυν ταῦτα· ἄμεινον γὰρ τοῦτο· ἓν δ' ἐκεῖνο μό-

Ἓν δ' εἰπὲ, πάντα παραλιπὼν, πόσον χρόνον
Πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον,
ΜΕ. Ἐνιαύσιον πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα
Ἔτεσι' διῆλθον δ' ἑπτὰ περιδρομὰς ἐτῶν.
ΕΛ. Φεῦ, φεῦ! μακρὸν γ' ἔλεξας, ὦ τάλας, χρόνον.
Σωθεὶς δ' ἐκεῖθεν, ἐνθάδ' ἦλθες ἐς σφαγάς.
ΜΕ. Πῶς φής; τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
ΕΛ. [Φεῦγ' ὡς τάχιστα, τῆσδ' ἀπαλλαχθεὶς χθονός·]
Θανεῖ πρὸς ἀνδρὸς, οὗ τάδ' ἐστὶ δώματα.
ΜΕ. Τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;
ΕΛ. Ἥκεις ἄελπτος, ἐμποδὼν τ' ἐμοῖς γάμοις.
ΜΕ. Ἦ γὰρ γαμεῖν τις τἄμ' ἐβουλήθη λέχη;
ΕΛ. Ὕβριν θ' ὑβρίζειν εἰς ἔμ', ἣν ἔτλην ἐγώ.
ΜΕ. Ἰδίᾳ σθένων τις, ἢ τυραννεύων χθονός;
ΕΛ. Ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.
ΜΕ. Τόδ' ἐστ' ἐκεῖν' αἴνιγμ', ὃ προσπόλου κλύω.
ΕΑ. Ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;
ΜΕ. Τοῖσδ', ἔνθεν, ὥσπερ πτωχὸς, ἐξηλαυνόμην.
ΕΛ. Ἦπου προσῄτεις βίοτον; ὦ τάλαιν' ἐγώ!
ΜΕ. Τοὔργον μὲν ἦν τοῦτ', ὄνομα δ' οὐκ εἶχεν τόδε.
ΕΛ. Πάντ' οἶσθ' ἄρ', ὡς ἔοικας, ἀμφ' ἐμῶν γάμων.
ΜΕ. Οἶδ'· εἰ δὲ λέκτρα διέφυγες τάδ', οὐκ ἔχω.
ΕΛ. Ἄθικτον εὐνήν ἴσθι σοι σεσωσμένην.
ΜΕ. Τίς τοῦδε πειθώ; φίλα γὰρ, εἰ σαφῆ λέγεις.

775. Ἐνιαύσιον] χρόνον· κατ' ἐπανάληψιν· εἰ δὲ ἐξοβελίσαιμεν τὸν Δὲ τοῦ ἑπομένου στίχου, καὶ ἀναγάγοιμεν ὑφ' ἓν πᾶν, εὐοδεῖτ' ἂν μᾶλλον ὡδί.

νον, κοῦφον ὄν, οὐκ ἂν ἀποκρύψειάς με· πόσον χρόνον διήρκησας πλανώμενος κατὰ θάλασσαν.

ΜΕ. Ἑπτὰ ἔτη πρὸς τοῖς ἐν Τροίᾳ δέκα.

ΕΛ. Φεῦ, φεῦ· ὦ τάλας αὐτὸς, ὡς πολὺν κατηρίθμησας χρόνον· εἶθ' οὕτω σωθεὶς ἐκεῖθεν, ἦλθες ὧδε, ὠμότητος ἐσόμενος θῦμα;

ΜΕ. Τί φής; λέξον σαφῶς· ἀπόλωλα ὅλως.

ΕΛ. Εἰ μὴ γὰρ φύγοις ὡς τάχιστα ἐντεῦθεν, ἀποθανῇ ληφθεὶς πρὸς τοῦ δεσπότου τούτου, οὗπέρ ἐστιν ὁ οἶκος.

ΜΕ. Τίνα αἰτίαν ἔχων;

ΕΛ. Ἐλθὼν ἀπροσδόκητος τοὺς ἐμοὺς κωλύσων γάμους.

ΜΕ. Ἦ γάρ τις τὴν ἐμὴν γυναῖκα θέλει ἔχειν;

ΕΛ. Πολλὰ γὰρ εἰς ἐμὲ ἐξύβρισεν ἐκεῖνος.

ΜΕ. Πότερον ἰδίᾳ τις δυνάμει, ἢ ὡς ἄρχων τῆς γῆς ταύτης;

ΕΛ. Ὁ παῖς Πρωτέως, ὃς ἄρχει τῆς Αἰγύπτου.

ΜΕ. Τοῦτ' ἄρ' ἐκεῖνο, ὃ εἴρηκεν ἡ δούλη ἄρτι.

ΕΛ. Ποῦ ποτέ σοι στάντι προείρηκεν ἐκείνη;

ΜΕ. Ἐκ τῶν πυλώνων τούτων ὡς πτωχὸν ἐξήλαυνέ με.

ΕΛ. Ὢ δύστηνος ἐγὼ, ἦπου τροφὴν προσῄτεις;

ΜΕ. Εἰ μὴ λόγῳ, ἔργῳ δὲ τοῦτ' ἐμηχανώμην.

ΕΛ. Τὰ περὶ ἐμοῦ ἄρ' οἶσθα μαθὼν πάντα.

ΜΕ. Πλὴν ἑνὸς, εἰ ἀπέφυγες τὸν ἄνδρα τοῦτον.

ΕΛ. Ἴσθι τὴν σαυτοῦ εὐνὴν καθαρωτάτην οὖσαν.

ΜΕ. Τίς ἂν εἴη πίστις; δεῖ γὰρ σαφῶς εἰδέναι τοῦτο.

---

» Ἐνιαύσιον πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα

» Ἔτεσι διῆλθον ἑπτὰ περιδρομὰς ἐτῶν.

731. Ὁ προσπόλου κλύω] ἴδε ἀνωτέρω. στίχ. 485. καὶ ἑξῆς.

ΕΛ. Ὁρᾷς τάφου τοῦδ᾽ ἀθλίους ἕδρας ἐμάς;
ΜΕ. Ὁρῶ, τάλαινα, στιβάδας, ὧν τί σοι μέτα;
ΕΛ. Ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς.
ΜΕ. Βωμοῦ σπανίζουσ᾽, ἢ νόμοισι βαρβάροις;
ΕΛ. Ἐῤῥύεθ᾽ ἡμᾶς τοῦτ᾽ ἴσον ναοῖς θεῶν.
ΜΕ. Οὐδ᾽ ἄρα πρὸς οἴκους ναυστολεῖν σ᾽ ἔξεστί μοι;
ΕΛ. Ξίφος μένει σε μᾶλλον, ἢ τοὐμὸν λέχος.
ΜΕ. Οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.
ΕΛ. Μὴ νῦν καταιδοῦ· φεῦγε δ᾽ ἐκ τῆσδε χθονός.
ΜΕ. Λιπών σε; Τροίαν ἐξέπερσα σὴν χάριν.
ΕΛ. Κρεῖσσον γὰρ, ἢ σὲ τἄμ᾽ ἀποκτεῖναι λέχη.
ΜΕ. Ἄνανδρ᾽ ἄρ᾽ εἶπας Ἰλίου τ᾽ οὐκ ἄξια.
ΕΛ. Οὐκ ἂν κτάνοις τύραννον, ὃν σπεύδεις ἴσως.
ΜΕ. Οὕτω σιδήρῳ τρωτὸν οὐκ ἔχει δέμας;
ΕΛ. Εἴσῃ· τὸ τολμᾶν δ᾽ ἀδύνατ᾽ ἀνδρὸς οὐ σοφοῦ.
ΜΕ. Σιγῇ παράσχω δῆτ᾽ ἐμὰς δῆσαι χέρας;
ΕΛ. Ἐς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.
ΜΕ. Δρῶντας γὰρ, ἢ μὴ δρῶντας, ἥδιον θανεῖν.
ΕΛ. Μί᾽ ἐστὶν ἐλπὶς, ᾗ μόνῃ σωθεῖμεν ἄν.
ΜΕ. Ὠνητὸς, ἢ τολμητὸς, ἢ λόγων ὕπο;
ΕΛ. Εἰ μὴ τύραννός σ᾽ ἐκπύθοιτ᾽ ἀφιγμένον.
ΜΕ. Ἐρεῖ δὲ τίς μ᾽; οὐ γνώσεταί γ᾽, ὅς εἰμ᾽ ἐγώ.
ΕΛ. Ἔστ᾽ ἔνδον αὐτῷ ξύμμαχος θεοῖς ἴση.
ΜΕ. Φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
ΕΛ. Οὐκ, ἀλλ᾽ ἀδελφή· Θεονόην καλοῦσί νιν.
ΜΕ. Χρηστήριον μὲν τοὔνομ᾽· ὅ τι δὲ δρᾷ, φράσον.
ΕΛ. Πάντ᾽ οἶδ᾽, ἐρεῖ τε συγγόνῳ παρόντα σε.
ΜΕ. Θνήσκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.

ΕΛ. Ὁρᾷς παρὰ τῷ τάφῳ τούτῳ τὴν ἐμὴν ἀθλίαν κλίνην;
ΜΕ. Ὁρῶ στιβάδα· τίς δέσοι χρεία ταύτης;
ΕΛ. Οὕτως, ὡς ἱκέτις, ἀπέφευγον τὸν γάμον.
ΜΕ. Χήτει βωμῶν, ἢ κατὰ νόμον τῶν βαρβάρων;
ΕΛ. Ταὐτὰ γὰρ δύναται τοῖς τῶν θεῶν ναοῖς καὶ τοῦτο.
ΜΕ. Οὐδ᾽ ἄρα οἴκαδέ μοι ἐξέσται ἀποπλεῦσαι;
ΕΛ. Θᾶττον τὸ ξίφος, ἢ τὴν ἐμὴν εὐνὴν προσδόκα.
ΜΕ. Καὶ μὴν τίς ἂν ἐμοῦ οὕτως ἀθλιώτερος ἂν εἴη;
ΕΛ. Μὴ οὖν αἰσχύνου σωτηρίαν φυγὼν σαυτῷ εὑρέσθαι.
ΜΕ. Λιπών σε, ὑπὲρ ἧς ἐπόρθησα τὴν Τροίαν;
ΕΛ. Ἄμεινον πολλῷ, ἢ δι᾽ ἐμὲ μένοντα τεθνᾶναι.
ΜΕ. Μαλακὰ ταῦτα φῂς, κἀνάξια τῆς Τροίας.
ΕΛ. Μὴ δ᾽ ἐλπίζειν σε ἀνελεῖν τοιοῦτον ἄνδρα.
ΜΕ. Μῶν οἷος ἐςι μὴ τιτρώσκεσθαι σιδήρῳ;
ΕΛ. Ἀδυνάτοις γὰρ ἐπιχειρεῖν οὐ σωφρονοῦντος.
ΜΕ. Τί δε; παράσχω ἐμαυτὸν ἑκόντα δῆσαι;
ΕΛ. Ἄπορα σοὶ ταυτα, ει μὴ ετέρῳ τρόπῳ.
ΜΕ. Εἰ χρὴ θανεῖν, δεῖ με θανεῖν μετὰ δόξης.
ΕΛ. Μία ἐλπὶς ἡμῖν ἐςι προς σωτηρίαν.
ΜΕ. Λόγῳ, ἢ ἔργῳ, ἢ ὅτῳ τολμητέον;
ΕΛ. Εἰ μὴ μάθοισε ὁ τύραννος ἐλθόντα.
ΜΕ. Τίς δ᾽ ἐρεῖ αὐτῷ; οὐδὲ γὰρ, ὅς τις εἰμὶ, γινώσκει.
ΕΛ. Ἔχει σύμμαχον ἰσόθεον ἐκεῖνος οἴκοι.
ΜΕ. Φήμην φῂς τινα ἐν μυχοῖς τῶν οἴκων ἱδρυμένην;
ΕΛ. Οὐ τούτῳ, ἀλλ᾽ ἀδελφὴν τὴν Θεονόην.
ΜΕ. Τὸ μεν ὄνομα χρησμῳδόν· τό δ᾽ ἔργον τίς αὕτη;
ΕΛ. Ὡς πάντ᾽ εἰδυῖα, κατερεῖ σε τῷ ἀδελφῷ ἐλθόντι.
ΜΕ. Κακὸν τούτῳ φῂς· λαθεῖν γαρ ἡμᾶς οὐκ ἔςται.

ΕΛ. Εἴ πως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν.
ΜΕ. Τί χρῆμα δρᾶσαι; τίν' ὑπάγεις μ' ἐς ἐλπίδα;
ΕΛ. Παρόντα γαίᾳ μὴ φράσαι σε συγγόνῳ.
ΜΕ. Πείσαντε δ', ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
ΕΛ. Κοινῇ γ' ἐκείνῃ ῥᾳδίως, λάθρ' οὐδαμοῦ.
ΜΕ. Σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
ΕΛ. Ὡς οὐκ ἄχρωστα γόνατ' ἐμῶν ἕξει χερῶν.
ΜΕ. Φέρ' ἢν δὲ δὴ νῷν μὴ 'ποδέξηται λόγους;
ΕΛ. Θανεῖ· γαμοῦμαι δ' ἡ τάλαιν' ἐγὼ βίᾳ.
ΜΕ. Προδότις ἂν εἴης· τὴν βίαν σκήψασ' ἔχεις.
ΕΛ. Ἀλλ' ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα.
ΜΕ. Τί φής; θανεῖσθαι, κοὔποτ' ἀλλάξειν λέχη;
ΕΛ. Ταὐτῷ ξίφει γε· κείσομαι δέ σου πέλας.
ΜΕ. Ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.
ΕΛ. Ψαύω, θαντόντος σοῦ, τόδ' ἐκλείψειν φάος.
ΜΕ. Κἀγὼ στερηθείς σου, τελευτήσω βίον.
ΕΛ. Πῶς οὖν θανούμεθ', ὥστε καὶ δόξαν λαβεῖν;
ΜΕ. Τύμβου 'πὶ νώτῳ σε κτανὼν, ἐμὲ κτενῶ.
Πρῶτον δ' ἀγῶνα μέγαν ἀγωνιούμεθα
Λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων, ἴτω πέλας·
Τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος,
Οὐδ' Ἑλλάδ' ἐλθὼν, λήψομαι πολὺν ψόγον,
Ὅστις Θέτιν μὲν ἐστέρησ' Ἀχιλλέως,
Τελαμωνίου δ' Αἴαντος εἰσεῖδον σφαγὰς,
Τὸν Θησέως τε παῖδα· διὰ δὲ τὴν ἐμὴν

842. Κτενῶ] οὕτω γράφω ἀντὶ τοῦ, κτενεῖ, γνώμῃ καὶ ἑτέρου· προσβεβαιοῦται δὲ ἡ εἰκασία καὶ ἐξ ὧν φησι παρακατιὼν στίχ. 991. — 849. Τὸν Θησέως] γραπτέον ἂν εἴη τὸν Νέστορος· ἢ Νηλέως· οὐδεὶς γὰρ τῶν Θησέως παίδων ἱστόρηται ἀ-

ΕΛ. Εἰ μὴ ἀναπείσαιμεν ἐκείνην ἱκεσίαις.
ΜΕ. Τί χρῆμα δρῶντες, ὥστε ἔχειν ἐλπίδα;
ΕΛ. Μὴ κατειπεῖν σε τῷ ἀδελφῷ παρόντα ὧδε.
ΜΕ. Εἰ δὲ πείσαιμεν ἐκείνην, ἐξέσται ἡμῖν ἀπᾶραι;
ΕΛ. Οὐκ ἂν ἄλλως, εἰμὴ, ἐκείνης βουλομένης.
ΜΕ. Γυναικὸς οὖν ἔργον γυναῖκα πείθειν λόγῳ.
ΕΛ. Αὐτίκα τῶν ἐκείνης ἅψομαι γονάτων.
ΜΕ. Τί δὲ, ἣν ἡμῶν ἀποστραφῇ τοὺς λόγους;
ΕΛ. Σὺ μὲν θανῇ· ἐγὼ δ' ἐκβιασθήσομαι εἰς γάμον.
ΜΕ. Συνῆκα· προδώσεις με, σκηπτομένη τῇ βίᾳ.
ΕΛ. Τὴν σὴν ὄμνυμι κεφαλὴν περὶ τούτου.
ΜΕ. Τί δή; ἀποθανεῖσθαι, μὴ μεταβαλλομένη;
ΕΛ. Τῷ αὐτῷ σοι ξίφει πάντως ἀποσφαγεῖσα.
ΜΕ. Δὸς τὴν σὴν τῇ ἐμῇ δεξιᾷ ἐπὶ τοῖσδε.
ΕΛ. Ἰδού· ἀποθανόντος σου, συναποθανεῖσθαι.
ΜΕ. Κἀγὼ ἀφαιρεθείς σου, μηκέτι ἐπιζήσειν.
ΕΛ. Πῶς ἂν εἴη τοῦτο μετὰ καλλίστης δόξης;
ΜΕ. Ἀποκτείνας γὰρ σὲ ἐπὶ τοῦ τάφου τοῦδε, τῷ αὐτῷ ξίφει κἀγὼ ἀπαλλάξω τοῦ βίου· ἀλλ' οὐκ ἀκονιτὶ τοῦτο δὴ καταπράξω, πρὶν ἂν μέγιστον ἀγῶν' ἀγωνισώμεθα περὶ σοῦ. Ἀλλ' ἴτω, προσίτω μοι ὁ βάρβαρος, εἴγε τολμῴη τὸν ἐμὸν τουτονὶ ὑποστῆναι βραχίονα· οὐ γὰρ ἂν τὴν ἐπὶ τοῖς ἐν Τροίᾳ πεπραγμένοις καταισχύναιμι δόξαν· οὐδ' οἴκαδ' ἐλθὼν, αἰσχύνην ὄφλοιμι· ὃς εἶδον Θέτιδά τε αὐτὴν ἐμοῦγ' ἕνεκα θρηνήσασαν Ἀχιλλέα, καὶ Αἴαντ' αὐτόχειρα γεγενημένον, καὶ τὸν Νέστορος

---

ποθανεῖν ἐν Τροίᾳ οὐ Δημοφῶν, οὐκ Ἀκάμας· τῶν δὲ Νέστορος μάλιστα ὁ Ἀν-

Οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ' ἐγώ;
Μάλιστά γ'· εἰ γὰρ εἰσιν οἱ θεοὶ σοφοὶ,
Εὔψυχον ἄνδρα, πολεμίων θανόνθ' ὕπο,
Κούφη καταμπίσχουσιν ἐν τύμβῳ χθονὶ,
Κακοὺς δ' ὑφ' ἕρμα στερεὸν ἐμβάλλουσι γῆς.
Ὦ θεοι, γενέσθω δή ποτ' εὐτυχὲς γένος
Τὸ Ταντάλειον, καὶ μεταστήτω κακῶν!
ΕΛ. Οἲ 'γὼ τάλαινα! τῆς τύχης γὰρ ὧδ' ἔχω.
Μενέλαε, διαπεπράγμεθ'· ἐκβαίνει δόμων
Ἡ θεσπιῳδὸς Θεονόη· κτυπεῖ δόμος,
Κλήθρων λυθέντων· φεῦγ'· ἀτὰρ τί φευκτέον;
Ἀποῦσα γάρ σε καὶ παροῦσ' ἀφιγμένον
Δεῦρ' οἶδεν· ὦ δύστηνος, ὡς ἀπωλόμην!
Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς,
Ἐς βάρβαρ' ἐλθὼν φάσγαν' αὖθις ἐμπεσῇ.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΘΕΟΝΟΗ, ΕΛΕΝΗ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Ἡγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας,
Θεῖον δὲ σέμνου θεσμὸν αἰθέρος μυχῶν,

τίλοχος 855. Ὑφ' ἕρμα στερεὸν] ὑπὸ πολὺ καὶ δυσβάστακτον βάρος, σωρόν· εἰώθεσαν γὰρ οἱ παλαιοὶ τούτῳ τῷ τρόπῳ ἐκφράζειν τὴν μετὰ θάνατον εὐτυχίαν, οἷον καὶ τὸ, Ἔχοις γαῖαν ἐλαφράν. 858. Διαπεπράγμεθα] πεφονεύμεθα

παῖδα πεσόντα ἐν προμάχοις· ἐγὼ δ' αὐτὸς οὐκ ἀποθανοῦμαι ὑπὲρ τῆς ἐμαυτοῦ γυναικός; πάντως γε· εἰ γὰρ οἱ θεοὶ σοφοὶ, τοὺς μὲν ἀγαθοὺς ἐν πολέμοις γεγενημένους κούφῳ γαίᾳ καλύπτουσιν ἐν τάφῳ· τοὺς δὲ κακοὺς τοὐναντίον ἐπιβρίθοντι ὑποκρύπτουσι φορτίῳ. Ἀλλ' ὦ θεοὶ, εὐτυχοίη νῦν γε τὸ Ταντάλειον γένος, τῶν πολλῶν καὶ συχνῶν κακῶν μεθιςάμενον.

ΕΛ. Οἴμοι τῇ δυστήνῳ! ὡς οὐκ ἔχω ἥτις γένωμαι· ἀπολώλαμεν Μενέλαε· ἥδε γὰρ ἡ θεσπιῳδὸς ἔξεισιν ὡς ἡμᾶς ἡ Θεονόη· τὰ κλεῖθρα γὰρ λυθέντα, κτυπεῖ· φεῦγε, ἀλλὰ τίσε δεῖ πάλιν φεύγειν; ἐκείνη γὰρ, κἂν ἀπῇ, κἂν παρῇ, οἶδέ σε ὄντα ὧδε. Ὦ δύστηνος ἐγὼ ἀπολώμην. Τροίας δὲ διασωθεὶς τῆς βαρβάρου, εἰς βάρβαρον αὖθις, ἀφικόμενος ὧδε, ξίφος ἐμπεσῇ.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΘΕΟΝΟΗ, ΕΛΕΝΗ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Ἡγοῦμοι σὺ, τὴν ἱερὰν φέρουσαν λαμπάδα· προοδεύουσα δὲ, ἀποσέμνου τὸ βάθος τοῦ αἰθέρος κατὰ τὸν

ὁρᾷ δὲ Θεονόην ἐρχομένην. 865. Ἡγοῦ σὺ φέρουσα] ἐλθοῦσα ἡ Θεονόη πρὸς τῇ θύρᾳ, πριν ἐξελθεῖν τοῦ ναοῦ κελεύει δύο προσπόλους, τὴν μὲν καθαίρειν τὸν ἀέρα τῷ φωτὶ τῆς λαμπάδος· τὴν δὲ, τὴν ὁδὸν, εἴ τις ἐξεβήλωσεν ἀκαθάρτῳ ποδί· οὕτω γὰρ οἱ μάντεις παρ' Αἰγυπτίοις εἰώθεσαν καθαίρειν τόντ'

Ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα·
Σὺ δ' αὖ κέλευθον, εἴ τις ἔβλεψεν ποδὶ
Στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογὶ,
Κροῦσον δὲ πεύκην, ἵνα διεξέλθω πυρός.
Νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦναι, πάλιν
Ἐφέστιον φλόγ' ἐς δόμους κομίζετε.
Ἑλένη, τί; τἀμὰ, πῶς ἔχει, θεσπίσματα;
Ἥκει πόσις σοι Μενέλεως ὅδ' ἐμφανὴς,
Νεῶν στερηθεὶς, τοῦ τε σοῦ μιμήματος.
Ὦ Τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
Οὐδ' οἶσθα νόστον οἴκαδ', εἴτ' αὐτοῦ μενεῖς·
Ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι
Ἔσται πάρεδρος Ζηνὶ τῷδ' ἐν ἤματι.
Ἥρα μὲν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,
Νῦν ἐστὶν εὔνους, κεἰς πάτραν σῶσαι θέλει
Ξὺν τῇδ', ἵν' Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους,
Δώρημα Κύπριδος, ψευδονυμφεύτους μάθῃ.
Κύπρις δὲ νόστος σὸν διαφθεῖραι θέλει,
Ὡς μήτ' ἐλεγχθῇ, μηδὲ πριαμένη φανῇ
Τὸ κάλλος Ἑλένης οὕνεκ' ἀνονήτοις γάμοις.
Τέλος δ' ἐφ' ἡμῖν, εἴθ' ἃ βούλεται Κύπρις,
Λέξασ' ἀδελφῷ σ' ἐνθάδ' ὄντα διολέσω,
Εἴτ' αὖ μεθ' Ἥρας στᾶσα, σὸν σώσω βίον,
Κρύψασ' ὁμαίμον', ὅς με προστάσσει τάδε
Εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχῃς.

---

αἰθέρα καὶ τὰς ὁδούς· τὸ δὲ Σέμνου, Σεμνοῦ ἐν ἄλλοις κεῖται. 875. Μιμήμα-

νόμον, ἵνα καθαρὸν ἐξ αὐτοῦ δεξώμεθα πνεῦμα· σὺ δ' αὖ, εἴτις ἀκαθάρτῳ ποδὶ ἐβάδισεν ὧδε, ἀποκάθαρον τὴν ὁδὸν τῷ πυρὶ, κρούουσα τὴν δᾷδα πανταχοῦ, ἔνθα μέλλω διεξιέναι· τοῦτον δὲ τὸν νόμον ἀποδοῦσαι τοῖς θεοῖς, ἐπανέλθετε, τὸ ἐφέστιον πῦρ κομίζουσαι οἴκαδε.

Ἑλένη, τίποτε πράττεις, ταλαίπωρε; πῶς δ' ἔχει σοι τἀμὰ προθεσπίσματα; ἰδού σοι Μενέλαος, ὁ σὸς φίλος ἀνὴρ, ἥκεν ὧδε, τῆς τε νεὼς καὶ τοῦ φάσματος ἐκείνου ἀποςερηθείς· ὦ τλήμων σύγε, οἵους ἀποφυγὼν, κινδύνους, δεῦρο διεσώθης· καὶ νῦν αὖθις οὐκ οἶδα, εἴτ' ἐπανήξεις οἴκαδε, εἴτ' αὐτοῦ ἀπαλλάξεις· τήμερον γὰρ ἐκκλησία ἔςαι θεῶν παρὰ τῷ Διὶ περὶ σοῦ εριζόντων. Ἥρα μὲν γὰρ ἡ πρὶν δυσμενής σοι, νῦν καταλλαγεῖσα, ἀμφοτέρους ὑμᾶς ἀποσῶσαι βούλεται οἴκαδε· ἵν' ἡ Ἑλλὰς ψευδεῖς καὶ ἀπατηλοὺς μάθῃ τοὺς τοῦ Πάριδος γάμους, οὓς αὐτῷ ἐμνήστευσεν Ἀφροδίτη· αὕτη δ' αὖθις τοὐναντίον, ἵνα μὴ ἐξελεγχθῇ πριαμένη τὸ κάλλος τῷ τῆς Ἑλένης γάμῳ, ἀπείργει παντὶ σθένει τὴν σὴν οἴκαδε νόςον· τέως δ' οὖν ἐπ' ἐμοὶ κεῖται νῦν δυοῖν θάτερον, ἤτοι τοῦθ' ὃ βούλεται Ἀφροδίτη, ἀπολέσαι σε ἐνταυθοῖ, ἐξειποῦσάν σε τῷ ἐμαυτῆς ἀδελφῷ ἀφικόμενον δεῦρο, ἢ τὴν τῆς Ἥρας μοῖραν προελομένην, καὶ ἀποκρυψαμένην τοῦτο τὸν ἀδελφὸν, διασῶσαι· ὃς ἐκέλευσέ με εἰπεῖν αὐτῷ, ἡνίκ' ἂν ἐνθάδε ἔλθῃς ἱς

τος] τοῦ φάσματος. 886. Ἀνονήτοις] ἐν ἄλλοις κεῖται, θνητοῖς.

Τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν ἐμῷ
Παρόνθ', ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχῃ;

ΕΛ. Ὦ παρθέν', ἱκέτις ἀμφὶ σὸν πιτνῶ γόνυ,
Καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα
Ὑπέρ τ' ἐμαυτῆς τοῦδέ θ', ὃν, μόλις ποτὲ
Λαβοῦσ', ἐπ' ἀκμῆς εἰμὶ κατθανόντ' ἰδεῖν·
Μή μου κατείπῃς σῷ κασιγνήτῳ πόσιν
Τόνδ', εἰς ἐμὰς ἥκοντα φιλτάτας χέρας·
Σῶσον δὲ, λίσσομαί σε· συγγόνῳ δὲ σῷ
Τὴν εὐσέβειαν μὴ προδῷς τὴν σήν ποτε,
Χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.
Μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτηκὰ δὲ
Κτᾶσθαι κελεύει πάντας οὐκ ἐς ἁρπαγάς.
Ἐκτέος δ' ὁ πλοῦτος ἔς', ἄδικος τις ὤν·
Κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς,
Καὶ γαῖ', ἐν ᾗ χρὴ δώματ' ἀναπληρουμένους,
Τἀλλότρια μὴ 'χειν, μηδ' ἀφαιρεῖσθαι βίᾳ.
Ἡμᾶς δὲ μακαρίως μὲν, ἀθλίως δ' ἐμοὶ,
Ἑρμῆς ἔδωκε πατρὶ σῷ σώζειν πόσει
Τῷδ', ὅς πάρεστι, κἀπολάζυσθαι θέλει.
Πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς
Τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ' ἄν,
Ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει,

892. Τίς εἶς] ἀντὶ τοῦ, τίς εἶ; ἡμάρτηται δή που ἡ γραφή· παραινεῖ δέ τις γράφειν, τί φής; καλῶς μὲν καὶ οὕτως· ἀλλ' ἐν ἄλλοις κεῖται ὀρθῶς ἔχον ὧδί. Τίς εἶσ' ἀδελφῷ τόνδε σημανῶν γ' ἐμῷ παρόνθ', ὅπως καὶ τὰ λ.π. ἡ γὰρ Θεονόη περάνασα τὸν πρὸς τὴν Ἑλένην λόγον, στρέφεται πρὸς τοὺς ἑαυτῆς θεράποντας, καί φησι

οὖν σπεύσει ἀγγελῶν ἐκείνῳ παρόντα τοῦτον, ὅπως τὸ κατ' ἐμὲ ἀσφαλῶς ἔχῃ;

ΕΛ. Ὦ παρθένε, ἱκέτις ἐπὶ τῆς οἰκτρᾶς ταύτης προσκαθεζομένη στιβάδος, τῶν σῶν ἅπτομαι γονάτων ὑπέρ τε ἐμαυτῆς καὶ τούτου, ὃν μάλιστά γε φιλῶ, καὶ ὃν μόλις ποτὲ λαβοῦσα, ὡς ἐπ' ἀκμῆς ξυροῦ εἰμι κατιδεῖν αὐτὸν σφαττόμενον οἰκτρῶς· μή μοι κατείπῃς, δέομαι, Θεοκλυμένῳ τὸν ἐμὸν φίλον ἄνδρα, νῦν χρόνιον μόλις εἰς τὰς ἐμὰς ἐμπεσόντ' ἀγκάλας· ἀλλὰ σῶσον· μηδὲ προδῷς τὴν σαυτῆς θεοσέβειαν, χάριν ἄχαριν καὶ ἄδικον ἀντωνουμένη· ὁ γὰρ θεὸς τὸ βίαιον μισῶν, κελεύει ἔχειν ἕκαστον, ἃ τυγχάνει κεκτημένος· ἐκ δ' ἁρπαγῆς πλουτεῖν ἀδίκως ἀποτρόπαιόν ἐστι παρ' αὐτῷ· ἔστι γὰρ ἡμῖν οὐρανὸς ἄνω καὶ γῆ κατω κοινὰ πᾶσιν ἀνθρώποις· ἐξ ὧν ἐμπλήσαντας τῶν ἀγαθῶν τὰς ἑαυτῶν οἰκίας, ἀπέχεσθαι χρὴ τῶν ἀλλοτρίων, μηδ' ἀφαιρεῖσθαι βίᾳ· ἐμὲ δ' ὁ Ἑρμῆς ἐκ θείας μὲν βουλῆς, δυσπραξίας δ' ἐμῆς, ἀγαγὼν ἐνταῦθα, παρέδωκε τῷ σῷ μακαρίῳ πατρὶ φυλάττειν ὡς παρακαταθήκην τῷ φιλτάτῳ μοι ἀνδρὶ τουτῳΐ, ὃς ἐλθὼν νῦν ἀξιοῖ με ἀπολαβεῖν, οὖσαν ἑαυτοῦ· οὗτος οὖν εἰ ἀποθάνοι, πῶς ἂν ἀπολάβοι, ὃ αὐτῷ προσήκει; κἀκεῖνος δ' αὖ πῶς ἂν ἀποδοίη ποτε τὴν ζῶσαν τῷ θανόντι; οὐκοῦν ἐκεῖνο πρός τε τοῦ πατρὸς, πρός τε τοῦ θεοῦ σκόπει ἤδη πό-

---

τίς πορεύσεται σημανῶν τῷ ἐμῷ ἀδελφῷ παρόντα τοῦτον· οὕτως οὖν γράφω ἔγωγε. 906. Κοινὸς οὐρανος] ἴδε Φοιν. 558. καὶ ἑξῆς. 921. Δώσεις χάριν.

Πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας,
Βούλοιντ' ἂν, ἢ οὐ βούλοιντ' ἂν ἀποδοῦναι πάλιν;
Δοκῶ μέν· οὔκουν χρή σε συγγόνῳ πλέον
Νέμειν ματαίῳ, μᾶλλον ἢ χρηστῷ πατρί.
Εἰ δ', οὖσα μάντις καὶ τὰ θεῖ' ἡγουμένη,
Τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
Τῷ δ' οὐ δικαίῳ συγγόνῳ δώσεις χάριν,
Αἰσχρὸν, τὰ μέν σε θεῖα πάντ' ἐξειδέναι,
Τά τ' ὄντα καὶ μὴ, τὰ δὲ δίκαια μὴ εἰδέναι.
Τὴν δ' ἀθλίαν ἔμ', οἵσιν ἔγκειμαι κακοῖς,
Ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς τύχης.
Ἑλένην γὰρ οὐδεὶς, ὅστις οὐ στυγεῖ βροτῶν·
Ἣ κλῄζομαι καθ' Ἑλλάδ' ὡς, προδοῦσ' ἐμὸν
Πόσιν, Φρυγῶν ᾤκησα πολυχρύσους δόμους.
Ἢν δ' Ἑλλάδ' ἔλθω κἀπιβῶ Σπάρτης πάλιν,
Κλύοντες, εἰσιδόντες, ὡς τέχναις θεῶν
Ὤλοντ', ἐγὼ δὲ προδότις οὐκ ἄρ' ἦν φίλων,
Πάλιν μ' ἀνάξουσ' ἐς τὸ σῶφρον αὖθις αὖ,
Ἑδνάσομαί τε θυγατέρ', ἣν οὐδεὶς γαμεῖ,
Τὴν δ' ἐνθάδ' ἐκλιποῦσ' ἀλητείαν πικρὰν,
Ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
Κεἰ μὲν θανὼν ὅδ' ἐν πυρᾷ κατεσφάγη,
Πρόσω σφ' ἀπόντα δακρύοις ἂν ἠγάπων·

ἐν ἄλλοις δὲ δώσεις δίκην, οὐ καλῶς. 923. Τάτ' ὄντα, καὶ μὴ] τίνα δ' ἂν εἶεν τὰ μή; ἢ τὰ μήπω γεγονότα, τὰ μέλλοντα. 936. Ἐν πυρᾷ κατεσφάγη] εἰ ζωγρηθεὶς πῃ ὑπ' ἐχθρῶν, κατεσφάγη ἐπὶ βωμοῦ· ἔσφαζον γὰρ πολλάκις οἱ Ἕλληνες τοὺς ἐζωγρημένους, ὡς καὶ Θεμιστοκλῆς τοὺς τρεῖς εὐγενεῖς Πέρσας

τερον βούλοιντ' ἂν οὗτοι, ἔχειν τὰ τῶν ἄλλων, ἢ ἀποδοῦναι πάλιν; ἐγὼ μὲν οἶμαι τοῦτο· δεῖ σε τοίνυν, τὸ δίκαιον πρὸ παντὸς τιθεμένην, προστεθεῖν τῷ ἀγαθῷ πατρὶ μᾶλλον, ἢ χάριν ἄχαριν θηρωμένην, βιαίῳ καὶ ὠμῷ ἀδελφῷ τὸ πλέον νεῖμαι· εἰ δὲ, μάντις οὖσα, καὶ τὰ θεῖα εἰδυῖα, τῶν μὲν τοῦ πατρὸς δικαίων ὀλιγωρήσεις, τῷ δὲ ἀδίκῳ ἀδελφῷ δώσεις φέρουσα τὴν νικῶσαν, πῶς οὐκ αἰσχρὸν τὰ μὲν θεῖα τά τε παρόντα καὶ τὰ μέλλοντα πάντ' εἰδέναι, τὰ δὲ δίκαια ἀγνοεῖν; ῥῦσαι τοίνυν με τῶν κακῶν, οἷς τυγχάνω περιπεσοῦσα, τῇ ἐναντίᾳ μοι τύχῃ ἀποδιδοῦσα ταῦτα· νῦν γὰρ οὐδεὶς ἔσθ' ὅςις ἀνὰ πᾶσαν τὴν Ἑλλάδα οὐ μισεῖ τὴν Ἑλένην, ὡς δῆθεν τὸν ἐμαυτῆς προδοῦσαν ἄνδρα, καὶ τοὺς τῶν Φρυγῶν πολυτελεῖς κατοικήσασαν οἴκους· ταῦτα γὰρ λέγεται· εἰ δ' ἐπανέλθοιμι οἴκαδε, καὶ ἐπιβαίην τῆς φίλης Σπάρτης, τηνικαῦτα τὰ μὲν ἀκούοντες, τὰ δὲ ὁρῶντες, οὕτω μαθόντες ἅπαντα, ὡς αὐτοί τε θεῶν μηχαναῖς ἔπαθον, ἃ ἔπαθον ἐν Ἰλίῳ, κἀγὼ οὐκ ἀληθῶς τυγχάνω προδοῦσα τοὺς φίλους, τάχ' ἂν ὑπολάβοιεν αὖθις με σώφρονα εἶναι· κἀκ τούτου τήντε ἐμαυτῆς θυγατέρα ἐκδώσω ἀνδρὶ, ἣν τόγε νῦν ἔχον οὐδεὶς ἐθέλει λαβεῖν· κἀγὼ ἀντὶ τῆς πικρᾶς ταύτης πλάνης, ἐπανελθοῦσα, ἀπολαύσω τῶν ὑπαρχόντων μοι οἴκοι· καί μοι σκόπει πρὸς Διὸς, ὦ παρθένε· εἰ μὲν γὰρ οὑμὸς ἀνὴρ, ἄλλῃ πῇ ζωγρηθεὶς, κατεσφάζετο ἐπί τινος πυρᾶς, τοῦτον πόῤῥωθεν θρηνοῦσαν, καίτοι καὶ τοῦτο μὲν κακὸν, πῶς γὰρ οὔ; ἀλλ' ἦν ἄν μοι τῷ χρόνῳ ἀνεῖναι τὸ πάθος·

Νῦν δ' ὄντα καὶ σωθέντ' ἀφαιρεθήσομαι.
Μὴ δῆτα, παρθέν', ἀλλά σ' ἱκετεύω τόδε·
Δὸς τὴν χάριν μοι τήνδε, καὶ μιμοῦ τρόπους
Πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
Κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς,
Ἐς ταυτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
ΘΕ· Οἰκρὸν μὲν οἱ παρόντες ἐν μέσῳ λόγοι,
Οἰκτρὰ δὲ καὶ σὺ, τοῦ δὲ Μενέλεω ποθῶ
Λόγους ἀκοῦσαι, τίνας ἐρεῖ ψυχῆς πέρι·
ΜΕ· Ἐγὼ σὸν οὔτ' ἂν προσπεσεῖν τλαίην γόνυ,
Οὔτ' ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν,
Δειλοὶ γενόμενοι, πλεῖστον αἰσχύνοιμεν ἄν.
Καίτοι λέγουσιν, ὡς πρὸς ἀνδρὸς εὐγενοῦς,
Ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
Ἀλλ' οὐχὶ τοῦτο τὸ καλὸν, εἰ καλὸν τόδε,
Αἱρήσομαι τοπρόσθε τῆς εὐψυχίας.
Ἀλλ' εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον,
Ζητοῦντά γ' ὀρθῶς ἀπολαβεῖν δάμαρτ' ἐμὴν,
Ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,
Ἐγὼ μὲν οὐ νῦν πρῶτον, ἀλλὰ πολλάκις,
Ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανῇ.
Ἃ δ' ἄξι' ἡμῶν καὶ δίκαι' ἡγούμεθα,
Καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,

ἐν Σαλαμῖνι. 946. Ψυχῆς πέρι] θέλει γὰρ ἡ Θεονόη ἀνιςορῆσαι Μενέλαον πότερον μεγαλόψυχος, ἢ φιλόψυχός ἐστι· διὸ ὁ ποιητὴς παρίστησιν αὐτὸν Ἥρωα γενναιότατον, τάθ' ἑαυτοῦ δίκαια εὖ παρεχόμενον, καὶ τοῦ φρονήματος μη-

νῦν δὲ χρόνιον εἰς τὰς ἐμὰς μόλις διασωθέντ' ἀγκάλας, πῶς υἵσω, ἀφαιρεθεῖσα τοῦτον; ἀλλὰ δέομαί σου καὶ ἱκετεύω δοῦναί μοι τήνδε χάριν, πατρὸς δικαίου δικαίους τιμῶσα τρόπους. παιδὶ γὰρ εὐκλεεῖ κλέος καλλιστον τοῦτο, χρηστοῦ πατρὸς γεγονότα, τοὺς ἐκείνου μιμεῖσθαι τρόπους.

ΘΕ. Οἰκτρὰ μέν σοι ταῦτ' εἴρηται πάντα· ἐλεεινὴ δὲ καὶ σὺ, ὦ γύναι· νῦν δὲ πόθος με κναίει διακοῦσαι, καὶ ἃ οὗτος περὶ τῆς ἑαυτοῦ ψυχῆς φρονῶν τυγχάνει.

ΠΕ. Ἐγὼ δὲ μήτε τῶν σῶν γονάτων ἅψασθαι ἀξιῶ, μήτε δάκρυα ἀπὸ τῶν ὀφθαλμῶν ἀφιέναι· δειλῶν γὰρ τοῦτο καὶ φιλοψύχων· καὶ καταισχύνοιτ' ἂν Τροία, ἡμῶν τοιαῦτα παθόντων· χαιρέτω τοίνυν λόγος ἐκεῖνος, ὡς ἀνδρός ἐστιν εὐγενοῦς, κακῶς αὐτῷ τῶν πραγμάτων ἐχόντων, δακρύειν· τὸ γὰρ καλὸν τοῦτο, εἰ θοῖμεν τοιοῦτον εἶναι ταῖς ἀληθείαις, οὐκ ἂν ἔγωγε περὶ πλείονος ποιησαίμην τῆς εὐψυχίας· ἀλλ' εἰ μὲν δοκεῖ σοι διασῶσαι ἄνδρα ξένον, τὴν ἑαυτοῦ γυναῖκα θέλοντα λαβεῖν δικαίως, σῶσον, ἀποδοῦσα αὐτῷ ἐκείνην· εἰ δὲ μὴ, ἐμοὶ μὲν σύνηθες τὸ κακῶς πράττειν, καὶ οὐδὲν πλέον, ἢ ὃ πολλάκις καὶ πρῴην τοῦτο καὶ αὖθις ἔσται μοι· σὺ δὲ τῆς ὑπαρχούσης ἀρετῆς ἐκπεσοῦσα, κακὴ φανῇ· ἃ δ' οὖν ἐμοῦ τε ἄξια καὶ δίκαιά ἐστιν εἰπεῖν, καὶ τῆς σῆς ψυχῆς δηκτήρια μάλιστα, ταῦτ' ἐρῶ νῦν

---

δὲν ἐκπίπτοντα, μήτε κλαυθμυρίζοντα πρὸς τοῖς γόνασιν ἐκείνης γυναικοπρεπῶς· ὥσπερ ἀνωτέρω παρέστησεν αὐτὸν ἀλήτην, ἀγύρτην τε, καὶ ῥακενδύτην πτωχὸν ἀναξίως.

Λέξω τόδ' ἀμφὶ μνῆμα σοῦ πατρὸς πόθῳ.
Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάϊνον τάφον,
Ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,
Ἣ Ζεὺς ἔπεμψε δεῦρό σοι, σώζειν ἐμοί.
Οἶδ', οὕνεχ' ἡμῖν οὔ ποτ' ἀποδώσεις θανών·
Ἀλλ' ἥδε πατέρα νέρθεν ἀνακαλούμενον
Οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον
Κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
Ὦ νέρτερ' Ἅδη, καὶ σὲ σύμμαχον καλῶ,
Ὃς πόλλ' ἐδέξω τῆσδ' ἕκατι σώματα,
Πεσόντα τῷ 'μῷ φασγάνῳ, μισθὸν δ' ἔχεις.
Ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν,
Ἢ τήνδ' ἀνάγκασόν ποτ', εὐσεβοῦς πατρὸς
Κρείσσω φανεῖσαν, τἀμά γ' ἀποδοῦναι λέχη.
Εἰ δέ με γυναῖκα τὴν ἐμὴν συλήσετε,
Ἅ σοι παρέλιπεν ἥδε τῶν λόγων, φράσω.
Ὅρκοις κεκλήμεθ', ὡς μάθῃς, ὦ παρθένε,
Πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῷ συγγόνῳ·
Κἀκεῖνον, ἢ 'μέ, δεῖ θανεῖν· ἁπλοῦς λόγος.
Ἢν δ' ἐς μὲν ἀλκὴν μὴ πόδ' ἀντιθῇ ποδὶ,
Λιμῷ δὲ θηρᾷ τύμβον ἱκετεύοντε νῴ,
Κτανεῖν δέδοκται τήνδ' ἐμοὶ, κἄπειτ' ἐμὸν
Πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε,
Τύμβου 'πὶ νώτοις τοῦδ', ἵν' αἵματος ῥοαὶ
Τάφου καταστάζωσι· κεισόμεσθα δὲ
Νεκρὼ δύ' ἑξῆς τῷδ' ἐπὶ ξεστῷ τάφῳ,
Ἀθάνατον ἄλγος σοὶ, ψόγος δὲ σῷ πατρί.
Οὐ γὰρ γαμεῖ τήνδ' οὔθ' ὁ σύγγονος σέθεν,

σὺν σπουδῇ περὶ τὸν τάφον τοῦτον τοῦ σοῦ πατρός. Ὦ γέρον, ὃς ὑπὸ τὸν λίθινον τοῦτον τάφον κεῖσαι, ἀπόδος μοι τὴν ἐμὴν γυναῖκα νῦν ἀπαιτοῦντι, ἣν Ζεὺς ἔπεμψέ σοι δεῦρο, κελεύσας σώζειν ταύτην ἐμοί· οἶδα μὲν οὖν, ὡς ἀποθανὼν αὐτὸς, οὐκ ἂν ἀποδοίης· πῶς γάρ; ἀλλ' ἥδε ἡ σὴ θυγάτηρ, ἐπ' αὐτῇ ἤδη κειμένου τοῦ πράγματος, οὐκ ἂν ἀξιώσειε πατέρα εὐκλεέστατον ἐν τῷ βίῳ γεγενημένον, νῦν ἀπὸ τοῦ Ἅδου ἀνακαλούμενον, τῆς πρὶν ἐκπεσεῖν εὐκλείας. Ὦ Ἅδη, ὁ τῶν νεκρῶν θεὸς, καί σε αὐτὸν καλῶ ἤδη ἐπὶ συμμαχίαν, ὃς πολλὰ θύματα τουτουῒ βραχίονος ἀνταλάγματα τῆς ἐμῆς ἔχεις γυναικός· ἢ οὖν ἐκείνους ἄφες πάλιν ἀναβιῶναι, ἢ τὴν παρθένον ταύτην ἀνάγκασον, ἀξίαν τῆς τοῦ πατρὸς εὐσεβείας καὶ δικαιοσύνης φανεῖσαν, τὴν ἐμὴν ἐμοὶ ἀποδοῦναι γυναῖκα· ταῦτα μὲν πρὸς ἐκείνους. Εἰ δέ με ταύτην ἀφέλοισθε, ἄκουσον, ἃ παρέλυπεν αὕτη· εἴρηται γὰρ ἡμῖν, καὶ ὅρκοις ἀμφοτέροις ἐπικεκύρωται, ὡς μάθῃς, ὦ κόρη, καὶ ταῦτα, ἦ μὴν ἀγωνιεῖσθαι περὶ ψυχῆς πρὸς τὸν σὸν ἀδελφὸν, ὥσθ' ἁπλῷ λόγῳ τὸν ἕτερον ἡμῶν, ἤτοι ἐμὲ ὑπ' ἐκείνου, ἢ ἐκεῖνον ἀποθανεῖν ὑπ' ἐμοῦ· εἰ δὲ, μὴ τολμήσας ἐς χεῖρας ἐλθεῖν, λιμῷ πειράσαιτο ἡμῶν κρείττων γενέσθαι, πολιορκήσας παρὰ τῷ τάφῳ τουτωῒ ἱκετεύοντας, δέδοκταί μοι πρῶτον μὲν τήνδε ἐπισφάξαι ἐπὶ τοῦ τάφου τούτου· εἶθ' οὕτως ἐμαυτὸν διὰ τοῦ ἥπατος διελάσας τὸ δίστομον τοῦτο ξίφος, ὥστε κατακλύσας αὐτὸν τῷ καταῤῥέοντι αἵματι δυοῖν ἐπιπεσόντων νεκρῶν, σοί τε μέγ' ἄλγος τοῦτο καὶ τῷ σῷ πατρὶ ἐσόμενον ὄνειδος ἐς τὸν ἅπαντα χρόνον· οὐ γὰρ ἂν οὔθ' ὁ σὸς ἀδελφος, οὔθ' ἕτερος ὁστισοῦν τὴν

Οὔτ' ἄλλος οὐδείς· ἀλλ' ἐγὼ σφ' ἀπάξομαι,
Εἰ μὴ πρὸς οἴκους δυνάμεθ', ἀλλὰ πρὸς νεκρούς.
Τί ταῦτα; δακρύοις ἐς τὸ θῆλυ τρεπόμενος,
Ἐλεεινὸς ἦν ἂν μᾶλλον, ἢ δραστήριος.
Κτεῖν', εἰ δοκεῖ σοι· δυσκλεῶς γὰρ οὐ κτενεῖς.
Μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
Ἵν' ἦς δικαία, καὶ δάμαρτ' ἐγὼ λάβω.

ΧΟ. Ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους,
Οὕτω δὲ κρῖνον, ὡς ἅπασιν ἁνδάνῃς.

ΘΕ. Ἐγὼ πέφυκά τ' εὐσεβεῖν καὶ βούλομαι.
Φιλῶ τ' ἐμαυτὴν, καὶ κλέος τοὐμοῦ πατρὸς
Οὐκ ἂν μιάναιμ', οὐδὲ συγγόνῳ χάριν
Δοίην ἂν, ἐξ ἧς δυσκλεὴς φανήσομαι.
Ἔνεστι δ' ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
Ἐν τῇ φύσει. καὶ τοῦτο Νηρέως πάρα
Ἔχουσα, σώζειν Μενέλεων πειράσομαι.
Ἥρα δ' ἐπείπερ βούλεταί σ' εὐεργετεῖν,
Ἐς ταυτόν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι
Ἵλεως μὲν εἴη, συμβέβηκε δ' οὐδαμοῦ.
Πειράσομαι δὲ παρθένος μένειν ἀεί.
Ἃ δ' ἀμφὶ τύμβῳ τῷδ' ὀνειδίζεις πατρὶ,
Ἡμῖν ὅδ' ωὐτὸς μῦθος· ἀδικοίημεν ἂν,
Εἰ μὴ 'ποδώσω. καὶ γὰρ ἂν κεῖνος βλέπων,

991. Τί ταῦτα;] ἐπειδὴ τὰ εἰρημένα δάκρυα προκαλοῦνται, τὰ δὲ δάκρυα ἐκθηλύνουσι τοὺς γενναίους χαρακτῆρας, ὕφεσιν τῆς εὐψυχίας ἐμποιοῦντα, ἐπιστρέφει πρὸς ἑαυτὸν, καί φησι, τί ποτ' ἐλεεινὰ παρεχόμενος, ἀναιρῶ τὸ εὔψυχον καὶ δραστήριον; ἰδοὺ ἐγὼ, κτεῖνόν με, οὐ φοβοῦμαι.

γυναῖκα ταύτην ἀγάγοιτ' ἄν· ἀλλ' ἐγὼ ἐδ' αὐτὸς, ὃς φιλῶ αὐτὴν καὶ ἀσπάζομαι μάλιστα, ἄξομαι· καὶ εἰμὴ οἴκαδε, ἀλλά γε ἐς ἅδου δυνήσομαί γε. Ἀλλὰ τί ποτέ μοι δεῖ τοιούτων λόγων; τὸ γὰρ ἐλεεινῶς λέγειν πρὸς δάκρυα, ἐλεεινόν με ποιεῖ, κοὐ γενναῖον δείκνυσιν ἄνδρα· ἰδοὺ τοὐμὸν στῆθος, ὦ αὔτη, παῖσον, κτεῖνον, εἰ βούλει, μηδὲν φείδου· ἀλλ' οὐκ ἄν με καὶ τῆς εὐκλείας ἀποστερήσεις· μᾶλλον μέντοιγε πείθου, οἷς μοι προείρηται, ἵνα σύ τε φανῇς τιμῶσα τὸ δίκαιον, κἀγὼ τὴν ἐμαυτοῦ ἀπολάβω γυναῖκα.

ΧΟ. Σὸν ἤδη ἐςὶν, ὦ παρθένε, ἐν μέρει λέγειν· λέγοις δὲ οἷς ἂν ἅπασιν ἀρέσειας.

ΘΕ. Οἶδα, ὃ εὖ ποιεῖν ὑμᾶς νῦν ὀφείλω, καὶ βούλομαι τοῦτό γε δι' εὐσέβειαν· ἐγώ τε γὰρ φιλῶ ἐμαυτὴν, καὶ τὴν τοῦ πατρὸς τοῦ ἐμοῦ ἐπ' εὐσεβείᾳ καὶ δικαιοσύνῃ εὔκλειαν οὐκ ἂν δυναίμην προδοῦναι, οὐδὲ Θεοκλυμένῳ χαρίσασθαι, ἐξ οὗ μοι ὄνειδος προςριβήσεται· ἡ γὰρ ἐμὴ καρδία θυσιαςήριον ὅλως ἐςὶ δικαιοσύνης, παρ' αὐτοῦ καθιερωθὲν τοῦ Νηρέως· διὸ σύμψηφος γενομένη τῇ Ἥρᾳ, εὖ ποιεῖν βουλομένη Μενέλαον, πειράσομαι κἀγὼ τόγ' εἰς ἐμὲ ἧκον διασῶσαι ὑμᾶς. Ἀφροδίτη δ' ἱλήκοι μοι· καὶ ἄλλως γὰρ οὐδὲν ἔμοιγε πρᾶγμ' ἐστὶ πρὸς ἐκείνην, ὡς ἐγνωκυῖα τὸν ἅπαντα κορεύεσθαι χρόνον· ἃ δέ σοι πρὸς τοῦ πατρῴου εἴρηται τάφου, πάντ' ἀληθείας ἐςὶν ἐχόμενα, κἀμοῦ ἄξιά γε· εἰ μὴ γὰρ ἀπο-

1005. Ἥρα] ἄμεινον γράφειν εἰς δοτικὴν, Ἥρᾳ, ἵν' ᾖ, εἰς ταὐτὸν τῇ Ἥρᾳ οἴσω τὴν ψῆφον, ἐπείπερ καὶ τ.λ. Τὸ δὲ Κύπρις, Χάρις ἐν ἄλλοις κεῖται.

Ἀπέδωκεν ἄν σοὶ τήνδ' ἔχειν, ταύτῃ δὲ σέ.
Καὶ γὰρ τίσις τῶνδ' ἐστὶ τοῖς τε νερτέροις,
Καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις. ὁ νοῦς
Τῶν κατθανόντων ζῇ μὲν οὔ, γνώμην δ' ἔχει
Ἀθάνατον, εἰς ἀθάνατον αἰθέρ' ἐμπεσών.
Ὡς οὖν περαίνω μὴ μακρὰν, σιγήσομαι,
Ἅ μου καθικετεύσατ', οὐδὲ μωρίᾳ
Ξύμβουλος ἔσομαι τοῦ κασιγνήτου ποτέ.
Εὐεργετῶ γὰρ κεῖνον, οὐ δοκοῦσ' ὅμως,
Ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
Αὐτοὶ μὲν οὖν τὴν ἔξοδόν γ' εὑρίσκετε,
Ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν, σιγήσομαι.
Ἐκ τῶν θεῶν δ' ἄρχεσθε, χ' ἱκετεύετε
Τὴν μὲν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν,
Ἣς ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας·
Σὺ δ' αὖ θανών μοι, πάτερ, ὅσον γ' ἐγὼ σθένω
Οὔποτε κεκλήσει δυσσεβὴς ἀντ' εὐσεβοῦς.

ΧΟ. Οὐδείς ποτ' εὐτύχησεν, ἔκδικος γεγὼς,
Ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας.

ΕΛ. Μενέλαε, πρὸς μὲν παρθένου σεσώσμεθα.
Τοὐνθένδε δὴ σὲ τοὺς λόγους φέροντα χρὴ
Κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.

---

1015. Γνώμην δ' ἔχει ἀθάνατον] ὁ νοῦς χωρίζεται μὲν τοῦ σώματος, ἀλλ' οὐκ εἰς τὸ μηδὲν χωρεῖ, ἀλλὰ περιπολεῖ εἰς τὸν αἰθέρα· αἵρεσις δ' αὕτη ἐστὶν Ἀναξαγόρου, ᾧ διδασκάλῳ Εὐριπίδης ἐχρήσατο. ἴδε τὴν γνώμην μᾶλλον εἰς

δοίην σοι τὸ ἀπαιτούμενον, ἀδικοίην ἄν· εἴγε κἀκεῖνος, εἴπερ ἦν ἐν τοῖς ζῶσιν, ἀπέδωκεν ἂν τήνδε μὲν σοὶ, σὲ δὲ ἐκείνῃ ἔχειν, ὥσπερ δίκαιον· ἔςι γὰρ τῖσις τῶν γιγνομένων κἀν τοῖς κάτω οὐχ ἧττον, ἢ καὶ παρὰ τοῖς ζῶσιν· ἡ γὰρ τῶν τεθνεώτων ψυχὴ ἐν τῷ βίῳ μὲν οὐκέτ' ἐστὶν, ἀλλ' ἅμα τοῦ σώματος ἀποκριθεῖσα οὐκ ἐς ἀναισθησίαν χωρεῖ, ἀλλ' ἐς τὸν ἀθάνατον ἐμπεσοῦσα αἰθέρα, ἀθάνατον κέκτηται τὸ γιγνώσκειν. Ἃ δέ μου περὶ τοῦ ἀδελφοῦ ἐδεήθητε, σιωπῶ, ἵνα μὴ εἰς λόγους ἐμπέσω μακρούς· οὐ γὰρ ἔγωγ', οἵα τῇ ἐκείνου μωρίᾳ συμφέρεσθαι· τοὐναντίον δ' εὐεργετοίην κἀκεῖνον, εἰ ἐξ ἀσεβοῦς εἰς τὸ εὐσεβὲς μεταςήσαιμι. Ἐγὼ τοίνυν ἐκποδὼν γενομένη, πρὸς οὐδένα ἐρῶ περὶ ὑμῶν οὐδέν· ὑμῖν δὲ μελέτω, ὅπως ἄριςα ἔξιτε, ἐκ θεῶν ἀρχόμενοί τε καὶ ἱκετεύοντες, τὴν μὲν Ἀφροδίτην μὴ ἀπείργειν ὑμῖν τὴν νόσον· τὴν δὲ Ἥραν, τὴν αὐτὴν ὑμῖν σώζειν προθυμίαν τῆς σωτηρίας. Σὺ δ' οὖν ὦ πάτερ, οὐκ ἄν ποτε τὴν ἐπ' εὐσεβείᾳ, τόγ' ἐπ' ἐμοὶ, εὔκλειαν ἀφαιρεθείης.

ΧΟ. Οὐδεὶς, ἄδικος ὢν, εὐτύχησε πώποτε, τοῖς δὲ δικαίοις πρόσεςιν ἐλπὶς πρὸς σωτηρίαν.

ΕΛ. Μενέλαε, τὰ μὲν πρὸς τῆς παρθένου ὁρᾷς, ὅπως εὐνοϊκὰ καὶ σωτήρια πάντα φαίνεται· σὲ δὲ χρὴ τοῖς ἐκείνης χρησάμενον παραγγέλμασιν, κοινὴν μηχανήσασθαι σωτηρίαν.

---

τὰς Ἱκέτιδας στίχ. 533. 1017. Ὡς οὖν περαίνω] ἐν ἄλλοις κεῖται, ὡς οὖν πα-

ΜΕ. Ἄκουε δή νυν χρόνιος εἶ κατὰ στέγας,
Καὶ συντέθραψαι προσπόλοισι βασιλέως.
ΕΛ. Τί τοῦτ' ἔλεξας; εἰσφέρεις γὰρ ἐλπίδας,
Ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῷν.
ΜΕ. Πείσειας ἄν τιν', οἵτινες τετραζύγων
Ὄχων ἀνάσσουσ', ὥστε νῷν δοῦναι δίφρους;
ΕΛ. Πείσαιμ' ἄν, ἀλλὰ τίνα φυγὴν φευξούμεθα,
Πεδίων ἄπειροι, βαρβάρου τ' ὄντες χθονός;
ΜΕ. Ἀδύνατον εἶπας· φέρε, τί δ', εἰ κρυφθεὶς δόμοις,
Κτάνοιμ' ἄνακτα τῷδε διστόμῳ ξίφει;
ΕΛ. Οὐκ ἂν σ' ἀνάσχοιτ', οὐδὲ σιγήσειεν ἂν
Μέλλοντ' ἀδελφὴ σύγγονον κατακτανεῖν.
ΜΕ. Ἀλλ' οὐδὲ μὴν ναῦς ἐστὶν, ᾗ σωθεῖμεν ἂν
Φεύγοντες· ἣν γὰρ εἴχομεν, θάλασσ' ἔχει.
ΕΛ. Ἄκουσον, ἤν τι καὶ γυνὴ λέξῃ σοφόν.
Βούλει λέγεσθαι, μὴ θανὼν, λόγῳ θανεῖν;
ΜΕ. Κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ λέγων,
Ἕτοιμός εἰμι, μὴ θανὼν, λόγῳ θανεῖν.
ΕΛ. Καὶ μὴν γυναικείοις ἂν οἰκτισαίμεθα
Κουραῖσι καὶ θρήνοισι πρὸς τον ἀνόσιον.
ΜΕ. Σωτηρίας δε τοῦτ' ἔχει τί νῳν ἄκος;
Παλαιότης γὰρ τῷ λόγῳ γ' ἔνεστί τις.

ραινῶ. 1049. Ἤν τι καὶ γυνὴ λέξει σοφὸν] πῶς γὰρ οὐ λέξει; καὶ γὰρ (ἐν Ἀνδρομάχῃ στίχ. 85.)

» Πολλὰς ἂν εὕροις μηχανάς· γυνὴ γὰρ εἶ.

Καὶ (Ἰφιγ. Ταυρ. στίχ. 1039.)

» Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας.

1051. Λέγων] ἐν δ' ἄλλοις, λέγειν, κεῖται. 1056. Παλαιότης] Εἰ μὲν τῇ Ἐ-

ΜΕ. Σύντεινόν μοι τὸ οὖς· σὺ γὰρ οἶδας τὰ τῆδ', ὅπως ἔχει, διὰ χρόνου τοῖς τοῦ κρατοῦντος συνδιαιτουμένη οἰκέταις.

ΕΛ. Τίποτε σκέπτῃ; ἐλπίδας γὰρ δοκεῖς ἐξευρεῖν πρὸς σωτηρίαν.

ΜΕ. Ἔσθ' ὅπως πείσῃς τινὰ τῶν ἡνιόχων, ὥσθ' ἡμῖν δοῦναι δίφρον;

ΕΛ. Ἔστιν· ἀλλὰ πῶς ἂν εἴη διὰ τῆς χέρσου δραπετεῦσαι, τῆς βαρβάρου ταυτησὶ ἀπείρους ὄντας;

ΜΕ. Εἰδέπου καταδὺς, ἀποκτείναιμι τὸν τύραννον, τῷ ξίφει τουτωῒ διελάσας εἰς τὸ ἧπαρ, τίποτε δοκεῖς ἐκ τούτου συμβήσεσθαι;

ΕΛ. Οὐκ ἔθ' ὅπως ἀνάσχοιτο Θεονόη, ὥστε μὴ προειπεῖν ἐκείνῳ τὸν μέλλοντα φονεύσειν.

ΜΕ. Τί οὖν ποιῶμεν, νεὼς μὴ προσούσης; ἣ γὰρ ἦν, διέφθαρται ἐν τοῖς κύμασιν.

ΕΛ. Ἄκουσον· εἰ ἔξεστι καὶ παρὰ γυναικὸς ἀκοῦσαι σοφά· βούλει διαδοθῆναι φήμην τεθνηκέναι σε, καὶ μὴ τεθνεῶτα;

ΜΕ. Κακὸς μὲν οἰωνὸς, ἀλλ' εἴτι κέρδος ἔχει, τί μὴ προσποιητέον;

ΕΛ. Ἐγὼ δὲ τἀπὶ τούτοις ἀξίως ὑποκρινοῦμαι πρὸς τὸν δεσπότην, οἰκτισμοῖς τε καὶ κουραῖς καταχρησαμένη.

ΜΕ. Τί δὲ τέλος ταῦθ' ἕξει ἡμῖν πρὸς σωτηρίαν; ἕωλα γὰρ ταῦτα νῦν γε λέγειν.

---

λένη τοῦτ' ἀποδεῖμεν, ἐχέτω οὕτω. Ἐνεστίτις σκῆψις ἐν τῷ λόγῳ ἐκ τῆς ἀρχαιότητος καὶ συνηθείας ὡς πάτριον ἡμῖν τοῖς Ἕλλησι τοιαῦτα πράττειν περὶ τοὺς οἰχομένους εἰ δὲ τῷ Μενελάῳ· ὃ καὶ μᾶλλον, διερμηνευτέον ὡδί. Τί ἡμῖν ἐντεῦθεν σωτήριον ἔσται· τῶν γὰρ ἀρχαίων καὶ εὐήθων ἴδιον ὠφέλειαν

ΕΛ. Ὡς δὴ θανόντα σ' ἐνάλιον κενῷ τάφῳ
Θάψαι τύραννον τῆςδε γῆς αἰτήσομαι.
ΜΕ. Καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ' ἐμὸν δέμας;
ΕΛ. Δοῦναι κελεύσω πορθμίδ', ᾗ καθήσομαι
Κόσμον τάφῳ σῷ πελαγίας ἐς ἀγκάλας.
ΜΕ· Ὡς εὖ τόδ' εἶπας, πλὴν ἕν· εἰ χέρσῳ ταφὰς
Θεῖναι κελεύει σ', οὐδὲν ἡ σκῆψις φέρει.
ΕΛ. Ἀλλ' οὐ νομίζειν φήσομεν καθ' Ἑλλάδα,
Χέρσῳ καλυπτειν τοὺς θανόντας ἐναλίους.
ΜΕ. Τοῦτ' αὖ κατορθοῖς· εἶτ' ἐγὼ συμπλεύσομαι,
Καὶ συγκαθήσω κόσμον ἐν ταὐτῷ σκάφει.
ΕΛ. Σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
Πλωτῆρας, οἵπερ ἔφυγον ἐκ ναυαγίας.
ΜΕ. Καὶ μὴν, ἐάνπερ ναῦν ἐπ' ἀγκύρας λάβω,
Ἀνὴρ παρ' ἄνδρα στήσεται ξιφηφόρος.
ΕΛ. Σὲ χρὴ βραβεύειν πάντα· πρόσπιμοι μόνον
Λαίφει πνοαὶ γένοιντο καὶ νεὼς δρόμος.
ΜΕ. Ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
Ἀτὰρ θανόντα τοῦ μ' ἐρεῖς πεπυσμένη;

τινα ἐκ τῆς κουρᾶς ἐλπίζειν εὑρήσεσθαι. 1061 Καθήσομαι] ἐκ τοῦ Καθίημι· καταθήσομαι· οὕτω δὲ καὶ ἑξῆς. 1071. Ἐπ' ἀγκύρας] ἐπ' ἁλμυρᾶς φησί τις δεῖν γράφειν· εὐοδοθείη δ' οὖν μετατιθεμένων τῶν ὀνομάτων οὕτω, Ἐαν λάβω ναῦν, ἀνὴρ παρ' ἄνδρα στήσεται ξιφηφόρος ἐπ' ἀγκύρας· ὅ ἐστιν παρὰ τὰ πλευρὰ τῆς νεὼς, ὅθεν ἐξαρτῶνται αἱ ἄγκυραι· μήτι γραπτέον μᾶλλον, ἀπ' ἀγκύρας, ἵνα ᾖ μακρὰν τῆς ἀγκύρας· ὅ ἐστι ἄρας τὴν ἄγκυραν, μετέωρον ἔχω τὴν ναῦν πλέουσαν εἰς το πέλαγος τότε γὰρ κελεύσει τοὺς ἑαυτοῦ ἕκαστον παρ' ἑκάστῳ στῆναι τῶν Αἰγυπτίων· ὡς κατωτέρω (στιχ. 1593.) φαίνεται· δυνατον δὲ και οὕτω συντάττειν· Καὶ μὴν

ΕΛ. Αἰτήσομαι γὰρ ἐκεῖνον θάψαι σε ὡς θανόντα ἐν τοῖς κύμασιν κενῷ τάφῳ, ὡς δῆθεν ἀρχαῖον νόμιμον παρ' Ἕλλησιν ὂν τοῦτο.

ΜΕ. Θῶμεν μὲν ἐκεῖνον συγχωρήσειν τοῦτο· πῶς δ' ἐν τῷ ταῦτα ποιεῖν ἐξέσται ἡμῖν δρασμῷ χρήσασθαι, νεὼς μὴ παρούσης;

ΕΛ. Προσαιτήσομαι γὰρ δοῦναί μοι καὶ πορθμίδα· ᾗ ἐγκαταθεῖσα καὶ κόσμον τῷ σῷ τάφῳ, καθήσω αὐτὸν ἐν τῷ πελάγει πρόσω.

ΜΕ. Εὖ μὲν τοῦτο δοκεῖς ἐξευρηκέναι· ἀλλ' ἓν ἐκεῖνο ἔτι ἀντικρούει ταῖς ἐλπίσιν· εἰ γὰρ ἐκεῖνος ἐν χέρσῳ κελεύσειε γενέσθαι τὴν κηδείαν, ἐς μάτην ἡ σκῆψις ἔςαι.

ΕΛ. Ἀλλὰ τοὺς ἐν τοῖς ὕδασιν ἀποθανόντας ἐν τοῖς αὐτοῖς αὖ θάπτειν φήσομεν παρ' Ἕλλησιν νόμον εἶναι.

ΜΕ. Δυνατὸν καὶ τοῦτο· εἶθ' οὕτω συμπλευσοῦμαι κἀγὼ ἐπὶ τοῦ πορθμείου, ὡς συνεπαφήσων τὸν κόσμον εἰς τὸ ὕδωρ.

ΕΛ. Δεῖ γὰρ σέ τε, καὶ τοὺς σοὺς ἑταίρους τοὺς ἐκ τῆς ναυαγίας περισωθέντας ἅπαντας συμπαρεῖναι.

ΜΕ. Οὕτως οὖν ἀνασπάσαντες τὰς ἀγκύρας, ἀνὴρ παρ' ἄνδρα ἡμεῖς πρὸς τοὺς ναύτας στησόμεθα ξιφηφόροι.

ΕΛ. Σὸν δὲ τἀπὶ τούτοις ἐστὶ διοικῆσαι· ἐκ δὲ τούτου εὔξασθαι πνεῦμ' ἡμῖν πόμπιμον γενέσθαι.

ΜΕ. Ἐλπίζω· δεῖ γὰρ κἀμοὶ πρὸς θεῶν ποτε πέρας κακῶν γενέσθαι· ἀλλὰ παρὰ τίνος ἐρεῖς πυθέσθαι ταῦτα;

---

ἐάνπερ ἀναλάβω τὰς ἀγκύρας ἐπὶ τὴν ναῦν, ὅ ἐστιν ἐκπλεύσω, ἄρας.

ΕΛ. Σοῦ· καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον,
Ἀτρέως πλέων σὺν παιδὶ, καὶ θανόνθ' ὁρᾷν.
ΜΕ. Καὶ μὴν τάδ' ἀμφίβληστρα σώματος ῥάκη
Ξυμμαρτυρήσει ναυτικῶν ἐρειπίων.
ΕΛ. Ἐς καιρὸν ἦλθε, τότε δ' ἄκαιρ' ἀπώλλυτο.
Τὸ δ' ἄθλιον κεῖν' εὐτυχὲς τάχ' ἂν πέσοι.
ΜΕ. Πότερα δ' ἐς οἴκους σοι συνεισελθεῖν με χρὴ,
Ἢ 'πρὸς τάφῳ τῷδ' ἥσυχοι καθώμεθα;
ΕΛ. Αὐτοῦ μέν'· ἢν γάρ καί τι πλημμελές σε δρᾷ,
Τάφος σ' ὅδ' ἂν ῥύσαιτο, φάσγανόν τε σόν.
Ἐγὼ δ' ἐς οἴκους βᾶσα, βοστρύχους τεμῶ,
Πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι,
Παρῆδί τ' ὄνυχα φόνιον ἐμβαλῶ χροός.
Μέγας γὰρ ὡγὼν, καὶ βλέπω δύο ῥοπάς.
Ἢ γὰρ θανεῖν δεῖ μ', ἢν ἁλῶ τεχνωμένη,
Ἢ πατρίδα τ' ἐλθεῖν, καὶ σὸν ἐκσῶσαι δέμας.
Ὦ πότνι', ἣ δίοισιν ἐν λέκτροις πιτνεῖς,
Ἥρα, δύ' οἰκτρὼ φῶτ' ἀνάψυξον πόνων,
Αἰτούμεθ', ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
Ῥιπτοῦνθ', ἵν' οἰκεῖς ἀστέρων ποικίλματα.
Σύ θ', ἣ 'πί τῷ 'μῷ κάλλος ἐκτήσω γάμῳ,
Κούρη Διώνης, Κύπρι, μή μ' ἐξεργάσῃ.
Ἅλις δὲ λύμης, ἥν μ' ἐλυμήνω πάρος,
Τοὔνομα παρασχοῦσ', οὐ τὸ σῶμ', ἐν βαρβάροις.
Θανεῖν δ' ἔασόν μ', εἰ κατακτεῖναι θέλεις,
Ἐν γῇ πατρῴᾳ· τί ποτ' ἄπληστος εἶ κακῶν,

ΕΛ. Παρὰ σοῦ· ἐρεῖς γὰρ καὶ αὐτὸς, ὡς συμπλέων Μενελάῳ μόνος διεσώθης, ἰδὼν ἐκεῖνον πρῶτον ἀπολωλότα.

ΜΕ. Καὶ δὴ καὶ τὰ ῥάκη γε ταῦτα συναγωνιεῖταί μοι εὐπρεπῶς πρὸς τὸ ψεῦδος.

ΕΛ. Χρήσιμά γε νῦν ταυτὶ, τὰ πρὶν κακὰ δοκοῦντα· ὃ γὰρ δυστυχὲς ἦν τέως, τοῦτο πρὸς τὸ μέλλον βέλτιστον ὑπάρχει.

ΜΕ. Τί οὖν; πότερον συμβαδιοῦμαι κἀγὼ πρὸς τὸν δεσπότην, ἢ μενῶ ἥσυχος παρὰ τῷ τάφῳ τῷδε;

ΕΛ. Ἄμεινον ὧδε παραμένειν· εἰ γὰρ καὶ τολμηρόν σοι τί πειράσεται δεῖξαι, ἕξεις τόν τε τάφον αὐτὸν καὶ τὸ ξίφος τὸ σαυτοῦ ἀπαμυνοῦντα ἄμφω· ἐγὼ δὲ, εἰσελθοῦσα εἰς τήνδε τὴν οἰκίαν, τούς τε βοστρύχους ἀποτεμῶ, καὶ ἀντὶ τῶν λευκῶν μέλανα ἀμφιέσομαι, καὶ τὰς παρειὰς τοῖς ὄνυξι δρύψομαι· ὁ γὰρ παρὼν ἀγών ἐστι μέγας, ἐφ' ἑκάτερα ἀπὸ τοῦ ἴσου ῥέπων· δεῖ γὰρ δυοῖν θάτερον, ἢ φωραθεῖσαν τεχνωμένην ἀποθανεῖν, ἢ ἐξαπατήσασαν συνδιασωθῆναί σοι εἰς φίλην πατρίδα γαῖαν. Ὦ πότνια Ἥρα, ἡ τὸ Διὸς θεραπεύουσα λέχος, ἱκετευόμενοί σε, δεόμεθα, τὰς χεῖρας ἀνυψοῦντες πρὸς οὐρανὸν, ἔνθα κατοικεῖς ἐν τοῖς ἄστρασιν, ἀπάλλαξον, ῥῦσαι δύο ἀθλιωτάτους μακρῶν καὶ πικρῶν συμφορῶν. Σύ τε αὖ, ὦ κόρη Διώνης, Κύπρι, ἡ ἐπὶ τῷ ἐμῷ γάμῳ προκριθεῖσα τῶν ἄλλων κάλλει, μή με διολέσῃς εἰς τέλος· ἅλις δὲ τῶν κακῶν, ἅ με πρὶν ἐξειργάσω, τοὔνομα ἀντ' ἐμοῦ παρασχοῦσα Φρυξίν· εἰ δέ σοι ἡδὺ ἀποκτεῖναί με, ἔασόν με παθεῖν τοῦτο ἐν τῇ ἐμαυτῆς· τίποθ' οὕτως ἄπληστος τῶν ἀνθρωπίνων εἶ κακῶν, πάσας συμφορὰς αὐτοῖς μηχανωμένη, κοὐδὲν ἐῶσα μὴ ἐπιφέρειν,

Ἔρωτας, ἀπάτας, δόλιά τ' ἐξευρήματα
Ἀσκοῦσα, φίλτρα θ' αἱματηρὰ δωμάτων;
Εἰ δ' ἦσθα μετρία, τἄλλα γ' ἡδίστη θεῶν
Πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.

ΧΟ. Σὲ τὰν ἐναυλείοις ὑπὸ δενδροκόμοις (Στρ. α'.)
Μουσεῖα καὶ θάκους ἐνίζουσαν ἀναβοάσω,
Σὲ τὰν ἀοιδοτάταν ὄρνιθα μελῳδὸν
Ἀηδόνα δακρυόεσσαν,
Ἔλθ', ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα,
Θρήνοις ἐμοῖς ξυνεργὸς,
Ἑλένας μελέας πόνους,
Τὸν Ἰλιάδων τ' ἀεί-
Δουσα δακρυόεντα πόνον
Ἀχαιῶν ὑπὸ λόγχαις,
Ὃς ἔμολεν, ἔμολε πεδία βαρβάρῳ πλάτᾳ,
Ὃς ἔδραμε ῥόθια, μέλεα Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο λέχε', ἃ,
Σέθεν ὡς, εἷλεν Πάρις αἰνόγαμος
Πομπαῖσιν Ἀφροδίτας.
Πολλοὶ δ' Ἀχαιῶν ἐν δορὶ καὶ πετρίναις (Ἀντ. α'.)
Ῥιπαῖσιν ἐκπνεύσαντες, ἀΐδαν μέλεον ἔχουσιν,
Τάλαιναν ὧν ἀλόχων κείραντες ἔθειραν.
Ἄνυμφα δὲ μέλαθρα κεῖται.
Πολλοὺς δὲ, πυρσεύσας φλογερὸν σέλας ἀμφὶ ῥυτὰν

---

1105. Τἄλλα δὲ ἡδίστη θεῶν] παράβαλε ταῦτα πρὸς τὰ εἰρημένα. Ἰφ. Αὐλ. στίχ. 545. καὶ ἑξῆς. 1109. Ὄρνιθα] τὴν Φιλομήλην αἰνίττεται. ἴδε Ῥῆσ. στίχ. 550. καὶ ἑξῆς. 1111. Ξουθᾶν γενύων] ξουθὴ γένυς τῆς ἀηδόνος ἐστιν ὁ ξαν-

οὐκ ἔρωτας, οὐκ ἀπάτας, οὐ δόλια ἐξευρήματα, οὐ φίλτρα τοῖς φίλοις φόνου καὶ αἵματος αἴτια. εἰ δὲ μετῆλθες ἡμᾶς μετριώτερον, ἡδίστη πασῶν θεῶν ἂν ἦσθα παρ' ἐμοὶ κριτῇ τῷ τῶν ἀνθρώπων γένει.

ΧΟ. Ὦ μελῳδὸς ἀηδὼν ἡ ἐν χειμάῤῥοις καὶ κοιλάσι συνηρεφέσιν, ἔνθα μοῦσα ἀντηχεῖ, ἐμφιλοχωροῦσα, σὲ καλῶ τὴν εὐφωνοτάτην πασῶν τῶν ὀρνίθων, τὴν διαθρηνοῦσάν φημι Φιλομήλην, ἄγε, ᾠδικωτάτη, ἐλθέ μοι ἡ ξανθὴν δέρην ἔχουσα, τήν τε τῆς Ἑλένης συμφορὰν διεροῖς ξυνθρηνήσουσα μέλεσιν, καὶ ἃ Τρῳάδες ὑφ' Ἑλλήνων πεπόνθασιν, ἐλελίζουσα· ταῦτα δὴ, ἃ Πάρις, ὁ κλεψίγαμος Πάρις, βαρβαρικῷ σκάφει ἐπανελθὼν ἀπὸ Λακεδαίμονος, ἤνεγκε Πριαμίδαις, Ἑλένην αὐτὴν πομπῇ Ἀφροδίτης οἰόμενος ἄγειν.

Τῶν δ' Ἑλλήνων αὖ, ὅσοι μὲν ἐν μάχαις ξίφει τε καὶ λίθων βολαῖς ἀπώλοντο ἐν Τροίᾳ, τούς θ' ἑαυτῶν ἐρημώσαντες οἴκους, καὶ τὰς ἀθλίας γυναῖκας αὐτῶν ποιήσαντες κείρασθαι! Ὅσοι δὲ διεφθάρησαν. πρὸς,

---

θὸς αὐτῆς τράχηλος καὶ τὰ περὶ τὸ πρόσωπον. 1117. Ὃς (πόνος) ἔμολεν καὶ ὃς βαρβάρῳ πλάτῃ ἔδραμε ῥόθια (τὰ κύματα) ἄγων μέλεα λέχη Πριαμίδαις] ταῦτα δ' ἀναφέρονται εἰς τὸ, Πόνον· οὗ αἰτία γέγονε Πάρις, ὃς βαρβάρῳ νηῒ ἤγαγεν ἐκεῖνον ἐκ Σπάρτης εἰς Ἴλιον Πριαμίδαις. 1120. Ἃ σέθεν ὡς, εἷλε] ἃ λέχη εἷλεν, ὡς λέχη σοῦ, καὶ οὐχὶ τὸ φάσμα τῆς Νεφέλης· ἐν ἄλλοις δὲ κεῖται, λέχεα σέθεν, ὡς εἷλε, ὑφ' ἓν δηλ. Παραφραστέον δὲ ταῦθ' ὡς ἐν συντόμῳ ὡδί. Ὦ ἀηδὼν, ἐλθὲ συνθρηνήσουσα τὸν τῆς Ἑλένης πόνον, ὃς ἧκεν ἐκ Λακεδαίμονος, ἄγων τὰ μέλεα λέχη τῆς Ἑλένης, ἃ εἷλε Πάρις, ὡς αὐτῆς δῆθεν, κοὐχὶ εἴδωλον ἐκ νεφέλης, πεμφθεὶς ὑπ' Ἀφροδίτης. 1122. Πετρίναις ῥιπαῖς] βολαῖς τῶν λίθων πεσόντες· εἰ μὴ διορθωτέον εἴη τὸ, Ἐκνεύσαντες εἰς τὸ, Ἐκ-

Εὔβοιαν, εἷλ' Ἀχαιῶν
Μονόκωπος ἀνὴρ, πέτραις
Καφηρίσιν ἐμβαλὼν,
Αἰγαίαις τ' ἐνάλοις ἀκταῖς·
Δόλιον ἀστέρα λάμψας
Ἀλίμεν' ἀν' ὄρεα μέλεα βαρβάρου στολᾶς,
Ὅτε σύτο πατρίδος ἀποπρὸ χειμάτων πνοᾷ
Γέρας, οὐ τέρας, ἀλλ' ἔριν
Δαναῶν νεφέλαν ἐπὶ ναυσὶν ἄγων,
Εἴδωλον ἱερὸν Ἥρας.
Ὅ,τι θεὸς, ἢ μὴ θεὸς, ἢ τὸ μέσον, (Στρ. β'.)
Τίς φησὶν ἐρευνήσας
Βροτῶν μακρότατον πέρας εὑ-
Ρεῖν; ὃς τὰ θεῶν ἐσορᾷ
Δεινὰ, καὶ αὖθις ἐκεῖσε
Καὶ πάλιν ἀντιλόγοις
Πηδῶντ' ἀνελπίστοις τύχαις.
Σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ.
Πτανὸς γὰρ ἐν κόλποις σε Λή-
Δας ἐτέκνωσε πατήρ.
Καὶ ἰαχὴ σέθεν καθ' Ἑλλανίαν
Ἄδικος, προδότις, ἄπιστος, ἄθεος· οὐδ' ἔχω,

---

πνεύσαντες. 1128. Μονόκωπος ἀνὴρ] μόνος αὐτὸς ἐρέσσων, ἢ πλοιαρίῳ χρησάμενος μονοκώπῳ· ἔστι δ' οὗτος ὁ Ναύπλιος. ἴδε ἀνωτέρω στίχ. 766. — 1132. Βαρβάρου στολῆς] ἕνεκα τοῦ στόλου τοῦ βαρβάρου Πάριδος, ὅτε ὡρμήθη ἀπὸ πατρίδος, κ.τ.λ. 1137. Ὅτε θεὸς] γραπτέον ὡς ἐν ἄλλοις κεῖται Ὅ,τι· ἵνα ᾖ τὸ ἀμφίβολον οὐ περὶ τῆς ὑπάρξεως τοῦ θεοῦ, ἀλλὰ περὶ τῶν κρι-

τὰς τῆς Εὐβοίας ἐκπεσόντες ἀκτὰς, ἐξαπατηθέντες ὑπ' ἀνδρός· ὃς μονήρει προσπλεύσας πλοίῳ, καὶ πυρσὸν αὐτοῖς ἄρας δόλιον ἐπὶ τῆς ἀκτῆς τοῦ Αἰγαίου πελάγους, πρὸς ὄρη ἀλίμενα ἄγοντα, ἐνέβαλεν αὐτοὺς εἰς τοὺς σκοπέλους τοῦ Καφηρέως, καὶ ταῦτα τοῦ βαρβάρου Πάριδος ἕνεκα· ὃς πνεύματι βορείῳ ἀναχθεὶς ἀπὸ τῆς ἑαυτοῦ, ἔπλευσεν ἐπὶ τὴν Ἑλλάδα, τέρας, οὐ τέρας, ἀλλ' ἔριν τῶν Ἑλλήνων, νεφέλην αὐτόχρημα, φάσμ' ὀλέθριον ὅλως, εἴδωλον κατασκευασθὲν ὑπὸ τῆς Ἥρας, ἄξων.

Ὅ,τι ποτ' ἐστὶ θεὸς, εἰ μὴ θεὸς, ἢ ἄλλο τι γένος μέσον, τίς ἂν εἴη θνητῶν ἀξιόχρεως τοῦτ' εἰπεῖν ἐξερευνήσας; σκότος γὰρ ἀδιεξήτητον μεταξύ ἐστι πέρας εὑρεῖν τῶν τοῦ θεοῦ βουλευμάτων καὶ ἔργων, εἴτις τὰ τοιαῦτα λογίζεται, ἄλλοτ' ἄλλως μεταπηδῶντα καὶ μεταβαλλόμενα, νῦν μὲν ὡς, νῦν δ' ὡς, ὡς ἐπὶ τρυτάνης ἐναντίαις καὶ ἀνελπίστοις τῆς τύχης ἀντιταλαντευόμενα ῥοπαῖς· αὐτίκα γὰρ σὺ, ὦ Ἑλένη, θύγατερ μὲν πέφυκας Διὸς, ὃς ὄρνιθος μόρφωμα λαβὼν, ἐν τῇ τῆς καλῆς σε Λήδας ἐνεφύτευσε νηδύϊ· ἡ δὲ φήμη περὶ σοῦ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα τῇ σῇ γενέσει οὐ ξυνάδει παντάπασιν· ἄδικος γὰρ σὺ παρὰ πάντων ἀκούεις,

---

μάτων καὶ βουλευμάτων αὐτοῦ διὰ τὴν τοῦ ἡμετέρου νοὸς ἀδυναμίαν.

1145. Πτανὸς] σχῆμα μεταλαβὼν κύκνου. ἴδε ἀνωτέρω. στίχ. 19. καὶ 218

Τί τὸ σαφὲς, ὅ,τι ποτ' ἐν βροτοῖς;
Τὸ θεῶν ἔπος ἀλαθὲς εὗρον.
Ἄφρονες, ὅσοι τὰς ἀρετὰς πολέμῳ (Ἀντ. β΄.)
Κτᾶσθ', ἐν δορὸς ἀλκαίου
Λόγχαισιν καταπαυόμεναι
Πόνους θνατῶν ἀμαθῶς.
Εἰ γὰρ ἅμιλλα κρινεῖ νιν
Αἵματος, οὔποτ' ἔρις
Λείψει κατ' ἀνθρώπων πόλεις.
Αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,
Ἐξὸν διορθῶσαι λόγοις
Σὰν ἔριν, ὦ Ἑλένα.
Νῦν δ' οἱ μὲν Ἀΐδᾳ μέλονται κάτω,
Τείχεα δὲ, φλογμὸς ὥστε Διὸς, ἐπέσυτο φλὸξ,
Ἐπὶ πάθεα πάθεσιν φέρουσ'
Ἀθλίοις ἐν συμφοραῖς Ἰλίοισιν.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΟΚΛΥΜΕΝΟΣ, ΕΛΕΝΗ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Ὦ χαῖρε, πατρὸς μνῆμ'· ἐπ' ἐξόδοισι γὰρ
Ἔθαψα, Πρωτεῦ, σ' ἕνεκ' ἐμῆς προσρήσεως.
Ἀεὶ δέ σ' ἐξιών τε κεἰσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπει, πάτερ.
Ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,

προδότης, ἄπιστος, ἄθεος· οὕτω δὴ οὐκ ἔχω μαθεῖν ὅ,τι πότ' ἐστὶν σαφὲς βεβαίως παρ' ἀνθρώποις· ὃ δὲ λέγει θεὸς τοῦτ' ἀληθὲς μόνον.

Ὦ ἄνθρωποι, ὡς ἄφρονές ἐστε, ὅσοι ἐν μάχαις τὴν ἀρετὴν μετρεῖτε, ξίφει καὶ δορὶ ἀμαθῶς τὰ τῶν ἀνθρώπων καταπαλαίοντες πάθη· εἰ γὰρ δὴ τοῖς ὅπλοις διαλύειν ταῦτα, οὐδέποτ' ἐκλείψει τὰ κακὰ τοῖς ἀνθρώποις· καὶ μὴν ἴδετε τοὺς τῆς Τροίας θαλάμους ἀνδρῶν ἐρήμους, ἐξὸν διαλύσασθαι λόγῳ τὴν ἔριν τῆς Ἑλένης· νῦν δε ἐκεῖνοι μὲν ἐν ᾅδου κεῖνται· ἡ δὲ πόλις, ὥσπερ κεραυνῷ τοῦ Διὸς, κατεφλέγη ὅλως, ἄλλ' ἐπ' ἄλλοις πάθη μετὰ συμφορῶν τοῖς ἀθλιωτάτοις Τρωσὶν ἐπενεγκοῦσα.

## ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΘΕΟΚΛΥΜΕΝΟΣ, ΕΛΕΝΗ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ.

ΘΕ. Ὦ πατρῷον μνῆμα, χαῖρε· οὐ γὰρ ἄλλου γ' ἕνεκα ἐνταῦθ', ὦ πάτερ, ἔθαψάσε, ἡ ἵν' ἔχω ἐγὼ ὁ σὸς παῖς Θεοκλύμενος ἔντ' ἐξόδοις καὶ εἰσόδοις προσφέγγεσθαί σε. Ὑμεῖς τοίνυν, ὦ οἰκέται, λαβόντες τὰς κύνας καὶ τὰς

καὶ ἑξῆς. 1150. Τὸ θεῶν ἀληθὲς] προσθετέον τὸν Δὲ ὡς κἀν ἄλλοις κεῖται οἷον, το θεῶν δ' ἀληθὲς εὗρον. 1154. Ἀμαθῶς] ἐν ἄλλοις ἀπαθῶς. 1158. Αἱ] πολεις· κατα μετάληψιν ἀντι τοῦ πολῖται.

Δμῶες, κομίξετ' ἐς δόμους τυραννικούς.
Ἐγὼ δ' ἐμαυτὸν πόλλ' ἐλοιδόρησα δή.
Οὐ γάρ τι θανάτῳ τοὺς κακοὺς κολάζομεν.
Καὶ νῦν πέπυσμαι, φανερὸν Ἑλλήνων τινὰ
Ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοπούς,
Ἤτοι κατόπτην, ἢ κλοπαῖς θηρώμενον
Ἑλένην. θανεῖται δ', ἤν γε δὴ ληφθῇ μόνον.
(Ἔα.) ἀλλ', ὡς ἔοικε, πάντα διαπεπραγμένα
Εὕρηκα· τύμβου γὰρ κενὰς λιποῦσ' ἕδρας
Ἡ Τυνδαρὶς παῖς ἐκπεπόρθμευται χθονός.
Ὠή, χαλᾶτε κλῆθρα, λύεθ' ἱππικὰς
Φάτνας, ὀπαδοί, κἀκκομίζεθ' ἅρματα,
Ὡς ἂν πόνου γ' ἕκατι μὴ λάθῃ με γῆς
Τῆσδ' ἐκκομισθεῖσ' ἄλοχος, ἧς ἐφίεμαι.
Ἐπίσχετ· εἰσορῶ γάρ, οὓς διώκομεν,
Παρόντας ἐν δόμοισι κοὐ πεφευγότας.
Αὕτη, τί πέπλους μέλανας ἐξῆψω χροὸς
Λευκῶν ἀμείψασ' ἔκ τε κρατὸς εὐγενοῦς
Κόμας, σίδηρον ἐμβαλοῦσ', ἀπέθρισας,
Χλωροῖς τε τέγγεις δάκρυσι σὴν παρηΐδα
Κλάουσα; πότερον ἐννύχοις πεπεισμένη
Στένεις ὀνείροις, ἢ φάτιν τίν' οἴκοθεν
Κλύουσα, λύπῃ σὰς διέφθαρσαι φρένας;

ΕΛ. Ὦ δέσποτ', (ἤδη γὰρ τόδ' ὀνομάζω σ' ἔπος,)
Ὄλωλα. φροῦδα τἀμά, κοὐδέν εἰμ' ἔτι.

ΘΕ. Ἐν τῷ δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;

ΕΛ. Μενέλαος (οἴμοι! πῶς φράσω;) τέθνηκέ μοι

ΘΕ· Οὐδέν τι χαίρω σοῖς λόγοις, τὰ δ' εὐτυχῶ.
Πῶς οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;

ἄρκυς, κομίζετε οἴκαδε· ἐγὼ δὲ πολλάκις μὲν καὶ πρὶν αὐτὸς ἐμαυτοῦ κατέγνων ῥαθυμίαν τῶν πραγμάτων, ὅτι μὴ ζημιοῖμεν τοὺς κακούργους θανάτῳ, καὶ νῦν δ' ἀκούω τῶν Ἑλλήνων τινὰ ἐλθεῖν ἐνταῦθα, λαθόντα τὰς φυλακὰς ἢ κατασκοπήσοντα, ἢ ὑφαιρησόμενον αὐτὴν τὴν Ἑλένην· ἀλλ' οὗτος, εἴγε συλληφθείη, ἀποθανεῖται πάντως. Ἀλλὰ τί τοῦθ' ὁρῶ; καὶ μὴν τόγ' ὕποπτον, ὡς ἔοικέν ἐστιν ἐληλυθὸς εἰς ἔργον· ἡ γὰρ Τυνδαρὶς ἐκλιποῦσα τὸν τάφον, ἐχρήσατο δρασμῷ. Ὠή· πιστοί μοι ὀπαδοί, λύετέ μοι ὡς τάχιστα τὰ κλεῖθρα, ἐξάγετέ μοι ἵππους τε καὶ ὀχήματα ἐκ τῶν ἱππώνων, ἵνα μὴ ὅσον ἐκ τῆς ἐμῆς ῥαθυμίας λάθῃ με ἡ γυνή, ἧς μάλιστ' ἐρῶ, διαδράσα. Ἀλλ' ἐπίσχετε νῦν· πάρεισι γὰρ οἵδε, οὓς ἐμέλλομεν διώξειν, οὔπω διαπεφευγότες. Αὕτη, τί ποθ' οὕτω τυγχάνεις μελανειμονοῦσα, τήν τε κόμην τὴν καλὴν ἀποκεκαρμένη, καὶ τὰς παρειὰς ἤδη καταρδεύουσα δάκρυσι; πότερον ὄνειρόν τι ἰδοῦσα θρηνεῖς, ἢ φήμην τινὰ οἴκοθεν ἀκηκουῖα, ὑποβρύχιος οὕτω γεγένησαι τῇ λύπῃ;

ΕΛ. Δέσποτα (τοῦτο γὰρ ἤδη ἀνάγκη σὲ παρ' ἐμοῦ ἀκούειν) ἴσθι με ἀπολωλυῖαν ἤδη, καὶ μηδὲν μηκέτι οὖσαν, τῶν ἐλπίδων ἀπολομένων.

ΘΕ. Τί φῄς; εἰς τοῦτο κεχώρηκέ σοι τὰ πράγματα συμφορᾶς; τίς αἰτία τούτων;

ΕΛ. Μενέλαος, ὦ πῶς ὑποίσω τὸ πάθος! οὐκέτι μοί ἐστιν ἐν τοῖς ζῶσιν, ἀπολωλώς.

ΘΕ. Οἰκτρὰ μέν σοι ταῦτ' ἀκοῦσαι. ἔμοιγε δ' ἄλλως εὐτυχῆ· ἀλλὰ πόθεν τυγχάνεις μαθοῦσα τοῦτο, ἢ ἐξηγήσατό σοι ἡ Θεονόη.

ΕΛ. Κείνη τέ φησιν ὅ,τε παρὼν, ὅτ᾽ ὤλλυτο.
ΘΕ. Ἥκει γὰρ, ὅστις καὶ τάδ᾽ ἀγγέλλει σαφῆ;
ΕΛ. Ἥκει. μόλοι γὰρ, ὡς ἐγὼ χρήζω μολεῖν.
ΘΕ. Τίς ἐστι; ποῦ 'στιν; ἵνα σαφέστερον μάθω.
ΕΛ. Ὅδ᾽, ὃς κάθηται τῷδ᾽ ὑποπτήξας τάφῳ.
ΘΕ. Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφῳ πρέπει!
ΕΛ. Οἴ μοι! δοκῶ μὲν κἀμὸν ὧδ᾽ ἔχειν πόσιν.
ΘΕ. Ποδαπὸς δ᾽ ὅδ᾽ ἀνὴρ, καὶ πόθεν κατέσχε γῆν;
ΕΛ. Ἕλλην Ἀχαιῶν εἷς, ἐμῷ σύμπλους πόσει.
ΘΕ. Θανάτῳ δὲ ποίῳ φησὶ Μενέλεων θανεῖν;
ΕΛ. Οἰκτρόταθ᾽, ἐν ὑγροῖσιν κλυδωνίοις ἁλός.
ΘΕ. Ποῦ; βαρβάροισι πελάγεσιν ναυσθλούμενον;
ΕΛ. Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.
ΘΕ. Καὶ πῶς ὅδ᾽ οὐκ ὄλωλε κοινωνῶν πλάτης;
ΕΛ. Ἐσθλῶν κακίους ἐνίοτ᾽ εὐτυχέστεροι.
ΘΕ. Λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;
ΕΛ. Ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.
ΘΕ. Ὄλωλ᾽ ἐκεῖνος· ἦλθε δ᾽ ἐν ποίῳ σκάφει;
ΕΛ. Ναῦταί σφ᾽ ἀνεῖλον ἐντυχόντες, ὡς λέγει.
ΘΕ. Ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίᾳ κακόν;
ΕΛ. Νεφέλης λέγεις ἄγαλμ᾽; ἐς αἰθέρ᾽ οἴχεται.
ΘΕ. Ὦ Πρίαμε καὶ γῆ Τρῳὰς, ὡς ἔῤῥεις μάτην.
ΕΛ. Κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.
ΘΕ. Πόσιν δ᾽ ἄθαπτον ἔλιπεν, ἢ κρύπτει χθονί;

---

1201. Μόλοι, ὡς ἐγὼ χρήζω μολεῖν] ἐπειδὴ αἰνίττεται τούτοις τὸν δρασμὸν, δῆλον ὅτι ἀσαφῶς ταῦτα προφέρει καὶ καθ᾽ ἑαυτὴν, ὡς μὴ ὑπόνοιάν τινα ἐμβάλοι τῷ δεσπότῃ.

ΕΛ. Ἐκείνη τέ φησι, καὶ οὗτος αὐτόπτης τῶν πραγμάτων.
ΘΕ. Τί δέ; ἦλθέ τις ἀληθῆ ταῦτα λέγων;
ΕΛ. Ἦλθεν, ἀλλ' εἴη ἐλθὼν, ὡς ἐγὼ θέλω τοῦτο.
ΘΕ. Τίς ποῦ ἔσθ' οὗτος, ἵνα σαφῶς τοῦτο μάθω;
ΕΛ. Οὑτοσὶ, ὁ κατεπτηχὼς παρὰ τῷ τάφῳ ὧδε.
ΘΕ, Ἄπολλον! ὡς πιναρός ἐστιν ἐσθῆτι.
ΕΛ. Φεῦ! τοιοῦτον καὶ τὸν ἄνδρα μου ὑπολαμβάνω εἶναι.
ΘΕ. Ποδαπὸς δὲ, καὶ πόθεν ἐλθὼν τυγχάνει;
ΕΛ. Ἕλλην, τῷ ἐμῷ ἀνδρὶ εἰς Ἴλιον συμπλεύσας.
ΘΕ. Ποίῳ δὲ τρόπῳ φησὶ Μενέλαον τεθνᾶναι;
ΕΛ. Τὸν οἰκτρότατον, πνιγέντα ἐν θαλάσσῃ.
ΘΕ. Ποῦ; ἢ διαβάλλοντα τὰ βάρβαρα πελάγη;
ΕΛ. Πρὸς τὰς ἀκτὰς ἐκπεσόντα τῆς Λιβύης.
ΘΕ. Πῶς δ' οὗτος διασέσωσται μόνος δεῦρο;
ΕΛ. Εὐτυχέστεροι πολλάκις τῶν ἀγαθῶν οἱ χείρους.
ΘΕ. Ποῦ δὲ κατέλιπε τὰ ναυάγια ἐλθὼν δεῦρο;
ΕΛ. Ἔνθ' ὤφειλεν αὐτὸς, ἢ Μενέλαος ἀπολωλέναι.
ΘΕ. Νῦν δ' ἀντ' αὐτοῦ ἀπόλωλεν ἐκεῖνος· πῶς δ' ἦλθεν ὧδε;
ΕΛ. Ναυτῶν αὐτὸν, ὥς φησιν, ἀναλαβόντων.
ΘΕ. Τὸ δὲ ἀντὶ σοῦ πεμφθὲν κακὸν εἰς Τροίαν;
ΕΛ. Τὸ τῆς νεφέλης φής; ἀπέπτη εἰς αἰθέρα.
ΘΕ. Ὦ Πρίαμε καὶ Ἴλιον, ὡς ἀπόλωλας μάτην.
ΕΛ. Ἀλλ' οὐχ ἧττον κἀγὼ τῆς ἐκείνων συμφορᾶς μετέσχον.
ΘΕ. Ἔθαψε δὲ, ἢ ἄθαπτον κατέλιπε τὸν ἄνδρα.

1205. Δοκῶ μὲν-πόσιν] τὸν αὐτὸν τοῦτον ἐννοεῖ, ὃν ἐκεῖνος ἀληθῶς οὐ κατανοεῖ· τοιαῦτα δὲ δίγνωμα πολλὰ ἐφεξῆς· οἷον καὶ τὸ (στίχ. 1225) φίλος γάρ ἐστιν, ὅς ποτ' ἐστιν ἐνθάδε ὤν· ἀλλ' ἀσαφῶς ταῦτ' ἀνάγκη προφέρειν.

ΕΛ. Ἄθαπτον. οἴ 'γὼ τῶν ἐμῶν τλήμων κακῶν!
ΘΕ. Τῶνδ' οὕνεκ' ἔταμες βοστρύχους ξανθῆς κόμης;
ΕΛ. Φίλος γάρ ἐστιν, ὅς ποτ' ἐστὶν, ἐνθάδ' ὤν.
ΘΕ. Ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται;
ΕΛ. Ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην θανεῖν;
ΘΕ. Οὐ δῆτα· πῶς οὖν; τόνδ' ἔτ' οἰκήσεις τάφον;
ΕΛ. Τί κερτομεῖς με, τὸν θανόντα δ' οὐκ ἐᾷς;
ΘΕ. Πιστὴ γὰρ εἶ σὺ σῷ πόσει, φεύγουσά με.
ΕΛ. Ἀλλ' οὐκέτ'· ἤδη δ' ἄρχε τῶν ἐμῶν γάμων.
ΘΕ. Χρόνια μὲν ἦλθες, ἀλλ' ὅμως αἰνῶ τάδε.
ΕΛ. Οἶσθ' οὖν, ὃ δρᾶσον; τῶν πάρος λαθώμεθα.
ΘΕ Ἐπὶ τῷ; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.
ΕΛ. Σπονδὰς τέμωμεν, καὶ διαλλάχθητί μοι.
ΘΕ. Μεθίημι νεῖκος τὸ σὸν, ἴτω δ' ὑπόπτερον.
ΕΛ Πρός νῦν σε γονάτων τῶνδ', ἐπείπερ εἶ φίλος —
ΘΕ. Τί χρῆμα θηρῶσ', ἱκέτις ὠρέχθης ἐμοῦ;
ΕΛ. Τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.
ΘΕ. Τίς δ' ἔστ' ἀπόντων τύμβος; ἢ θάψεις σκιάν;
ΕΛ. Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντῳ θάνῃ, —
ΘΕ. Τί δρᾷν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.
ΕΛ. Κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.
ΘΕ. Κτέριζ'· ἀνίστη τύμβον, οὗ χρῄζεις χθονός.
ΕΛ. Οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.
ΘΕ. Πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.
ΕΛ. Ἐς πόντον, ὅσα χρὴ νέκυσιν, ἐξορμίζομεν.
ΘΕ. Τί σοι παράσχω δῆτα τῷ τεθνηκότι;
ΕΛ. Οὐκ οἶδ'· ἐγὼ δ' ἄπειρος, εὐτυχοῦσα πρίν·
ΘΕ. Ὦ ξένε, λόγων μὲν κληδόν' ἤνεγκας φίλην.

ΕΛ. Ἄθαπτον· καὶ ταῦτό μοι τὸ δάκνον τὴν καρδίαν.
ΘΕ. Πρὸς ταῦθ' ὡς ἔοικας, ἔτεμες τοὺς βοςρύχους.
ΕΛ. Καὶ γὰρ φίλος ἦν, ὅστις ποτ' ἐςὶν ἐνθάδε·
ΘΕ. Οὐκέτ' ὀρθῶς τὴν συμφορὰν θρηνήσεις ταύτην.
ΕΛ. Τί δέ; οἰςὸν ἂν ἦν σοι, τῆς ἀδελφῆς θανούσης;
ΘΕ. Οὔ· τί οὖν; τῷ τάφῳ τούτῳ προσεδρεύσεις ἔτι;
ΕΛ. Τί με δάκνεις τούτοις; οὐκ ἐᾷς μοι τὸν θανόντα.
ΘΕ. Ὡς πιςὴ εἶ ἐκείνῳ, εἰ καὶ νῦν ἐμὲ μὴ δέχῃ.
ΕΛ. Ἀλλ' οὐκ ἂν ἔτι· σὴ γὰρ ἐγὼ τοὐντεῦθεν.
ΘΕ. Ὀψὲ μὲν, ἀλλ' ἐπαινῶ καὶ νῦν τὴν ψῆφον ταύτην.
ΕΛ. Οἶσθ' οὖν, ὃ δρῶμεν; τῶν πάρος ἔςω λήθη.
ΘΕ. Ἐπὶ τίσι; χάρις γὰρ ἀνθέλκει χάριν.
ΕΛ. Διαλλάγηθί μοι, πίςιν σοι διδούσῃ ἤδη.
ΘΕ. Συγχωρῶ σοι τὰ πρὶν, οἷά ποτ' ἦν ἐκεῖνα.
ΕΛ. Νῦν οὖν μοι φίλου ὄντος, τῶν σῶν ἅπτομαι γονάτων.
ΘΕ. Τί ποτέ σοι βούλεται τὸ ἱκετεύειν οὕτω;
ΕΛ. Τὸν ἐμαυτῆς ἄνδρα ἔα ἐνταφιάσαι.
ΘΕ. Πῶς ἂν ἀπόντα, ἢ σκιὰν μόνην θάψεις;
ΕΛ. Ὡς νόμος παρ' ἡμῖν περὶ τῶν πεπνιγμένων.
ΘΕ. Πῶς; τὰ γὰρ τοιαῦτα σοφοὶ οἱ Πελοπίδαι.
ΕΛ. Ἐσθῆτα κενὴν καταθέντας ἐν τῷ τάφῳ.
ΘΕ. Πρᾶττε τοῦτο, ὅπου γῆς ἐνταῦθα βούλει.
ΕΛ. Ἀλλ' ἄλλος τῶν οὕτως ἀπολωλότων νόμος.
ΘΕ. Ποῖος; οὐ γὰρ εἰδήμων ἐγὼ τῶν ὑμετέρων.
ΕΛ. Ἐν θαλάσσῃ τοῖς νεκροῖς τὰ ἐντάφια κομίζειν.
ΘΕ. Τί οὖν με δεῖ παρασχεῖν τῷ τεθνηκότι;
ΕΛ. Οὐκ οἶδα, τὸ πρὶν ἐν εὐτυχίᾳ οὖσα.
ΘΕ. Ἄγε σὺ, ὦ ξένε, ὁ φήμην ἐνεγκών μοι φίλην.

ΜΕ. Οὔκουν ἐμαυτῷ γ᾽ οὐδὲ τῷ τεθνηκότι.
ΘΕ. Πῶς τοὺς θανόντας θάπτετ᾽ ἐν πόντῳ νεκρούς;
ΜΕ. Ὡς ἂν παρούσης οὐσίας ἕκαστος ᾖ.
ΘΕ. Πλούτου λέγ᾽ οὕνεχ᾽, ὅ,τι θέλεις ταύτης χάριν.
ΜΕ. Προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
ΘΕ. Τίνος; σύ μοι σήμαινε, πείσομαι δ᾽ ἐγώ.
ΜΕ. Αὐτός σύ γίγνωσκ᾽. ἀρκέσει γὰρ, ἅ᾽ν διδῷς.
ΘΕ. Ἐν βαρβάροις μὲν ἵππον, ἢ ταῦρον, νόμος.
ΜΕ. Διδούς γε μὲν δὴ, δυσγενὲς μηδὲν δίδου.
ΘΕ. Οὐ τῶνδ᾽ ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.
ΜΕ. Καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
ΘΕ. Ἔσται. τί δ᾽ ἄλλο προσφέρειν νομίζεται;
ΜΕ. Χαλκήλαθ᾽ ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.
ΘΕ. Ἄξια τάδ᾽ ἔσται Πελοπιδῶν, ἃ δώσομεν.
ΜΕ. Καὶ τἄλλ᾽, ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
ΘΕ. Πῶς οὖν; ἐς οἶδμα τίνι τρόπῳ καθίετε;
ΜΕ. Ναῦς δεῖ παρεῖναι κάρετμῶν ἐπιστάτας.
ΘΕ. Πόσον δ᾽ ἀπείργει μῆκος ἐκ γαίας δόρυ;
ΜΕ. Ὥστ᾽ ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
ΘΕ. Τί δὴ τόδ᾽ Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
ΜΕ. Ὡς μὴ πάλιν γῇ λύματ᾽ ἐκβάλλῃ κλύδων.
ΘΕ. Φοίνισσα κώπη ταχύπορος γενήσεται.
ΜΕ. Καλῶς ἂν εἴη, Μενέλεῳ γε πρὸς χάριν.
ΘΕ. Οὔκουν σὺ χωρὶς τῆσδε δρῶν, ἀρκεῖς τάδε;
ΜΕ. Μητρὸς τόδ᾽ ἔργον, ἢ γυναικὸς, ἢ τέκνων.
ΘΕ. Ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.
ΜΕ. Ἐν εὐσεβεῖ γοῦν, νόμιμα μὴ κλέπτειν νεκρῶν,
ΘΕ. Ἴτω· πρὸς ἡμῶν ἄλοχον εὐσεβῆ τρέφειν.

ΜΕ. Ὡς πικρὰν δὲ ταύτην ἐμοὶ καὶ τῷ θανόντι.
ΘΕ. Πῶς θάπτεθ' ὑμεῖς τοὺς οὕτω τεθνηκότας;
ΜΕ. Ὥσπερ ἔχει ἕκαστος περιουσίας.
ΘΕ. Ἐκ μὲν τοῦ πλούτου ἔσται τῇδε, ὅσ' ἂν εἴπῃς.
ΜΕ· Πρῶτον μὲν σφάγια νόμος ἐστὶ προσφέρειν.
ΘΕ. Ἐκ τίνος γένους; λέγε καὶ πείσομαί σοι.
ΜΕ. Οὗτινος ἂν βούλῃ· ἀρκεῖ μόνον, εἰ δώσεις.
ΘΕ. Παρὰ βαρβάροις ταῦρον, ἢ ἵππον ἐστὶ προσφέρειν.
ΜΕ. Ὅ,τι ἂν δῷς, μὴ ἀγενὲς τοῦτ' ἔστω μόνον.
ΘΕ. Πολλὰ ἐν ἀγέλαις ἡμῖν ἐστι γενναῖα.
ΜΕ. Ἔπειτα στρωμνὰς ἐθίζομεν προσφέρειν.
ΘΕ. Πρόσθες καὶ ταῦτα· ἕτερον δὲ τὶ πρὸς τούτοις.
ΜΕ. Πανοπλίαν, ὡς πολεμικῷ ἐκείνῳ ὄντι.
ΘΕ. Ἄξια καὶ ταῦτα τῷ Πελοπίδῃ ἔσται.
ΜΕ. Ἐπὶ δὲ τούτοις, ὁπόσ' ἡ γῆ βλαστάνει.
ΘΕ. Ὅπως δὲ ταῦτα καθίετε τῷ πόντῳ.
ΜΕ. Νεὼς δεῖ καὶ ναυτῶν, ὥστε ἐρέσσειν πρόσω.
ΘΕ. Πόσῳ δὲ μακρὰν τῆς χέρσου δεῖ χωρῆσαι;
ΜΕ. Ὅσον γε μόλις ἐκ τῆς ξηρᾶς ὁρᾶσθαι.
ΘΕ. Τί δὲ βούλεται τοῖς Ἕλλησι τὸ ἔθος;
ΜΕ. Ἵνα μὴ ὁ κλύδων τὰ λύματα ἐκβάλῃ.
ΘΕ. Φοίνισσα ναῦς εὐτρεπὴς πρὸς ταῦτα ἔσται.
ΜΕ. Καλὸν τοῦτ' εἶπας, καὶ Μενελάῳ χάρις.
ΘΕ. Σὺ τοίνυν καὶ ἄνευ τῆσδε ποιήσεις ταῦτα.
ΜΕ. Μόνῃ μητρὶ ἀνήκει, ἢ γυναικὶ ἢ τέκνοις.
ΘΕ. Οὐκοῦν τῇδε λείπεται προσφέρειν ταῦτα.
ΜΕ. Εἰ χρὴ τοῖς νεκροῖς τὰ νόμιμα φυλάττειν.
ΘΕ. Ἔστω· κἀμοὶ γὰρ κλέος εὐσεβῆ ἔχειν γυναῖκα· νῦν οὖν

Ἐλθὼν δ' ἐς οἴκους ἐξελῶ κόσμον νεκρῷ,
Καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
Δράσαντα τῇδε πρὸς χάριν· φήμας δέ μοι
Ἐσθλὰς ἐνεγκών γ', ἀντὶ τῆς ἀχλαινίας
Ἐσθῆτα λήψῃ σῖτά τ', ὥστε σ' ἐς πάτραν
Ἐλθεῖν, ἐπεὶ νῦν γ' ἀθλίως ἔχονθ' ὁρῶ.
Σὺ δ', ὦ τάλαινα, μὴ 'πὶ τοῖς ἀνηνύτοις
Τρύχου σὺ σαυτήν· Μενέλεως δ' ἔχει πότμον,
Κοὐκ ἂν δύναιτο ζῆν, ὁ κατθανὼν πόσις.

ΜΕ. Σὸν ἔργον, ὦ νεᾶνι. τὸν παρόντα μὲν
Στέργειν πόσιν χρὴ, τὸν δὲ μηκέτ' ὄντ' ἐᾶν·
Ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
Ἢν δ' Ἑλλάδ' ἔλθω καὶ τύχω σωτηρίας,
Παύσω ψόγου σε τοῦ πρὶν, ἢν γυνὴ γένῃ,
Οἵαν γενέσθαι χρή σε σῷ ξυνευνέτῃ.

ΕΛ. Ἔσται τάδ'. οὐδὲ μέμψεται πόσις ποτὲ
Ἡμῖν· σὺ δ' αὐτὸς ἐγγὺς ὢν, εἴσῃ τάδε,
Ἀλλ', ὦ τάλας, εἴσελθε καὶ λουτρῶν τύχε
Ἐσθῆτά τ' ἐξάλλαξον. οὐκ ἐς ἀμβολὰς
Εὐεργετήσω σ'· εὐμενέστερον γὰρ ἂν
Τῷ φιλτάτω μοι Μενέλεῳ τὰ πρόσφορα
Δρῴης ἂν, ἡμῶν τυγχάνων, οἵων σε χρῆν·

ΧΟ· Ὀρεία ποτὲ δρομάδι κώλῳ

---

1262. Ἢν γυνὴ γένῃ] ἀξία τῷσαυτῆς ἀνδρί· καὶ τοῦτο ὡς καὶ τὰ ἑπόμενα παρὰ τῆς Ἑλένης διττὴν καλύπτουσιν ἔννοιαν· τῷ μὲν γὰρ φαινομένῳ ἀναφέρεται πρὸς τὸν νέον ἄνδρα τῆς Ἑλένης· τῷ δὲ νοουμένῳ, πρὸς Μενέλαον αὐτόν· τοιοῦτον δὲ καὶ τὸ, οὐκ εἰς ἀμβολὰς εὐεργετήσωσε οὐ περὶ τῶν ἱμα-

εἰσιὼν ἐξελῶ κόσμον ἄξιον τῷ τεθνεῶτι· σέτε ποιήσω μὴ μεταμεληθῆναι, ἐφ' οἷς τε δράσεις πρὸς χάριν ταύτης, καὶ ἐφ' οἷς φήμην ἐρατὴν ἤνεγκάς μοι· ἀντὶ γὰρ τῶν ῥακίων ἐσθῆτα θ' ἕξεις, καὶ τἀπιτήδεια ἱκανὰ μέχρις ἂν ἐπανήκῃς οἴκαδε· ὁρῶν γάρ σε νῦν οἰκτείρω ἐν δυστυχίᾳ ὄντα. Σὺ δ' αὖ, ὦ τάλαινα, ἀνονήτως μὴ τρύχου· Μενέλαος γὰρ οὐκ ἂν ἀναβιῴη.

**ΜΕ.** Κἀμοὶ ταὐτὰ συνδοκεῖ· σὸν δ' ἐστὶν ἤδη, ὦ γύναι, ἐάσασαν τὸν ἀποθανόντα, πρὸς τὸν νέον ἄνδρα τὸ φίλτρον τρέφειν· οὕτω γὰρ ἄριστόν σοι φέρεσθαι πρὸς τὸ φέρον· ἐγὼ δ' ἢν σωθεὶς ἐπανήκω ποτὲ εἰς τὴν Ἑλλάδα, ἀποτρίψω τὸν κατὰ σοῦ πολὺν ἐκεῖνον ψόγον, ἤνγε σὺ γένῃ, οἵαν σε χρὴ τῷ σαυτῆς ἀνδρὶ γενέσθαι.

**ΕΛ.** Ἔσται τάδε οὕτως, ὥσθ' οὑμὸς ἀνὴρ οὐχ ἕξει, ὅ,τι ποτε καταμέμψηται· καὶ σὺ αὐτὸς παρ' ἐμοὶ ὤν, μαρτυρήσεις· ἀλλ' εἴσελθ' αὐτὸς, ὦ τάλας, καὶ λουσάμενος, μετεμφίεσο· ἐγὼ γὰρ αὐτίκα μάλ' εὖ ποιήσω σε, ἵν' εὐμενέστερον δράσῃς τῷ φίλῳ μοι Μενελάῳ τὰ προσφερόμενα, ἐμοῦ τυχὼν, οἵας χρὴ τυχεῖν.

**ΧΟ.** Κυβέλη, ἡ τῶν θεῶν μήτηρ διέδραμέ ποτε κουφοτάτῳ ποδὶ

---

τίων τῇ γυναικὶ ὁ λόγος, ἀλλὰ περὶ τῆς φυγῆς καὶ τῆς νόστου. 1301. Ὀρείᾳ] Περσεφόνην τῆς Δήμητρος θυγατέρα εὑρὼν ὁ Πλούτων ἄνθη δρεπομένην ἐπὶ τοῦ ὄρους τῆς Αἴτνης, ἥρπασεν αὐτήν· ἡ δὲ μήτηρ περιῄει ἀνὰ πάντα τὰ ὄρη ζητοῦσα τὴν κόρην· περὶ ταύτης οὖν ὁ λόγος ἐνταῦθα· ἀλλ' ὁ περὶ ταύτης μῦθος, οὐκ οἶδα ὅπως συγκέχυται μάλιστα τῷ τῆς Κυβέλης, εἴτουν τῆς Ῥέας τῆς μητρὸς τῶν θεῶν μύθῳ· καὶ θεὰν Ὀρείαν οὐ τὴν Δήμητρα, ἀλλά τὴν Κυβέλην εἰσάγει ἐνταῦθα, ἐξ ὧν ἐπιφέρει κροτάλων βρομίων καὶ τῶν λοιπῶν.

Μάτηρ θεῶν ἐσύθη
Ἀν' ὑλάεντα νάπη
Ποτάμιόν τε χεῦμ' ὑδάτων
Βαρύβρομόν τε κῦμ' ἅλιον
Πόθῳ τᾶς ἀποιχομένας
Ἀῤῥήτου κούρας·
(Κρόταλα δὲ Βρόμια διαπρύσιον
Ἱέντα κέλαδον ἀνεβόα,
Θηρῶν ὅτε ζυγίους
Ζεύξασα θεὰ σατίνας,
Τὰν ἁρπασθεῖσαν κυκλίων
Χορῶν ἔξω παρθενίων·)
Μετὰ κουρᾶν δ' ἀελλόποδες
Ἁ μὲν τόξοις Ἄρτεμις, ἁ δ'
Ἐν ἔγχει Γοργὼ πάνοπλος.
Αὐγάζων δ' ἐξ οὐρανίων
Ἄλλαν μοῖραν ἔκραινε [Ζεὺς] *
Δρομαίων δ' ὅτε πολυπλανήτων (Ἀντ. α΄.)
Μάτηρ ἔπαυσε πόνων,
* Μαντεύουσ' ἀπόρους
Θυγατρὸς ἁρπαγὰς δολίους,
Χιονοθρέμμονάς γ' ἐπέρασ'
Ἰδαίαν Νυμφᾶν σκοπιάς.
Ῥίπτει δ' ἐν πένθει
Πέτρινα κατὰ δρία πολυνιφέα.
Βροτοῖσι δ' ἄχλοα πεδία γᾶς
Οὐ καρπίζουσ' ἀρότοις·
Λαῶν [δὲ] φθείρει γενεάν.

ἀνὰ τὰ σύσκια νάπη, ποταμούς τε, καὶ πελάγη θαλάσσης, τὴν ἑαυτῆς ἀνώνυμον κόρην ἁρπαγεῖσαν ζητοῦσα· ὅπου κρόταλά τε καὶ κύμβαλα βρόμια ἀντήχουν, διαπρύσιον ἀφιέντα φωνήν· ὁπόθ' ἡ θεὸς ζεύξασα ὑπὸ τὴν ἅμαξαν λέοντας, ἐζήτει τὴν ἀπὸ τῶν ἐγκυκλίων παρθενικῶν χορῶν ἁρπαγεῖσαν· ἔνθα μετὰ καὶ ἄλλων Νυμφῶν ἦσαν καὶ αἱ ταχύποδες θεαὶ, ἥτε Ἄρτεμις τόξα φέρουσα, καὶ ἡ γοργῶπις Ἀθηνᾶ πᾶσαν τὴν πανοπλίαν. Ζεὺς δ' οὖν ὁ ἐξ οὐρανίων θρόνων ὁρῶν τἀπὶ γῆς, ἄλλη τὴν τούτων ἔτρεψε τύχην.

Ἡ δὲ μήτηρ τῶν θεῶν, ἐπεὶ ἐπαύσατό ποτε τῶν ἀνυνήτων πόνων ἐν τῷ ζητεῖν διὰ πολλῆς πλάνης τὴν δολίως ἁρπαγεῖσαν ἑαυτῆς θυγατέρα, διέβη πρὸς τὰς ἐν Ἴδῃ χιονώδεις σκοπιὰς τῶν Νυμφῶν· ἔνθα πολλῷ συνεχομένη πάθει, ῥίπτει ἑαυτὴν ἐν πετρίνοις δάσεσιν ἐπικεκαλυμμένοις τῇ χιόνι· κἀντεῦθεν τήντε ἄρουραν τῆς γῆς ἀφίησιν ἄκαρπον, καὶ τὸ γένος διαφθείρει τῶν

1307. Ἀῤῥήτου] μὴ ἐχούσης ὄνομα. Κόρη γὰρ ὡς ἐπὶ τὸ πολὺ ἡ κόρη τῆς Δήμητρος λέγεται· περὶ ἧς καὶ δίστιχον φέρεται ἐκεῖνο.

» Λέγουσι Δήμητρός ποτ' ἄῤῥητον Κόρην
» Πλούτωνα κρυφίοις ἁρπάσαι βουλεύμασι.

1310. Θηρῶν] λεόντων· οὗτοι γὰρ τὸ αὐτῆς εἷλκον ἅρμα· ὅτε ζεύξασα.] Ἐπακουστέον τὸ, ἐζήτει, πρὸς ἀπόδοσιν τῆς εὐθείας. 1314. Μετὰ κουρῶν] κόραι αἱ Νύμφαι αἱ συμπεριϊοῦσαι τῇ τῶν θεῶν μητρί· ἐν αἷς ἦσαν ἥτε Ἄρτεμις καὶ ἡ Ἀθηνᾶ- 1316. Γοργὼ] ἀντὶ τοῦ Γοργῶπις κατ' ἀποκοπὴν, ἢ λαμβάνει τὸ ἐχόμενον ἀντὶ τοῦ ἔχοντος, τὴν ἀσπίδα ἀντὶ τῆς ἀσπιδοφόρου.— 1317. Ὁ δ' αὐγάζων] τίς οὗτος, ἢ ὁ ἀστραπηφόρος ἐστὶ Ζεύς; ὅπερ καὶ προσέθηκα, ὡς ἀναπληροῦν καὶ τὸ μέτρον. 1324. Ἰδαίαν νυμφᾶν] Δωρικῶς ἀντὶ τοῦ Ἀττικοῦ Ἰδαίων νυμφῶν. 1338. Καρπίζουσ'] τὰ πεδία οὐ καρπίζουσιν

Ποίμναις δ' οὐχ ἵει θαλερὰς
Βοσκὰς εὐφύλλων ἑλίκων·
Πολέων δ' ἀπέλειπε βίος,
Οὐδ' ἦσαν θεῶν θυσίαι,
Βωμοῖς τ' ἄφλεκτοι πέλανοι·
Πηγάς τ' ἀμπαύει δροσερὰς
Λευκῶν ἐκβαλεῖν ὑδάτων.
Ἐπεὶ δ' ἔπαυσ' εἰλαπίνας (Στρ. β'.)
Θεοῖς βροτείῳ τε γένει,
Ζεὺς μειλίσσων στυγίους
Ματρὸς ὀργὰς ἐνέπει·
Βᾶτε, σεμναὶ Χάριτες,
Ἴτε, τὰν περὶ παρθένῳ
Δηοῖ θυμωσαμέμα
Λύπαν ἀλλάξαιτ' ἀλαλᾷ,
Μοῦσαί θ' ὕμνοισι χορῶν·
Χαλκοῦ δ' αὐδὰν χθονίαν,
Τύμπανά [τε] λάβετε βυρσοτενῆ.
Καλλίστα τότε πρῶτα μακάρων
Κύπρις γέλασέ τε θεὰ
Δέξατό τ' εἰς χέρας
Βαρύβρομον αὐλὸν
Τερφθεῖσ' ἀλαλαγμῷ.
Ὧν οὐ θέμις οὔθ' ὅσια, (Ἀντ. β'.)

---

οὗτω μᾶλλον, ἀλλ' οὐ, καρπίζουσα ἡ θεός. 1332. Πολέων] πολλῶν· ἐκ τοῦ πολὺς, πολέως, πολέες, πολέων, 1343. Δηοῖ] ὡς ὑποκοριστικὸν τοῦτο τῇ Δήμητρι ἀποδιδόασί τινες· ἢ παρὰ τὸ Δαίειν τὸ καίειν, ὅτι δᾶδας ἀνάψασα ἐν τῇ Αἴτνῃ, περιῄει, ζητοῦσα τὴν κόρην· τὸ δὲ Ἀλαλὰ ἢ Ἀλαλὴ, φωνή ἐστιν ἄναρθρος

βροτῶν, καὶ πολλὰ τῶν βοσκημάτων ἀπώλεσεν, τῶν τῆς γῆς χλοερῶν ἀποστερήσασα βλαστημάτων· αἵτε θυσίαι ἐξέλιπον τοῖς θεοῖς, καὶ πέμματα οὐκέθ' ὁρῶνται φλεγόμενα ἐν βωμοῖς· οὐμὴν ἀλλ' οὐδ' ἐν ταῖς πηγαῖς ὕδωρ ῥέει, ὥστ' ἐμψυχῶσαι ταῖς ἀρδείαις τὴν φύσιν.

Οὕτω τοίνυν τῶν τε θεῶν ἀποστερουμένων τῆς εὐωχίας, καὶ τῶν ἀνθρώπων διαφθειρομένων λιμῷ, ὁ Ζεὺς, βουλόμενος καταπραΰναι χαλεπήνασαν τὴν μητέρα, λέγει, ἴτε, ὦ σεμναὶ Χάριτες, παραμυθήσουσαι Δηῶ τὴν τῶν θεῶν μητέρα, χολωθεῖσαν περὶ τῆς παρθένου ἀπὸ τῆς λύπης τῷ προσαγωγῷ τῶν λόγων εἰς τὸ εὐθυμότερον μεταγαγοῦσαι· ὑμεῖς θ' αἱ Μοῦσαι ὁμοίως χοροὺς ἐν ὕμνοις ἱστᾶσαι, καὶ τύμπανα χαλκόκροτα βυρσοτενῆ ἀναλαβοῦσαι, ἀνακρούσατε φωνὰς βαρυτόνους· τότε δὴ πρῶτον χαρίεν ἐγέλασεν Ἀφροδίτη, καὶ λαβοῦσα βαρύτονον αὐλὸν ἐν χερσὶν, ἐτέρπετο τῷ μέλει.

Σὺ δὲ, ὦ παῖ, ἔφλεξας ἐν θαλάμοις, ὃν οὔτε θέμις,

---

χρήσιμος καὶ παρακελευστικὴ ἐν ταῖς μάχαις· ἐνταῦθα δ' εἴληπται ἁπλῶς ἀντὶ τοῦ κραυγή. 1346. Χθονίαν] βαρύτονον, μεγάλην, βροντώδη· ἦσαν γὰρ τῶν τυμπάντων τὰ περίπλευρα ἐκ χαλκοῦ.

» Τύμπανα χαλκεόνωτα Κυβηλίδος ὄργανα Ῥείης.

1353. Ὃν οὐ θέμις] ἔγραψα οὕτως ὡς ἐν ἄλλοις κεῖται, ἀντὶ τοῦ Ὧν· οὕτω γὰρ καὶ τὸ μέτρον ἀπαιτεῖ· ὁμοίως δὲ ἀντὶ τοῦ, Ὅσια, γραπτέον, Ὁσία, (ἴδε Βάκχ. στίχ. 370.) διὰ τὸν αὐτὸν λόγον· ἀλλὰ εἴτε Ὧν, εἴτε Ὃν, ποῦ δεῖ ταῦτ' ἀναφέρειν; δοκεῖ δ' ὡς πάνυ ξένα εἰσαχθῆναι τῷ λόγῳ· εἰ γὰρ Πάριν, ἢ Θεοκλύμενον ἐννοοῖμεν, ὃν τυγχάνει ἡ Ἑλένη πυρώσασα ἐν θαλάμοις, ἢ τὸν Πλούτωνα ὃν ἡ Κόρη, οὐδὲν ἂν εἰς τὴν τοῦ ὅλου λόγου συνάφειαν ἐντεῦθεν συνάγοιμεν.

Ἐπύρωσας ἐν θαλάμοις,
Μῆνιν δ' ἔχεις μεγάλας
Ματρὸς, ὦ παῖ, θυσίας
Οὐ σεβίζουσα θεοῖς.
Μέγα τοι δύνανται νεβρῶν
Παμποίκιλοι στολίδες,
Κισσοῦ τε στεφθεῖσα χλόα
Νάρθηκας εἰς ἱεροὺς,
Ῥόμβου θ' ἑλισσομένα
Κύκλιος ἔνοσις αἰθερία,
Βακχεύουσά τ' ἔθειρα Βρομίῳ
Καὶ παννυχίδες θεᾶς.
Εὖ δέ νιν ἄμασιν
Ὑπέρβαλε σελάνα.
Μορφᾷ μόνον ηὔχεις.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΕΛΕΝΗ, ΘΕΟΚΛΥΜΕΝΟΣ, ΜΕΝΕΛΑΟΣ, ΧΟΣΟΣ ΑΓΕΛΟΣ Γ,ΔΙΟΣΚΟΥΡΟΙ.

ΕΛ. Τὰ μὲν κατ' οἴκους εὐτυχοῦμεν ὦ φίλαι·

οὐκ οἶδ' ὅ,τι φῶ. 1355. Μῆνιν ἔχεις] διὰ τί; ὅτι οὐ σεβίζει θυσίας θεῶν· τίνας θυσίας οὐ σεβίζει ἡ Ἑλένη; τῆς μητρὸς τῶν θεῶν· ὅτι οὐκ ἐδέξατο τὰ Βακχικὰ (τοῦτο γὰρ συνάγεται ἐκ τῶν ἑπομένων) ἀλλὰ πῶς, καὶ ποῦ; οὐκ οἶδ' ὅ,τι φῶ· δοκοῦσι δὲ ταῦθ' ὡς ἀποσπάσματα εἶναι ἀπὸ τῶν Βακχῶν. 1359. Παμποίκιλοι στολίδες] ἴδε ταῦτα ἐν τῷ τῶν Βακχῶν προλόγῳ.—χλόα] ἡ λέξις οὕτω, ἡ φόβη τοῦ κισσοῦ ἡ ἐπιτεθεῖσα ὡς στέμμα ἐς τοὺς ἱεροὺς

οὔθ' ὅσιον ἦν, τάς τε θυσίας τῶν θεῶν μὴ σεβομένη, ὑπηγάγου τὴν τῆς μεγάλης μητρὸς ὀργήν· αἱ γὰρ τῶν νεβρῶν κατάστικτοι στολίδες, θάρσος τε κισσῷ ἐνειλιγμένος, καὶ ἡ κύκλῳ κίνησις τοῦ ῥόμβου εἰς τὸν αἰθέρα, καὶ ἡ κόμη τῶν Βακχευουσῶν ἀναπηδῶσα, καὶ αἱ παννυχίδες τῆσδε τῆς θεᾶς μέγα δύνανται, εὖ δ' ἐκείνην ἐν ἡμέραις ὑπερέβαλε σελήνη· σὺ δ' ἐπὶ κάλλει μόνον ηὔχεις.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΕΛΕΝΗ, ΘΕΟΚΛΥΜΕΝΟΣ, ΜΕΝΕΛΑΟΣ, ΧΟΡΟΣ ΑΓΓΕΛΟΣ, ΔΙΟΣΚΟΥΡΟΙ.

**ΕΛ.** Τὰ μὲν οὖν ἐν τῷ οἴκῳ, ὦ φίλαι, γεγενημένα, εὐτυ-

---

νάρθηκας· νάρθηξ δὲ καὶ θύρσος συγχέονται πολλαχῆ. 1362. Ῥόμβου ἑλισσόμενα ἔνοσις] ἡ διὰ τοῦ Ῥόμβου εἰς τὸν ἀέρα κυκλικὴ γιγνομένη κίνησις· ἦν δὲ ὁ ῥόμβος τροχίσκος· ὃς ἱμάντι περιδονούμενος ἐν τῷ ἀέρι, ὀξὺν ἐπετέλει ἦχον· ἐχρῶντο δ' αὐτῷ μάλιστα ἐν ταῖς τελεταῖς τῶν Βακχείων. 1366. Εὐ δένιν ἅμασιν] καὶ πᾶς μὲν ὁ νοῦς τῆς ἀντιστροφῆς ταύτης συγκέχυται τὰ δ' ἑξῆς εἰσὶ καὶ ἀκατάληπτα ὅλως· φέρεται δὲ τῶν σχολιαστῶν ἡ διόρθωσις ἐκείνη.

» Οὖ δένιν ἅμμασιν
» Ὑπέλαβέσ', ἐλᾷν αὖ
» Μορφᾷ μόνον ἀρκεῖς.

Ὁ δὲ νοῦς· Ἀρκεῖς αὐτὴ τῷ σαυτῆς κάλλει ἐξελᾷν τὸν πόνον τοῦ ἀνδρὸς ἐκείνου, οὗ τῷ ζυγῷ ὑπέβαλέσε ἡ θεός. Ἀλλὰ ταῦτα εἰκασίαι οὐκ ἐπιτυχεῖς· μεταβαλεῖν δ' ἔτι ἐπειράθησαν καὶ τὸ, ἅμασιν εἰς τὸ, ἅρμασιν, καὶ τὸ, Ὑπέρβαλε σελάνα, εἰς τὸ, ὑπέρβαλες Ἑλένα· ἀλλ' οὐδὲν πλέον κἀκ τούτων τῷ λό-

Ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη,
Πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη,
Οὐκ εἶπ' ἀδελφῷ· κατθανόντα δ' ἐν χθονὶ
Οὔ φησιν αὐγὰς εἰσορᾶν ἐμὴν χάριν.
Κάλλιςα δῆτ' ἀνήρπασεν τεύχη πόσις·
Ἃ γὰρ καθήσειν ὅπλ' ἔμελλεν εἰς ἅλα,
Ταῦτ', ἐμβαλὼν πόρπακι γενναίαν χέρα,
Αὐτὸς κομίζει, δόρυ τε δεξιᾷ λαβὼν,
Ὡς τῷ θανόντι χάριτα δὴ συνεκπονῶν.
Προὔγου δ' ἐς ἀλκὴν σῶμ' ὅπλοις ἠσκήσατο,
Ὡς βαρβάρων τρόπαια μυρίων χερὶ
Θήσων, ὅταν κωπῆρες εἰσβῶμεν σκάφος.
Πέπλους δ' ἀμείψασ' ἀντὶ ναυφθόρου στολῆς
Ἐγώ νιν ἐξήσκησα, καὶ λουτροῖς χρόα
Ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
Ἀλλ' ἐκπερᾷ γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
Γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν·
Σιγητέον μοι· καὶ σὲ προσποιούμεθα
Εὔνουν, κρατοῦντα στόματος, ἢν δυνώμεθα,
Σωθέντες αὐτοὶ, καὶ σὲ συσσῶσαί ποτε.

ΘΕ. Χωρεῖτ' ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
Δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ', ἤν σοι μὴ κακῶς δόξω λέγειν,
Πείθου, μέν' αὐτοῦ· ταὐτὰ γὰρ παροῦσά τε
Πράξεις τὸν ἄνδρα τὸν σὸν, ἤν τε μὴ παρῇς.
Δέδοικα γάρ σε μή τις ἐμπεσὼν πόθος,
Πείσῃ μεθεῖναι σῶμ' ἐς οἶδμα πόντιον,

χῶς ἡμῖν ἔχει· ἡ γὰρ κόρη τοῦ Πρωτέως ἡ συντολιτεύουσα ἡμῖν τὰ παρόντα, ἐρωτηθεῖσα παρὰ τοῦ ἀδελφοῦ περὶ Μενελάου, ἔφη μηκέτι ἐκεῖνον ζῆν, καίτοι μὴ ἀγνοοῦσα αὐτὸν παρόντα· καὶ οὑμὸς ἀνὴρ αὖθις κάλλιστ' ἐκτήσαθ' ὅπλα· ἃ γὰρ δέδοται αὐτῷ καθεῖναι εἰς τὴν θάλασσαν, ταῦτ' αὐτὸς, ἐμβαλὼν διὰ τοῦ πόρπακος τὸν βραχίονα, καὶ τῇ δεξιᾷ τὸ δόρυ λαβὼν, ὡς σπουδὴν ἔχων χαρίσασθαι τῷ ἀποθανόντι, κομίζει δεῦρο, ὁπλισάμενος οὕτως, ὥστ' ἐπειδὰν ἐπιβῶμεν νεὼς, μυρίων βαρβάρων ἂν κρατῆσαι· διά τε χρόνου λουσάμενος, καὶ τὰ ῥάκη τὰ ἐκ τῶν ναυαγίων ἀποσεισάμενος, μετεμφιέσατο ἐσθῆτα καλὴν, ἐμοῦ αὐτῷ δούσης. Ἀλλὰ σιγητέον· ἔξεισι γὰρ, ὃς τῶν ἐμῶν γάμων ἐλπίδα βεβαίαν, καὶ μὴ ἔχων, ἔχει· δεῖ οὖν καί σε, εὔνουν ὄντα, πρὸς μηδὲν ἐκφέρειν ταῦτα. ἐπειδὰν δὲ σὺν θεοῖς διασωθῶμεν, ἐπιμελησόμεθα καὶ περὶ τῆς σῆς σωτηρίας.

ΘΕ. Ἴθ' ἡμεῖς οἱ οἰκέται φροντίδα ποιησόμενοι, ὧν καὶ ὅπως ὁ ξένος οὗτος διέταξε γενέσθαι, κομίζοντες τἀπιτάφια εἰς τὴν ναῦν· σὺ δ', ὦ Ἑλένη, ἣν καὶ σοὶ καλῶς δόξῃ τοῦτ' ἔχειν, μένε αὐτοῦ, ἐμοὶ πειθομένη· ταῦτα γὰρ τῷ σῷ ἀνδρὶ, καὶ παρούσης σου, καὶ μὴ παρούσης ἔςαι· δέος γὰρ, μήπως ἐκπλαγεῖσα ὑπ' τῶν ἐκείνου χαρίτων, ῥίψῃς σεαυτὴν ἐς τὸ πέλαγος,

---

γῳ προσγίγεται. 1370. συνεκκλέπτουσα] σὺν ἡμῖν κρύπτουσα τὸ πρᾶγμα. 1395. Ἀνήρπασεν τεύχη] ἐν ἄλλοις, ἀνήρπασ' ἐν τύχῃ. 1388. Κρατοῦντα σώματος] πρὸς τὸν Χορὸν ταῦτα, ὡς εἰδότα τὴν σκευωρίαν πᾶσαν,

Τοῦ πρόσθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην·
Ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ' ὅμως στένεις.
ΕΛ. Ὦ κλεινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει,
Τὰ πρῶτα λέκτρα, νυμφικάς θ' ὁμιλίας
Τιμᾶν· ἐγὼ δὲ διὰ τὸ μὲν στέργειν πόσιν
Καὶ ξυνθάνοιμ' ἄν· ἀλλὰ τὶς κείνῳ χάρις,
Ξὺν κατθανόντι κατθανεῖν; ἔα δέ με
Αὐτὴν μολοῦσαν, ἐντάφια δοῦναι νεκρῷ.
Θεοὶ δὲ σοί τε δοῖεν, οἷ' ἐγὼ θέλω,
Καὶ τῷ ξένῳ τῷδ', ὅτι συνεκπονεῖ τάδε.
Ἕξεις δέ μ', οἵαν χρή σ' ἔχειν ἐν δώμασιν
Γυναῖκ', ἐπειδὴ Μενέλεων εὐεργετεῖς
Κἄμ'· ἔρχεται γὰρ δή τιν' ἐς τύχην τάδε·
Ὅστις δὲ δώσει ναῦν, ἐν ᾗ τάδ' ἄξομεν,
Πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.
ΘΕ. Χώρει σὺ, καὶ ναῦν τοῖσδε πεντηκόντορον
Σιδωνίαν δὸς, κἀρετμῶν ἐπιστάτας.
ΕΛ. Οὐκοῦν ὅδ' ἄρξει ναὸς, ὃς κοσμεῖ τάφον;
ΘΕ. Μάλιστ' ἀκούειν τοῦδε χρὴ ναύτας ἐμούς.
ΕΛ. Αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.
ΘΕ. Αὖθις κελεύω, καὶ τρίτον γ', εἴ σοι φίλον.
ΕΛ. Ὄναιο! κἀγὼ τῶν ἐμῶν βουλευμάτων.
ΘΕ. Μὴ νῦν ἄγαν σὸν δάκρυσιν ἐκτήξῃς χρόα.
ΕΛ. Ἥδ' ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.

1413. Σιδωνίαν] Σιδὼν πόλις Φοινίκης· οἱ δὲ Φοίνικες ἐμπορικοὶ γενόμενοι ὑπερέβαλλον ἐν τῷ τότε τἄλλα τῶν ἐθνῶν ναυτικῇ· διὸ καὶ αἱ νῆες αὐτῶν ἐ-

ἀναπεισθεῖσα τῷ πόθῳ· ὁρῶ γάρ σε λίαν αὐτὸν καὶ μὴ παρόντα θρηνοῦσαν.

ΕΛ. Εὐκλεέστατέ μοι καὶ γενναιότατε ἄνερ, ἀνάγκη ἔχει με, ἃς πρώτας νυμφικὰς ἐν θαλάμῳ χάριτας ἔσχον, τιμῆσαι ἐν τῷ παρόντι· ἐμοὶ μὲν γὰρ τῷ λίαν φίλανδρον εἶναι φύσει μικρὸν ἂν εἴη τὸ συναποθανεῖν ἐκείνῳ· ἀλλ' ὅ,τι πλέον αὐτῷ ἐκ τούτου ἔσται, οὐχ ὁρῶ, μηδὲν αἰσθανομένῳ· Ἐα τοίνυν ἐμὲ αὐτὴν τὰ νομιζόμενα ποιεῖν τῷ ἀποιχομένῳ, ἵν' ἥτις κἀμοὶ ἐκ τούτου παραμυθία· εἴη δὲ σοί τε καὶ τῷ ξένῳ τούτῳ τῷ συναντιλαμβανομένῳ μοι πρᾶξαι παρὰ τῶν θεῶν, οἷα ἐγὼ ἑκατέρους εὔχομαι μάλιστα. ἐπειδὴ γὰρ εὖ ποιεῖς ἐμέ τε καὶ τὸν ἐμὸν πρῶτον ἄνδρα, ἕξεις με δεύτερος αὐτὸς, οἵαν χρή σοι γενέσθαι γυναῖκα· τὰ γὰρ πραττόμενα νῦν εἰς τύχην τινὰ κατασπεύδει· ἐκεῖνο δέ σου νῦν δέομαι μάλιστα, κέλευσον δοθῆναι ἡμῖν τὴν ναῦν, ἐν ᾗ ἐκκομίσομεν τὰ ἐντάφια, ἵνα πλήρης ᾖ παρὰ σοῦ μοι ἡ χάρις.

ΘΕ. Ἴθι σὺ, καὶ ναῦν πεντηκόντορον Σιδωνίαν μετὰ τῶν ναυτῶν εὐτρεπίσας, δὸς τούτοις.

ΕΛ. Τῆς δὲ νεὼς τίς ἔσθ' ὁ ἄρξων; οὐχ οὗτος, ὃς καὶ τῆς κηδείας τὴν κυβέρνησιν ἕξει;

ΘΕ. Αὐτὸς δήπου· τούτου οὖν ἀκουόντων οἱ ναῦται.

ΕΛ. Κέλευσον αὖθις ταῦτα, ἵνα μηδὲν ᾖ παρακοῦσαι.

ΘΕ. Καὶ δὶς καὶ τρὶς κελεύω, εἰ τοῦτο βούλει.

ΕΛ. Εἴη δ' ἡμῖν ταῦτ' εὐτυχῆ, καὶ κατὰ γνώμην πάντα.

ΘΕ. Μὴ οὖν διάφθειρε τὸ κάλλος τοῖς δακρύοις.

ΕΛ. Νῦν γὰρ δεῖ με δεῖξαι τὴν ἐμαυτῆς εὐγνωμοσύνην.

ΘΕ. Τὰ τῶν θανόντων οὐδὲν, ἀλλ' ἁπλῶς πόνος.
ΕΛ. Ἔστιν τι τἀκεῖ κἀνθάδ', ὧν ἐγὼ λέγω.
ΘΕ. Οὐδὲν κακίω Μενέλεώ μ' ἕξεις πόσιν.
ΕΛ. Οὐδὲν σὺ μεμπτός· τῆς τύχης δεῖμοι μόνον.
ΘΕ. Ἐν σοὶ τόδ', ἢν σὴν εἰς ἔμ' εὔνοιαν διδῷς.
ΕΛ. Οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.
ΘΕ. Βούλει ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;
ΕΛ. Ἥκιστα. μὴ δούλευε σοῖς δούλοις, ἄναξ.
ΘΕ. Ἀλλ' εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους.
Καθαρὰ γὰρ ἡμῖν δώματ'· οὐ γὰρ ἐνθάδε
Ψυχὴν ἀφῆκε Μενέλεως. ἴτω δέ τις
Φράσων ὑπάρχοις τοῖς ἐμοῖς, φέρειν γάμων
Ἀγάλματ' οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
Γαῖαν βοᾶσθαι μακαρίαις ὑμνῳδίαις
Ὑμέναιον Ἑλένης κἀμὸν, ὡς ζηλωτὸς ᾖ.
Σὺ δ', ὦ ξέν, ἐλθὼν, πελαγίους ἐς ἀγκάλας,
Τῷ τῆσδε πρίν ποτ' ὄντι δοὺς πόσει τάδε,
Πάλιν πρὸς οἴκους σπεῦδ, ἐμὴν δάμαρτ' ἔχων,
Ὡς, τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ,
Στέλῃ πρὸς οἴκους, ἢ μένων εὐδαιμονῇς.
ΕΛ. Ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλήζει θεός·
Βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
Ἕλκουσι δ' ἡμῖν πρὸς λύπας τὰς συμφορὰς

---

πλεον ἄμεινον τῶν ἄλλων. 1343. Ἕλκουσι . . . συνάψαι] ἀντὶ τοῦ, πρὸς λύπας, πρὸς λύπαις ἐν ἄλλοις κεῖται, καὶ ἐν ἄλλοις πρὸς λέπας· ἀλλὰ καὶ οὕτως οὐ κατανοῶ ὅ,τι βούλεται λέγειν· εἰ δὲ ἐκλάβοιμεν τὸ, Συμφορὰς ἐπ' εὐτυχίας (ἴδε ἀνωτέρω στίχ. 650.) εἴη ἂν συνάψαι τινὰ ἔννοιαν, ὡς ἠναγκάσθην οὕτω ἐκλαβεῖν ἐν τῇ παραφράσει, καίτοι εἰδὼς, ὡς ὁ λόγος ἀπαιτεῖ ἐννοεῖν, ὅτι ἐν ταῖς δυστυχίαις πρὸς τὸν θεὸν ἡμῖν ἐστι καταφεύγειν· Γράφειν δ' οὖν δεῖν ὑπετόπασέ τις ὡδί.

ΘΕ. Οὐδὲν τοῖς ἀποθανοῦσι ταῦτα, ἢ πόνος ἀνωφελής.

ΕΛ. Πρός τ' ἐκείνους συντείνει ταῦτα καὶ τοῖς ζῶσιν καλὸν οὐχ ἧττον.

ΘΕ. Εὑρήσεις δὲ ἐμὲ οὐ κακίω Μενελάουγε ὄντα.

ΕΛ. Σὺ μεν γενναῖος· εἴη δ' εὐμενὴς ἡ τύχη μόνον.

ΘΕ. Ἐπὶ σοὶ τοῦτο κεῖται, εἰ γ' ἐμοὶ εὐνοήσεις.

ΕΛ. Οἶδα πάλαι, ὡς χρὴ συμφέρεσθαι τοῖς φίλοις.

ΘΕ. Βούλει δὲ συναντιλάβωμαι κἀγώ σοι τῶν πραγμάτων.

ΕΛ. Ἥκιστα· οὐ γάρ σοι πρέπει ὑπηρετεῖν τοῖς δούλοις.

ΘΕ. Καλῶς· ἴτε τοινυν, πράττεσθ' ὅπως νομίζεται ταῦτα παρὰ Πελοπίδαις· ὁ δὲ ἐμὸς οἶκος καθαρός ἐςιν, πόῤῥω που ἀποθανόντος Μενελάου. Νῦν οὖν σπευδέτω τις παρὰ τοὺς ἐμοὺς ὑπάρχους, ἐρῶν αὐτοῖς ἐνεγκεῖν ἐνταῦθα ὅ,τι πότ' ὄφελος τῶν πρὸς τὸν γάμον· ἡ δε γῆ ἀντηχείτω πᾶσα, τὸν ἐμόντε καὶ τῆς Ἑλένης ὑμέναιον ὑμνοῦσα, ὡς ζηλωτότερος ἦ παρὰ πᾶσιν, ᾠδαῖς μακαρίαις. Σύ δ', ὦ ξένε, ἐπειδὰν τάχιστ' ἀποδῷς τῷ πρὶν τῆσδε ἀνδρὶ τὰ νομιζόμενα ταῦτα, λαβὼν αὐτὴν, ἣ ἐμοὶ νῦν γίνεται γυνὴ, σπεῦδε πάλιν, ἵνα τοὺς αὐτοὺς συνεστιασάμενος γάμους, ἀπονοστήσῃς οἴκαδε, ἢ μένων παρ' ἐμοὶ τὸ λοιπὸν, εὐδαίμων γένῃ· ὁπότερον ἂν βούλῃ.

ΕΛ. Ὦ Ζεῦ· σὺ γὰρ πατὴρ πάντων καὶ σοφὸς θεὸς κλεΐζῃ εἶναι· βλέψον πρὸς ἡμᾶς νῦνγε, καὶ ῥῦσαι δεινῶν

---

» Ἐλθοῦσι δ' ἡμῖν πρὸς ἀνυποίστους συμφοράς.

Ἄλλος δέ —

» Ἐλθοῦσι δ' ἡμῖν, πρὸς φυγὰς τὰ σύμφορα

» Σπουδῇ συνάψαι. . . . . . . .

Σπουδῇ συνάψαι· κἂν ἄκρᾳ θίγῃς χερὶ,
Ἥξομεν, ἵν ἐλθεῖν βουλόμεσθα τῆς τύχης·
Ἅλις δὲ μοχθων, οὓς ἐμοχθοῦμεν πάρος.
Κέκλησθέ μοι, θεοὶ, πολλὰ χρήστ᾽ ἐμοῦ κλύειν,
Καὶ λύπρ᾽.. ὀφείλω δ᾽ οὐκ ἀεὶ πράσσειν κακῶς,
Ὀρθῷ δὲ βῆναι ποδί. μίαν δ᾽ ἐμοὶ χάριν
Δόντες, τὸ λοιπὸν εὐτυχῆ με θήσετε·
ΧΟ. Φοίνισσα Σιδωνιὰς ὦ (στρ. ά.)
Ταχεῖα κώπα, ῥοθίοισι μάτηρ,
Εἰρεσίᾳ φίλα,
Χοραγὲ τῶν καλλιχόρων
Δελφίνων, ὅταν αὔραις
Πέλαγος νήνεμον ᾖ,
Γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ᾽ εἴπῃ·
Κατὰ μὲν ἱστία πετάσατ᾽ αὔραις
Λιπόντες ἐναλίαις,
Λάβετε δ᾽ εἰλατίνας πλάτας,
Ὦ ναῦται! ἰὼ ναῦται!
Πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ᾽ ἀκτάς.
Ἤπου κόρας ἂν ποταμοῦ (ἀντ. ά.)
Παρ᾽ οἶδμα Λευκιππίδας, ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοις,
Χρόνῳ ξυνελθοῦσα χοροῖς,

1447. Κέκλησθέ μοι] ἐγὼ, φησὶ, πολλάκις ὑμῖν ηὐξάμην ἔν τ᾽ εὐτυχίαις καὶ δυστυχίαις, ἐν ἑκατέροις ἀποδοὺς τα εἰκότα, ἐπακούσατέ μου καὶ νῦν· οὐκέτι γὰρ ἄξιος εἰμὶ κακῶς πράτειν· 1450. εὐτυχῆ με θήσετε.] ἐν ἄλλοις κεῖται, εὐτυχῆ μεθήσετε· 1453. Εἰρεσίᾳ] οὕτως ἐν δοτικῇ ἀντι τοῦ εἰρεσία ἵνα ᾖ, μήτηρ τῶν ῥοθιων, καὶ φίλη τῆς εἰρεσίας· προσωποποιεῖ δε ταυτα λογῳ ποιητι-

ἐχόντων συνέχειαν, ὥστε πρὸς τὰ λυποῦντα καὶ τὰ μὴ λυποῦντα ἐπισυνάψαι· ἐπὶ σοὶ γὰρ κεῖται, κἂν ἄκρᾳ τῇ χειρὶ ἡμῶν θίγῃς, ἐλθεῖν ἡμᾶς ῥᾳδίως ἐφ' ὃ σκοποῦμεν πέρας· ἅλις δ' ἡμῖν τῶν πρὶν κακῶν· πολλάκις γὰρ ἡμᾶς, ὦ θεοὶ, ἔντε εὐτυχίαις καὶ δυστυχίαις ἐπεκαλεσάμην· ἐν μὲν ταῖς, εὐγνωμονῶν ἐν δὲ ταῖς, δεόμενος ἡμῶν· καὶ νῦν μὴ ἐᾶτέ με ἀεὶ κακῶς πράττειν· ἀλλὰ δότε μοι ποτὲ τῶν κακῶν ἀπαλλαγήν· ἓν γὰρ τοῦτο μόνον εὖ με ποιήσαντες, τὸν ἅπαντα χρόνον ἐς τοὐπιὸν ἔσεσθ' εὖ με πεποιηκότες.

**ΧΟ.** Ὦ Φοίνισσα ταχεῖα Σιδωνιὰς, ἡ μάλιστα νεῶν φιλοῦσα τὴν εἰρεσίαν, ἡ τοῖς κύμασιν ἐμφιλοχωροῦσα, καὶ ἐξάρχουσα τοῦ χοροῦ τοῖς καλλιχόροις δελφῖσιν, ἐπειδὰν μάλιστα τὸ πέλαγος νήνεμον ᾖ, καὶ ἡ γλαυκὴ τοῦ πόντου θυγάτηρ Γαλήνη εἴπῃ τοιαῦτα. Ἴτε ὦ ναῦται, ἰὼ ναῦται, ἀναπετάσαντες μὲν τὰ ἱςία, ἄγετε τὴν ναῦν ταῖς θαλασίαις αὔραις· λαβόμενοι δὲ τῶν ἐρετμῶν, πέμπεθ Ελένην ἐπὶ τὰς ἀκτὰς τῶν τοῦ Περσέως οἴκων.

Εὕροις δ' ἂν αὐτοῦ, ὦ Ἑλένη, τὰς τοῦ Λευκίππου κόρας παρὰ τῷ ποταμῷ, ἢ πρὸ τοῦ ναοῦ τῆς Χαλκιοίκου Ἀθηνᾶς· ἔνθα συγχορεύσεις καὶ αὐτὴ διὰ χρόνου ἀποςεροῦμένη, διὰ νυκτὸς αὐτοῦ τῶν Ὑακίνθιων ἀγομένων. Ἀπόλ-

κῷ, ὡς καὶ τὸ Γαλήνεια παρακατιὼν θυγατέρα φησὶν εἶναι τοῦ Πόντου.

1464. Περσείων] Περσέα γάρ φησι κτίσαι τας Μυκήνας. ἰδ. Ἰφιγ. Αὐλ. ςίχ. 1510. — 1466. Λευκιππίδας] δύο κόρας τοῦ Λευκίππου Ἱλάειρα καὶ Φοίβη ἱέρειαι Ἀπόλλωνος ἦσαν, περὶ ὧν καὶ Παυσανίας ἐν Λακωνικοῖς (σελ. 97. 3?) πλησίον δὲ Ἱλαείρας καὶ Φοίβης ἐστιν ἱερὸν· ὁ ποιήσας τα ἔπη τὰ Κύπρια θυγατέρας αὐτάς φησιν Ἀπόλλωνος εἶναι· κόραι δε ἱερῶνται σφίσι παρθένοι, καλούμεναι κατὰ ταὐτα ταῖς θεαῖς, καὶ αὗται Λευκίππιδες μέτιθι δε, α εσηκ-

Ἤ κώμοις Ὑακίνθου,
Νυχίαν εὐφροσύναν
(Ὃν ἐξαμιλλησάμενος
Τροχῷ τέρμονι δίσκου
Ἔκανε Φοῖβος, τᾷ Λακαίνᾳ γᾷ
Δὲ βούθυτον ἁμέραν
Ὁ Διὸς εἶπε σέβειν γόνος)

* * * *

Μόσχον θ', ἂν λίποιτ' οἴκοις
Ἇς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.
Δι' ἀέρος εἶ ποτανοὶ (Στρ. β'.)
Γενοίμεσθα Λίβυες
Οἰωνοὶ, στοχάδες,
Ὄμβρον λείπουσαι χειμέριον,
Νίσσονται, πρεσβυτάτᾳ
Σύριγγι πειθόμεναι
Ποιμένος, ὃς ἄβροχα
Πεδία καρποφόρα τε γᾶς
Ἐπιπετόμενος, ἰαχεῖ·
Ὦ ποταναὶ δολιχαύχενες,
Σύννομοι νεφέων δρόμου,
Βᾶτε Πελειάδας ὑπὸ μέσας,
Ὠρίωνά τ' ἐννύχιον,
Καρύξατ' ἀγγελίαν,
Εὐρώταν ἐφεζόμεναι,

μειωσάμεθα ἀνωτέρω. σίχ. 140. 1469. Κώμοις Ὑακίνθου] τὰ Ὑακίνθια ἦγον Λακεδαιμόνιοι εἰς τιμὴν Ὑακίνθου· ὃν Ἀπόλλων σφαιρίζων, ἐφόνευσεν ἀκουσίως. 1472. Τροχῷ τέρμονι] τροχῷ δίσκου πανταχόθεν ἐπίσης πεπερατωμένῳ· ὅ ἐστι, δίσκῳ κυκλοτερεῖ, τετερματισμένῳ ἐπίσης ἀπὸ τοῦ κέντρου πανταχόθεν

λων γὰρ ὁ Διὸς παῖς, δίσκῳ ἀνελὼν Ὑάκινθον ἐν ἀγῶνι, νόμον ἔθηκε πᾶσι Λάκωσι βούθυτον αὐτῷ ἐκείνην νομίζειν τὴν ἡμέραν· ἔνθα [εὑρήσεις ἴσως ἐν τῇ Σπάρτῃ] καὶ τὴν σαυτῆς θυγατέρα, ἣν ἐλίπετε οἴκοι μόνην, καὶ ἧς οὔπω ἀνήφθησαν λαμπάδες γαμήλιοι.

Εἴθε δὲ γένοιθ' ἡμῖν ἐπαρθῆναι κούφῳ τῷ πτερῷ ὕψου εἰς τὸν αἰθέρα δίκην ὀρνίθων Λιβυκῶν· οἱ χειμῶνος ἐπιόντος, καταλιπόντες τὰ βορειότερα τῶν χωρίων, ἐπανήκουσι ςοιχηδὸν, τῇ τοῦ πρεσβυτέρου, ὥσπερ λοχαγοῦ, φωνῇ ὑπακούοντες. ὃς πρὸς τὰ ἀνομβρότερά τε καὶ καρποφορώτερα ἡγεῖται τοῖς ἄλλοις κλάγγων. Ἀλλ' ὦ πτηνοὶ δολιχαύχενες, οἱ τοῖς νέφεσιν αὐτοῖς συνιπτάμενοι, ἴτε, χωρεῖτε, ἔσθ' ὑπὸ μέσας τὰς πλειάδας αὐτὰς, καὶ τὸν Ὠρίωτα τὸν νυκτερινὸν αἰωρούμενοι· ἐπειδὰν δὲ γένησθε κατὰ τὴν Σπάρτην, ἐπιπτάντες

---

εἰς τὴν περιφέρειαν. 1477. . . . ] ἐνταῦθα ἐξέλιπεν ὅλως στίχος. ὃν ἀνεπλήρωσέ τις οὕτως ἐξ εἰκασίας.

» Σπάρτην δ' αὖ ἴδῃ μήτηρ
» Μόσχον θ', ἂν λίποιτ' οἴκοις.

Ἕτερος δ' αὖ οὕτω·

» Μόσχον θ', ἂν λίποιτ' οἴκοις
» Θάλλουσαν ἐν πατρῴοις.

Τὸ δὲ λίποιτ' οἴκοις. λιπόντ' οἴκο'ς, ἐν ἄλλοις κεῖται, ὡς μετοχὴ δυϊκοῦ ἀριθμοῦ, ἀποδιδομένη, ὡς ἔοικεν, τῷ ἐκλιπόντι στίχῳ.

1480. Στοχάδες] οὕτω μᾶλλον παρὰ το στείχειν ἀντὶ τοῦ στοιχάδες παρὰ τὸ στέλλεσθαι· σειρᾷ γὰρ ἵπτανται καὶ ἐφ' ἑνὸς ὡς λόχος στρατιωτικὸς οἱ γερανοὶ, περὶ ὧν ἐνταῦθα ὁ λόγος, φύλακάς τε ἔχοντες λοχαγούς τε καὶ οὐραγούς· οἱ ἐπισυρίττουσιν αὐτοῖς ἀπὸ τῶν ἐσχάτων, ὥστ' ἀκούεσθαι τὴν φωνήν.

1484. Ἄβροχα] τὰ περὶ τὴν Λιβύην καὶ Αἴγυπτον, ἔνθα σπάνιος ὄμβρος.

Μενέλαος ὅτι Δαρδάνου
Πόλιν ἑλὼν, δόμον ἥξει.
Μόλοιτέ ποθ' ἵππειον ἅρμα, (Ἀντ. β'.)
Δι' αἰθέρος ἱέμενοι,
Παῖδες Τυνδαρίδαι,
Λαμπρῶν ἄστρων ὑπ' ἀέλλαισιν·
Οἳ ναίετ' οὐράνιοι,
Σωτῆρες τᾶς Ἑλένας,
Γλαυκὸν ἐπ' οἶδμ' ἅλιον,
Κυανόχροά τε κυμάτων
Ῥόθια πολιὰ θαλάσσας,
Ναύταις εὐαεῖς ἀνέμων
Πέμποντες διόθεν πνοάς·
Δύσκλειαν δ' ἀπὸ συγγόνου
Βάλλετε βαρβάρων λεχέων,
Ἃν Ἰδαίων ἐρίδων
Πονηθεῖσ' ἐκτήσατο, τὰν
Οὐκ ἐλθοῦσαν Ἰλίου
Φοιβείους ἐπὶ πύργους.

ΑΓ. Ἄναξ· κάκιστα τὰν δόμοις εὑρήκαμεν·
Ὡς καίν' ἀκούσει πήματ' ἐξ ἐμοῦ τάχα.

ΘΕ. Τί δ' ἐστίν;

ΑΓ. Ἄλλης ἐκπόνει μνηστεύματα
Γυναικός· Ἑλένη γὰρ βέβηκ' ἔξω χθονός.

ΘΕ. Πτεροῖσιν ἀρθεῖσ' ἢ πεδοστιβεῖ ποδί;

ΑΓ. Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονὸς,
Ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.

ΘΕ. Ὦ δεινὰ λέξας! τίς δέ νιν ναυκληρία
Ἐκ τῆσδ' ἀπῆρε χθονὸς; ἄπιστα γὰρ λέγεις.

ΑΓ. Ἥν γε ξένῳ δίδως σὺ, τούς τε σοὺς ἔχων
Ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθῃς.

ΘΕ. Πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων

εἰς τὰς τοῦ Εὐρώτου ὄχθας, κηρύξατε τοῖς ἐκεῖ Μενέλαον μετὰ τὴν Τροίας ἅλωσιν ἐπανήκοντα οἴκαδε.

Ὦ παῖδες Τυνδάρου Διόσκουροι εὐκλεέστατοι, οἳ ἐν οὐρανῷ ὑπὸ ταῖς τῶν λαμπρῶν ἀστέρων συστροφαῖς κατοικοῦντες, εἴθε τεθρίππου ἐπιβάντες, ἔλθοιτε δι' αἰθέρος ἐς τὸ πέλαγος σωτῆρες τῆς Ἑλένης, οὔριον πνεῦμα διόθεν πέμποντες τοῖς ναύταις ἐπὶ τῶν λευκῶν κυμάτων τῆς θαλάσσης· ἔλθοιτε ὑμεῖς, τὴν ἐπὶ γάμοις ψευδωνύμοις αὐτῆς πρὸς τοὺς βαρβάρους ἐκνίψοντες δυσφημίαν, ἣν δι' ἔριν τῶν θεῶν ἐν Ἴδῃ ἀδίκως τυγχάνει κεκτημένη· οὐ γὰρ ἀφίκετό ποτ' ἐκείνη εἰς τὴν καλλίπυργον τοῦ Φοίβου πόλιν.

ΑΓ. Ἥκω, ὦ βασιλεῦ, μέγιστόν σοι κακὸν τῷ σῷ οἴκῳ συμβεβηκὸς ἀγγελῶν.

ΘΕ. Τί δ' ἐστι τοῦτο;

ΑΓ. Ἑτέραν ἤδη ζήτει μνηστεύσασθαι γυναῖκα· Ἑλένη γὰρ ἀπέδρα ἤδη.

ΘΕ. Πτεροφυεῖσα, ἢ ἄλλως ποσὶ χρωμένη;

ΑΡ. Μενέλαος ἐλθὼν, οὗτος αὐτὸς ὁ ἑαυτὸν ἀγγείλας τεθνηκέναι, ἀφείλετο ἐκείνην.

ΘΕ. Δεινὰ φῂς ταῦτα· ἀλλ' οὐκ ἔχω πιστεύειν· ἐπὶ τίνος γὰρ πλοίου ἀπῄεσαν ἐντεῦθεν;

ΑΓ. Ἐφ' οὗ σὺ αὐτὸς δέδωκας τῷ ξένῳ· ἐπιβὰς γὰρ αὐτός τε καὶ τοὺς ναύτας τοὺς σοὺς ἔχων ἀπῆρε.

ΘΕ. Πῶς; βούλομαι γὰρ σαφῶς εἰδέναι· οὐ γὰρ ἂν πιστεύ-

---

1508. Ἰδαίων ἐρίδων] ἕνεκα τῆς ἐν Ἴδῃ τῶν τριῶν θεῶν ἔριδος. Τὸ δὲ Ἐλθοῦσαν ἔστω ἀντὶ γενικῆς ἀπολύτου, ἐλθούσης.

Εἴσω βέβηκα, μίαν ὑπερδραμεῖν χέρα
Τοσούσδε ναύτας, ὧν ἀπεστάλης μέτα.
**ΑΓ.** Ἐπεὶ λιποῦσα τούσδε βασιλείους δόμους
Ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
Σοφώταθ' ἁβρὸν πόδα τιθεῖσ', ἀνέστενε
Πόσιν πέλας παρόντα, κοὐ τεθνηκότα.
Ὡς δ' ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν,
Ζυγῶν τε πεντήκοντα, κἀρετμῶν μέτρα
Ἔχουσαν· ἔργου δ' ἔργον ἐξημείβετο·
Ὁ μὲν γὰρ ἱστὸν, ὁ δὲ πλάτην καθίστατο,
Ταρσόν τε χειρὶ, λευκά θ' ἱστί' εἰς ἓν ἦν,
Πηδαλιά τε ζεύγλαισι παρακαθίετο.
Κἀν τῷδε μόχθῳ τοῦτ' ἄρα σκοπούμενοι
Ἕλληνες ἄνδρες Μενέλεῳ ξυνέμποροι,
Προσῆλθον ἀκταῖς, ναυφόροις ἠσθημένοι
Πέπλοισιν, εὐειδεῖς μὲν, αὐχμηροὶ δ' ὁρᾷν.
Ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος,
Προσεῖπε, δόλιον οἶκτον ἐς μέσον φέρων.
Ὦ τλήμονες, πῶς, ἐκ τίνος νεώς ποτε
Ἀχαΐδος θραύσαντες ἥκετε σκάφος;
Ἆρ' Ἀτρέως παῖδ' ὀλόμενον συνθάπτετε,
Ὃν Τυνδαρὶς παῖς ἥδ' ἀπόντα κενοταφεῖ;
Οἱ δ', ἐκβαλόντες δάκρυα ποιητῷ τρόπῳ,
Ἐς ναῦν ἐχώρουν, Μενέλεῳ ποντίσματα
Φέροντες· ἡμῖν δ' ἦν μὲν ἥδ' ὑποψία,
Λόγος δ' ἐν ἀλλήλοισι τῶν ἐπεισβατῶν
Ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ' ὅμως,
Τοὺς σοὺς λόγους σώζοντες· ἄρχειν γὰρ νεὼς
Ξένον κελεύσας πάντας συνέχεας τάδε.
Καὶ τἄλλα μὲν δὴ ῥαδίως εἴσω νεὼς
Ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ ποὺς

σαιμι ἕν᾽ ὄντ᾽ ἐκεῖνον, τοσούτων ναυτῶν κρατῆσαι, οἷς κἀυτὸς συνεπεστάλης.

ΑΓ. Ἡ παῖς τοῦ Διὸς, ἅμα τῆς οἰκίας ταυτησὶ ἐξελθοῦσα, κατῄει μετρίῳ βαδίσματι πρὸς τὴν θάλασσαν ἠρέμα, κλαίουσα τὸν ἑαυτῆς δῆθεν ἄνδρα τὸν παρόντα ὡς ἀποθανόντα, πολλῇ τέχνῃ ὑποκλέπτουσα τὴν προσποίησιν· ἐπειδὴ δὲ εἰσέλθοιμεν εἰς τὸ σὸν νεώριον, καθελκύσαντες ναῦν πεντηκόντορον, τούτων δὴ τῶν Σιδωνικῶν πρωτόπλουν κατὰ τὰ προστεταγμένα, ἄλλος ἄλλο τι διὰ σπουδῆς εἴχομεν, ὁ μὲν ἱστὸν ἀνορθῶν, ὁ δὲ τὴν κώπην ἐν τῷ σκαλμῷ ἐγκαθιστῶν, καὶ ἁπτόμενος τοῦ ταρσοῦ, ὁ δὲ τὸ ἱστίον ἐκπετανὺς, ὁ δὲ τὸ πηδάλιον ἐντιθεὶς τῇ ζεύγλῃ, καὶ ἄλλος ἄλλοτι ἐξασκῶν· κἀν τούτῳ Ἕλληνές τινες, συνέμποροι Μενελάῳ, πιναρὰ ἐσταλμένοι ὡς ἐκ ναυαγίας, ἄνδρες αὐχμηροὶ μὲν ἰδεῖν, εὐειδεῖς δ᾽ ἄλλως, ἐπεσκόπουν τὰ πραττόμενα. οὓς ἰδὼν ὁ Ἀτρέως παρόντας, καὶ οἶκτον πρὸς αὐτοὺς σὺν δόλῳ προσποιησάμενος, ὦ ταλαίπωροί, φησι, ναῦται, πῇ δήποτε ναυαγήσαντες ἐπὶ τίνος Ἀχαϊκῆς νεὼς, ἥκεθ᾽ ὧδε· ἆρ᾽ ἐθελήσετε καὶ ὑμεῖς συναντιλαβέσθαι ἡμῖν τῆς τοῦ Μενελάου κηδείας, ᾧ ἡ παῖς ἥδε ἡ τοῦ Τυνδάρεω ποιεῖ κενοτάφιον; οἱ δ᾽ ἅμα τῷ λόγῳ, δακρύειν ὑποκρινάμενοι, ἔσπευδον εἰσφέρειν εἰς τὴν ναῦν τὰ ἐντάφια τῷ Ἀτρείδῃ· ἡμῖν δὲ ἦν μὲν ταῦθ᾽ ὕποπτα, πολλῶν ἐπιβάντων, ἐνεμένομεν δὲ σιγῇ τοῖς ἐντεταλμένοις· αὐτὸς γὰρ δοὺς τῷ ξένῳ ἄρχειν τῆς νεὼς, πολλὴν ταραχὴν ἐνέβαλες εἰς τὰ πράγματα· Πάντων οὖν τῶν ἄλλων εἰσκομισθέντων ῥᾳδίως, τὸν ταῦρον μόνον οὐκ ἦν οὐδένα τρόπον παιδαγωγεῖν πρὸς τὴν ναῦν· οὐδ᾽ ἤθελεν ὅλως προσβῆναι τὴν ἀποβάθραν,

Οὐκ ἤθελ' ὀρθὸς σανίδα προσβῆναι κάτα,
Ἀλλ' ἐξεβρυχᾶτ' ὄμμ' ἀναστρέφων κύκλῳ,
Κυρτῶν τε νῶτα κεὶς κέρας παρεμβλέπων
Μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ' Ἑλένης πόσις
Ἐκάλεσεν, ὦ πέρσαντες Ἰλίου πόλιν,
Οὐκ εἶ' ἀναρπάσαντες Ἑλλήνων νόμῳ
Νεανίαις ὤμοισι ταύρειον δέμας
Ἐς πρῶραν ἐμβαλεῖτε, (φάσγανόν θ' ἅμα
Πρόχειρον ὤθει) σφάγια τῷ τεθνηκότι;
Οἱ δ' ἐς κέλευσμ' ἐλθόντες, ἐξανήρπασαν
Ταῦρον, φέροντές τ', εἰσέθεντο σέλματα.
Μονάμπυκον δὲ Μενέλεως ψήχων δέρην
Μέτωπα τ', ἐξέπεισεν ἐσβῆναι δόρυ.
Τέλος δ' ἐπειδὴ ναῦς τὰ πάντ' ἐδέξατο,
Πλήσασα κλιμακτῆρας εὐσφύρου ποδὸς
Ἑλένη, καθέζετ' ἐν μέσοις ἑδωλίοις,
Ὅ,τ' οὐκέτ' ὢν λόγοισι Μενέλεως πέλας.
Ἄλλοι δὲ τοίχους δεξιοὺς, λαιούς τ' ἴσοι,
Ἀνὴρ παρ' ἄνδρ' ἕζονθ', ὑφ' εἵμασι ξίφη
Λαθραῖ' ἔχοντες, ῥόθιά τ' ἐξεπίμπλατο
Βοῆς, κελευστοῦ φθέγμαθ' ὡς ἠκούσαμεν.
Ἐπεὶ δε γαίας ἦμεν οὔτ' ἄγαν πρόσω,
Οὔτ' ἐγγὺς, οὕτως ἤρετ' οἰάκων φύλαξ·
Ἔτ', ὦ ξέν', ἐς τὸ πρόσθεν, ἢ καλῶς ἔχει,
Πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσί μοι.
Ὁ δ' εἶφ', ἅλις μοι· δεξιᾷ δ' ἑλὼν ξίφος,
Ἐς πρῶραν εἷρπε, κἀπὶ ταυρείῳ σφαγῇ

---

1563. Ὤθει] οὕτω καὶ ἑτέρου γνώμῃ ἔγραψα ἀντὶ τοῦ ὤσει ἐν παρατατικῷ. ἕτερος δὲ, γράφειν παραινεῖ ὤρεῖ (ἢ ἐν παρατατικῷ μᾶλλον ὤρει) οὕτω.

» Εἰς πρῶραν ἐμβαλεῖτε (φάσγανόν θ' ἅμα
» Πρόχειρον ὤρει) σφάγια τῷ τεθνηκότι;

ἐκμυκώμενός τε, καὶ πῦρ βλέπων κύκλῳ, τά τε νῶτ' ἀποκυρτῶν, καὶ τῷ κέρα χρῆσθαι ἑτοίμως ἔχων, ὥς' οὐκ ἦν ὁ τολμήσων αὐτοῦ θιγεῖν· τότε δὴ Μενέλαος ἀναβοήσας, ὦ Ἕλληνες, ἔφη, οἱ Τροίαν ἐξελόντες, οὐκ ἀναρπάσαντες νόμῳ Ἑλληνικῷ τὸν ταῦρον ἐπὶ τῶν ὤμων τοῦτον, ἐμβαλεῖτε αὐτὸν εἰς τὴν πρύμναν πρὸς σφαγὴν τῷ τεθνεῶτι; καὶ ταῦθ' ἅμα λέγων, ἔφερε πρόχειρον τὸ ξίφος κινῶν ἐν τῇ δεξιᾷ· οἱ δὲ ἐκ παρακελεύσεως πρὸς ἀλλήλους, ἀναρπάσαντες τὸ θηρίον, κατέθεντο ἐπὶ τῶν ζυγῶν τῆς νεώς· ἔνθα Μενέλαος καταψήσας αὐτὸν τὰ περὶ τὸ μέτωπον καὶ τὴν δέριν, ἐνέπεισεν εἰσβῆναι εἰς τὸ σκάφος ἑκόντα· τέλος δὲ, πάντων ἐχόντων καλῶς πρὸς ἀναγωγὴν, ἡ μὲν καλλίσφυρος Ἑλένη καθῆστο ἐν μέσοις τοῖς ἑδωλίοις, ἐπὶ τῶν κλιματήρων τοὺς πόδας ἐρείσασα, καὶ Μενέλαος ὁ μόνῳ λόγῳ τεθνηκὼς, παρ' αὐτῇ· οἱ δὲ ἀμφ' αὐτὸν, ἄλλος ἄλλῃ πρὸς ἑκάτερα τῆς νεὼς ἀνὴρ παρ' ἄνδρα βάρβαρον διαμερισθέντες, ἐκαθέζοντο, ἐγχειρίδιον ἕκαςος ἐγκρύπτοντες ὑπὸ μάλης· Ἡμεῖς τοίνυν, ὡς ἠκούσαμεν τοῦ κελευςοῦ ἐπάσαντος ἡμῖν τὸ ῥόθιον, ἀλαλάξαντες, ἐνεπλήσαμεν τὴν θάλασσαν βοῆς πρὸς ἀναγωγήν· ἐπεὶ δὲ ἀπέςημεν τῆς γῆς ὅσον μέτριον, ἤρεθ' ὁ οἰακοςρόφος, πότερον, ὦ ξένε, καλῶς ἔχει νῦν λῆξαι τῆς εἰρεσίας, ἢ προσπλέωμεν ἔτι πρόσω; δεῖ γάρ με παρέχειν ἐμαυτὸν τῷ τῆς νεὼς ἄρχοντι εὐπειθῆ· ὁ δὲ, ἅλις μοι, ἔφη, ἔχει· καὶ δὴ ἀναςὰς ἐχώρει δεξιᾷ πρὸς τὴν πρῶραν, ξίφος ἔχων

---

1565. Εἰς κέλευσμα ἐλθόντες] οὐ τοῦτό φησι, τὸ κεκελευσμένον ποιήσαντες, ἀλλ' ἅμ' ἀκούσαντες, ἕτερος τὸν ἕτερον κελεύσαντες, ἥρπασαν τὸν ταῦρον. 1570. Πλήσασα κλιματῆρας] τιθεῖσα τοὺς πόδας ἐπὶ τῶν κλιματήρων, καθῆστο ἐν τοῖς εἰδωλίοις. 1572. Οὐκέτ' ὢν λόγοισι] ὁ κατὰ τοὺς δολίους λόγους αὐτῶν μηκέτι ζῶν. 1680. Ἀρχαὶ νεὼς μέλουσί μοι. μέλει γάρ μοι ὑπα-

Σταθεὶς, νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
Τέμνων δὲ λαιμὸν εὔχετ᾽· ὦ ναίων ἅλα
Πόντιε Πόσειδον, Νηρέως θ᾽ ἁγναὶ κόραι,
Σώσατέ μ᾽ ἐπ᾽ ἀκτὰς Ναυπλίας, δάμαρτά τε
Ἄσυλον ἐκ γῆς· αἵματος δ᾽ ἀποῤῥοαὶ
Ἐς οἶδμ᾽ ἐσηκόντιζον οὔρια ξένῳ.
Καί τις τόδ᾽ εἶπε· δόλιος ἡ ναυκληρία.
Πάλιν πλέωμεν Ναξίαν· κέλευε σύ·
Σὺ δὲ στρέφ᾽ οἴακ᾽· ἐκ δὲ ταυρείου φόνου
Ἀτρέως σταθεὶς παῖς, ἀνεβόησε συμμάχους·
Τί μέλλετ᾽, ὦ γῆς Ἑλλάδος λωτίσματα,
Σφάζειν, φονεύειν βαρβάρους, νεώς τ᾽ ἄπο
Ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
Βοᾷ κελευστὴς τὴν ἐναντίαν ὄπα.
Οὐκ εἶ ὁ μὲν τις λοῖσθον αἱρεῖται δόρυ,
Ὁ δὲ ζύγ᾽ ἄξας, ὁ δ᾽ ἀφελὼν σκαλμοῦ πλάτην,
Καθαιματώσει κρᾶτα πολεμίων ξένων;
Ὀρθοὶ δ᾽ ἀνῆξαν πάντες, οἱ μὲν ἐν χεροῖν
Κορμοὺς ἔχοντες ναυτικοὺς, οἱ δὲ ξίφη.
Φόνῳ δὲ ναῦς ἐῤῥεῖτο· παρακέλευσμα δ᾽ ἦν
Πρύμνηθεν Ἑλένης· ποῦ τὸ Τρωϊκὸν κλέος;
Δείξατε πρὸς ἄνδρας βαρβάρους· σπουδῆς δ᾽ ὕπο
Ἔπιπτον, οἱ δ᾽ ὠρθοῦντο, τοὺς δὲ κειμένους
Νεκροὺς ἂν εἶδες· Μενέλεως δὶ ἔχων ὅπλα,
Ὅποι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
Ταύτῃ προσῆγε χειρὶ δεξιᾷ ξίφος,
Ὥστ᾽ ἐκκολυμβᾶν ναός· ἠρήμωσε δὲ

---

κούειν τοῖς ἄρχουσι τῆς νεώς. 1590. Ναξίαν] εἰ μή τις λιμὴν ἦν ἐν Αἰγύπτῳ, ἢ πόλις Ναξία, ἡμαρτημένον ἐστι. ἢ γραπτέον Ναυσίαν, ὁδόν.

ἐν τῇ χειρὶ πρὸς σφαγήν· ὡς δὲ ἐπέσῃ, ἄλλο μὲν εἶπεν οὐδὲν, οὐδὲ τεθνεῶτος μνήμην οὐδενὸς ἐποιεῖτο· τὸν δὲ λαιμὸν τοῦ βοὸς τέμνων, ηὔξατο τάδε Πόσειδον ἐννοσίγαιε, ὁ θαλάσσης κρατῶν, καὶ κόραι σεμναὶ Νηρέως, σώσατε ἐμέ τε καὶ τὴν ἐμὴν γυναῖκα εἰς φίλην πατρίδα γαῖαν. Ἐκ δὴ τούτου ἡ τοῦ αἵματος ῥοὴ ἐξεπήδα ἐς τὸ κῦμα αἰσίως τῷ ταῦτα πραττοντι ξέ ῳ· καί τις ἡμῶν συνιεὶς τὴν σκευωρίαν, ἀνεβόησε δόλια εἶναι ταῦτα· ἀλλὰ πλέωμεν ὡς τάχος πάλιν ἐπὶ τὸν λιμένα· κέλευε σὺ τοῖς ναύταις· σὺ δ' αὖ δράττου τῶν οἰάκων· ἀλλ' ἐν τούτῳ Μενέλαος, τέλος ἐπιθεὶς τῇ θυσίᾳ, ἀνεβόησεν· ὦ ἥρωες ὑμεῖς ὅ,τι ποτ' ὄφελος τῶν Ἑλλήνων, τίποτε μέλλετε σφάζειν, φονεύειν, κατακαίνειν βαρβάρους, καὶ κατὰ τῶν κυμάτων ῥιπτεῖν ἐχθίστους γε ὄντας ἐπὶ κεφαλήν; ὁ δ' αὖ σὸς κελευστὴς ἀντιπαρεκελεύετο καὶ αὐτὸς ταῦτα ἐπ' ἐκείνους· τί μέλλεθ' ὑμεῖς, καὶ οὐχ ὁ μὲν ἄκοντα ἄκρον λαβὼν, ὁ δὲ θραύστας ζυγὸν, ἕτερος δὲ ἐρετμὸν τοῦ σκαλμοῦ ἐξελὼν, καὶ ἄλλος ὁ,τιδήποτε ἀναρπάσας, καταθραύετε τὰ κρανία τῶν ἀπίστων δὴ ξένων τουτωνί; ὡς δὲ ἀνήϊξαν πάντες πρὸς τὴν φωνὴν, οἱ μὲν ῥόπαλα ναυτικὰ, οἱ δὲ ξίφη ἔχοντες, καὶ εἰς χεῖρας ἦλθον, ἦν ἀγὼν καρτερός· τὸ δ' αἷμα καταῤῥέων, κατέκλυζε τὸ κατάστρωμα· Ἑλένη δὲ ἀπὸ τῆς πρύμνης παρεκελεύετο κἀκείνῃ· ποῦ ἔσθ' ὑμῖν, ὦ ἄνδρες Ἕλληνες, ὃ ἐπὶ Τροίᾳ ἤρασθε κλέος; δείξατε νῦν τοῦτο πρὸς ἄνδρας βαρβάρους τούτους· κἂν τούτῳ εἶδες ἂν ἄλλους μὲν αὐτῶν πίπτοντας ὑπὸ σπουδῆς, ἄλλους δ' ἀνισταμένους, τοὺς δὲ καὶ κάτω κειμένους νεκρούς Μενέλαος δ' αὐτὸς ἀπὸ καλῶν ὁρμώμενος ὅπλων, καραδοκῶν, ὅπῃ τὸ συμμαχικὸν πεπονῆτο, ταύτῃ ἐπιθέμενος τοῖς ἡμετέροις, ἀνυπόστατος ἦν, κατακαίνων αὐτοὺς, καὶ εἰς τὴν θά-

Σῶν ναυβατῶν ἐρέτμ'· ἐπ' οἰάκων δὲ βὰς,
Ἄναξ, ἐς Ἑλλάδ' εἶπεν εὐθύνειν δόρυ.
Οἱ δ' ἱστὸν ἦρον, οὔριαι δ' ἧκον πνοαὶ,
Βεβᾶσι δ' ἐκ γῆς· διαφυγὼν δ' ἐγὼ φόνον,
Καθῆκ' ἐμαυτὸν εἰς ἅλ' ἄγκυραν πάρα.
Ἤδη δὲ κάμνονθ', ὁρμιὰν τείνων, μέ τις
Ἀνείλετ', ἐς δὲ γαῖαν ἐξέβησέ σοι
Τάδ' ἀγγελοῦντα· σώφρονος δ' ἀπιστίας
Οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.
ΧΟ. Οὐκ ἄν ποτ' ηὔχουν οὔτε σ', οὔθ' ἡμᾶς λαθεῖν
Μενέλαον. ὦναξ, ὡς ἐλάνθανεν παρών.
ΘΕ. Ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας!
Ἐκπεφεύγασιν γάμοι με· κεἰ μὲν ἦν ἁλώσιμος
Ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους.
Νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τισόμεσθα σύγγονον,
Ἥτις, ἐν δόμοις ὁρῶσα Μενέλεων, οὐκ εἶπέ μοι.
Τοιγὰρ οὔποτ' ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.
ΧΟ. Οὗτος ὦ, ποῖ σὸν πόδ' αἴρεις, δέσποτ', ἐς ποῖον φόνον.
ΘΕ. Οἷπερ ἡ δίκη κελεύει μ'· ἀλλ' ἀφίστασ' ἐκποδών.
ΧΟ. Οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα γὰρ σπεύδεις κακά;
ΘΕ. Ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν;
ΧΟ. Φρονῶ γὰρ εὖ.
ΘΕ. Οὐκ ἐμοί γ', εἰ μή μ' ἐάσεις—
ΧΟ. Οὐ μὲν οὖν σ' ἐάσομεν.
ΘΕ. Σύγγονον κτανεῖν κακίστην.

---

1616. Ἀνείλετο] δῆλον, ὅτι θεός τις· ἢ μᾶλλον ἁλιεύς τις ἀνέλαβεν αὐτὸν τῇ ὁρμιᾷ. 1637. Ἀπιστίας οὐδὲν χρησιμώτερον] ὅμοιον τῷ
» Μέμνασ' ἀπιστεῖν ἄρθρα ταῦτα τᾶν φρενῶν »
1627. Οὗτος ὦ, ποῖ σὸν ποδ' αἴρεις] ὁρμήσαντος τοῦ τυράννου ἐπὶ τὸ κατασφάξαι τὴν ἀδελφὴν, πειρᾶται ὁ Χορὸς διακωλῦσαι, λέγων ταῦτα γλώσσῃ τεταραγμένῃ. 1631. Οὐκ ἐμοίγε] ἐμοὶ δ' οὐκ εὖ δοκεῖς φρονεῖν· αὐτίκα γὰρ

λασσαν ἐξωθούμενος, ὥτε τὰ ἐρετμὰ ἀνδρῶν ἔκειντο ἔρημα· ἐκ δὲ τούτου εὐθὺς ἐκεῖνος, κύριος τῶν οἰάκων γενόμενος, ἐκήρυξεν ἀπευθύνειν πρὸς τὴν Ἑλλάδα. Οὗτος οὖν ἀναπετασθὲν τὸ ἱςίον πνεῦμ' ἐπιγενόμενον εὐθὺς ἀπεκόλπωσε· καὶ οἱ μὲν ἤδη τὴν γῆν ἀποκρύψαντες, διαβάλλουσι πέλαγος· ἐγὼ δὲ μόνος σῶς ὢν, ἔβαλον ἐμαυτὸν εἰς τὴν θάλασσαν παρὰ τῇ ἀγκύρᾳ· ἔνθα τὶς, καθεὶς ὁρμιάν ποθεν, ἀνέλαβε κεκμηκότα με ἤδη, καὶ ἐς τὴν ξηρὰν ἀπεβίβασεν, ἀγγελοῦντά σοι τὰ συμβεβηκότα· Σύδε παιδεύου ἐκ τούτου μηδὲν χρησιμώτερον ἀνθρώποις ἀπιςίας ὑπολαμβάνειν φρονίμου.

ΧΟ. Οὐκ ἄν ποτ' ἤλπιζον, ὦ ἄναξ, οὔτε σὲ, οὔθ' ἡμᾶς αὐτὰς Μενέλαον λαθεῖν παρόντα.

ΘΕ. Ὢ δυςυχὴς ἐγὼ, ὡς γυναικείας τέχνης γενόμενος ἥττων, ἀποστέρημαι ἤδη γάμου· καὶ εἰ μὲν ἐξῆν καταδιώκοντα καταλαβεῖν τὸ πλοῖον, παντὶ σθένει χρώμενος, εἷλον ἂν ἐκείνους· νῦν δ' οὐ καταπροΐξεταί μου ἡ ἀδελφὴ, προδοῦσα τὸ πρᾶγμα. ἀλλ' ἀξίαν δίκην δώσει· εἰδυῖα γὰρ παρόντα Μενέλαον, ἔκρυψέ με· ἀλλ' οὐκ ἂν ἄλλον ψεύσεταί ποτε ταῖς μαντείαις.

ΧΟ. Ἐπίσχες, τί δράσεις αὐτὸς, ὦ δέσποτα, ἐπὶ τίνα δὲ μαίνῃ οὕτω;

ΘΕ. Ἐφ' ὃν αὐτὴ ἡ δίκη φέρει με. σὺ δ' ἐκποδὼν μοι γενοῦ.

ΧΟ. Οὐκ ἂν τῶν σῶν ἀποσπασθείην πέπλων, μέχρις ἂν ὁρῶσε ἐπὶ μέγα σπεύδοντα κακόν.

ΘΕ. Τί δέ; δοῦλος ὢν αὐτὸς, δεσπότου ἐμοῦ κρατήσεις;

ΧΟ. Ἔγωγέ σου, εὖ φρονῶν.

ΘΕ. Οὐκ ἂν ἔμοι γ' εὖ, εἰ μή μου ἀποσταίης.

ΧΟ. Εὐσεβεστάτην μὲν οὖν.
ΘΕ. Ἤ με προὔδωκεν;
ΧΟ. Καλήν γε προδοσίαν δίκαια δρᾷν.
ΘΕ. Τἀμὰ λέκτρ' ἄλλῳ διδοῦσα;
ΧΟ. Τοῖς γε κυριωτέροις.
ΘΕ. Κύριος δὲ τῶν ἐμῶν τίς;
ΧΟ. Ὃς ἔλαβεν πατρὸς πάρα.
ΘΕ. Ἀλλ' ἔδωκεν ἡ τύχη μοι.
ΧΟ. Τὸ δὲ χρεὼν ἀφείλετο.
ΘΕ. Οὐ σὲ τἀμὰ χρὴ δικάζειν.
ΧΟ. Ἤν γε βελτίω λέγω.
ΘΕ. Ἀρχόμεσθ' ἄρ', οὐ κρατοῦμεν.
ΧΟ. Ὅσια δρᾷν, τὰ δ' ἔκδικ' οὔ.
ΘΕ. Κατθανεῖν ἐρᾷν ἔοικας.
ΧΟ. Κτεῖνε· σύγγονον δὲ σὴν
Οὐ κτενεῖς, ἡμῶν ἑκόντων, ἀλλ' ἔμ', ὡς πρὸ δεσποτῶν
Τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.
ΔΙ. Ἐπίσχες ὀργὰς, αἷσιν οὐκ ὀρθῶς φέρῃ,
Θεοκλύμενε, γῆς τῆσδ' ἄναξ· δισσοὶ δέ σε
Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
Ἔτικτεν, Ἑλένην θ', ἣ πέφευγε σοὺς δόμους·
Οὐ γὰρ πεπρωμένοισιν ὀργίζῃ γάμοις,
Οὐδ' ἡ θεᾶς Νηρῆδος ἔγκονος κόρη
Ἀδικεῖ σ', ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
Τιμῶσα, πατρός τ' ἐνδίκους ἐπιστολάς.
Ἐς μὲν γὰρ ἀεὶ τὸν παρόντα νῦν χρόνον
Κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
Ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα,
Καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ', οὐκέτι

---

ἀποκτενῶ σε, εἰ μὴ ἐκποδὼν μοι γένοιο. 1633. Δίκαια δρᾷν] τῷ, ἐστι, ἐπὶ τῷ δίκαια δρᾷν· εἰ δὲ μὴ, γραπτέον εἰς εὐθεῖαν τὸ, καλήν γε προδοσίαν·

ΧΟ. Οὐκ ἂν, εἰ μὴ ἄγοις ἡσυχίαν.

ΘΕ. Ἔα με ἀνελεῖν ἀδελφὴν κακίστην οὖσαν.

ΧΟ. Εὐσεβεστάτην δήπου καὶ δικαιοτάτην.

ΘΕ. Ἣ προδοῦσά με, παρέδωκε τὴν γυναῖκα ἄλλῳ.

ΧΟ. Τῷ κυρίῳ ἐκείνης, οὐκ ἄδικα προδοῦσα.

ΘΕ. Τῶν δ' ἐμῶν κύριος τὶς ἂν εἴη ποτέ;

ΧΟ. Ὃς παρὰ τοῦ πατρὸ. ἔλαβεν ἐκείνην γάμῳ.

ΘΕ. Ἀλλ' ἐμοὶ αὐτὴν παρέδωκεν ἡ τύχη.

ΧΟ. Ἀλλ' ἡ εἱμαρμένη αὖ ἀφεῖλέ σε δικαίως.

ΘΕ. Δικαστὴν ἐν τοῖς ἐμοῖς οὐδένα οἶδα.

ΧΟ. Τί δ' οὐχὶ, ἐπειδὰν παράσχῃ τίς βελτίω;

ΘΕ. Ὥστ' οὐκ ἄρχω μᾶλλον, ἢ ἄρχομαι ὑπ ἄλλων.

ΧΟ. Ἐν μὲν δικαίοις μάλιστα, οὐ μὴν δὲ κἀν αδίκοις.

ΘΕ. Σύ δ', ὡς ἔοικας ἐπιθυμεῖς τεθνᾶναι.

ΧΟ. Καῖνε, σφάζε, μηδέν μου φείδου· τὴν γὰρ σὴν ἀδελφὴν οὐκ ἀποκτενεῖς, ἡμῶν ἑκόντων· εὐκλεες δὲ τοῖς γε γενναίοις τῶν δούλων ὑπὲρ δεσποτῶν ἀπαλλαγῆναι τοῦ βίου τοῦδε.

ΔΙ. Θεοκλύμενε· σὲ καλοῦμεν τὸν τῆς γῆς ταύτης ἄρχοντα ἡμεῖς οἱ Διόσκοροι, οἳ σὺν τῇ Ἑλένῃ τῇ δραπετευσάσῃ παῖδες γεγεννήμεθα Λήδας· μὴ οὕτως ὀργίζου ἐπὶ γάμοις ἀδίκοις· οὓς τὸ πεπρωμένον ἐδωρήσαθ' ἑτέρῳ. οὐδ' ἡ Θεονόη ἡ Ψαμάθης μὲν παῖς, σὴ δὲ ἀδελφὴ ἠδίκησέ σε, τά τε πρὸς θεοὺς εὐσεβοῦσα, καὶ τὰς τοῦ πατρὸς φυλάξασα ἐντολάς. Ἑλένην γὰρ μέχρι μὲν τούτου ἔδει κατοικεῖν ἀεὶ ἐνταῦθα· νῦν δὲ Τροίας ἀνατραπείσης ἄρδην ὑπὸ τῶν θεῶν, τῷ ἐκείνης χρησα-

---

ἵν' ᾖ καλή γε προδοσία ἐστι δίκαια δρᾶν 1638. Τὰ δ' ἔκδικ' οὐ] οὕτω μᾶλλον ἐξ ἑτέρας γραφῆς ἀντὶ τοῦ, Τὴν δ' ἐκδικῶ. 1653. Παρέσχετο ὄνομα] τῷ ὀνόματι αὐτεῖς χρησάμενοι οἱ θεοὶ, ἀνέτρεψαν τὴν πόλιν. τὸ δὲ ἐξεῦχθαι δίδωσιν ὑπόνοιαν, ὅτι ὡμίλει μέχρι τοῦδε αὐτῇ Θεοκλύμενος· ἐκληφθήτω ἀλλ' οὖν

Ἐν τοῖσιν αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις,
Ἐλθεῖν δ' ἐς οἴκους καὶ συνοικῆσαι πόσει.
Ἀλλ' ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
Νόμιζε δ' αὐτὴν σωφρόνως πράττειν τάδε.
Πάλαι δ' ἀδελφὴν κἂν πρὶν ἐξεσώσαμεν,
Ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·
Ἀλλ' ἥσσον' ἦμεν τοῦ πεπρωμένου θ' ἅμα,
Καὶ τῶν θεῶν, οἷς ταῦτ' ἔδοξεν ὧδ' ἔχειν.
Σοὶ μὲν τάδ' αὐδῶ· συγγόνῳ δ' ἐμῇ λέγω,
Πλεῖν ξὺν πόσει σῷ, πνεῦμα δ' ἕξετ' οὔριον·
Σωτῆρε δ' ἡμεῖς σὼ κασιγνήτω διπλὼ,
Πόντον παριππεύοντε, πέμψομεν πάτραν.
Ὅταν δὲ κάμψῃς καὶ τελευτήσῃς βίον,
Θεὸς κεκλήσῃ, καὶ Διοσκόρων μέτα
Σπονδῶν μεθέξεις, ξένιά τ' ἀνθρώπων πάρα
Ἕξεις μεθ' ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
Οὗ δ' ὥρισέν σε πρῶτα Μαιάδος τόκος,
Σπάρτης ἀπάρας, τῶν κατ' οὐρανὸν δόμων
Κλέψας δέμας σὸν, μὴ Πάρις γήμειέ σε,
Φρουρὰ παρ' Ἀκτὴν τεταμένη, νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
Ἐπεὶ κλοπὰς σὰς ἐκ δόμων ἐδέξατο.
Καὶ τῷ πλανήτῃ Μενέλεῳ θεῶν πάρα

ἀντὶ τοῦ μεμνηστεῦθαι, ἢ μᾶλλον δεδέσθαι, εἴργεσθαι. 1664. Σωτῆρε] τοιοῦτοι γὰρ οἱ Διόσκουροι ἦσαν τοῖς πλέουσι. ἴδε καὶ Ὀρ. στίχ. 1638. — 1667. Θεὸς κεκλήσῃ] λέγει δὲ καὶ Ἰσοκράτης (Ἑλ. ἐγκωμ.) ἔτι γὰρ καὶ νῦν ἐν Θεράπναις τῆς Λακωνικῆς θυσίας αὐτοῖς (Ἑλένῃ καὶ Μενελάῳ) ἁγίους καὶ πατρίους ἐπιτελοῦσιν, οὐχ ὡς ἥρωσιν, ἀλλ' ὡς θεοῖς ἀμφοτέροις.
1668. Ξένια] ἡ τοῖς Διοσκόροις γιγνομένη θυσία ἐλέγετο ξένια. 1691. Τῶν κατ' οὐρανὸν δόμων] ἀπιὼν, ἢ τοιοῦτό τι. 1673. Ἀκτὴ] τόπος ἐν τῇ Ἀττικῇ

μένων ὀνόματι πρὸς τοῦτο, οὐκέθ' ᾧδ' ἐχρῆν ἐκείνην μένειν· ἀλλ' ἐλθεῖν οἴκαδε τῷ ἑαυτῆς ἀνδρὶ συνοικήσουσαν· διὸ ἀπέχου τῆς προθέσεως ταύτης, ἣν ὥρμησας ἀνελεῖν τὴν σαυτοῦ ἀδελφὴν, μεταμαθὼν ἤδη σὺν λόγῳ ταῦτ' ἐκείνην πεπραχυῖαν· ἡμεῖς γὰρ, ἐπείποθ' ὁ Ζεὺς ἠξίωσεν ἡμᾶς ἐν θεοῖς κατατάξαι, πάλαι ἂν τὴν ἑαυτῶν ἀδελφὴν διεσώσαμεν ἐντεῦθεν, εἰ μὴ ᾔδειμεν ἑαυτοὺς ἥττους ὄντας τοῦ τε πεπρωμένου καὶ τῶν θεῶν, οἷς οὕτω ταῦτ' ἔδοξε γενέσθαι· καὶ ταῦτα μὲν πρός σε ἱκανά. Πρὸς δὲ τὴν ἐμαυτοῦ ἀδελφὴν ἐκεῖνα λέγω· ἴθι σὺν νῦν σὺν Μενελάῳ, πλεῖθ' ὑμεῖς εὐτυχῶς, πνεῦμα οὔριον ἔχοντες· ἡμεῖς δὲ σωτῆρές σοι παριππεύοντες ἐν θαλάσσῃ, πέμψομεν ὑμᾶς ἀσφαλῶς ἐς Σπάρτην· ἐπειδὰν δ' ἐν γήρᾳ γενομένῃ, ἀπαλλαγῆς τῶν τῆδε, ἔσῃ θεὸς, σπονδῶν καὶ ξενίων τῶν παρὰ τῶν ἀνθρώπων ἡμῖν προσφερομένων, μεθ' ἡμῶν κοινῇ συμμετέχουσα· τοῦτο γάρ ἐστι τὸ βούλημα τοῦ Διός· ἔνθα δ' ὁ παῖς τῆς Μαίας, ὁ ἐξ οὐρανοῦ ἐλθὼν, ἀνέπαυσέ σε πρῶτον, ἐκ Σπάρτης ἀναρπάσας, ἵνα μὴ γήμῃ σε Πάρις, αὐτὴ ἡ νῆσος, φημὶ, ἡ ὡς προτείχισμα παρατεταμένη τῇ Ἀκτῇ τῆς Ἀττικῆς, Ἑλένη κληθήσεται τοῦ λοιποῦ, ἐπειδὴ αὐτή σε πρῶτον ἁρπαγεῖσαν ἐδέξατο. Μενελάῳ δὲ καὶ αὐτῷ τὰς τῶν μακάρων

---

περὶ τὸ Σούνειον· ἔνθα καὶ νῆσός τις, ὡς προτείχισμα τῆς χώρας παρατείνουσα τὴν Ἀκτήν· οὕτω καὶ Στέφανος ἐν τῷ περὶ πόλεων· Ἑλένη, νῆσος τῆς Ἀττικῆς· ἐκεῖ γὰρ ἀποβῆναί φασι τὴν Ἑλένην μετὰ τὴν ἅλωσιν Ἰλίου· τὴν αὐτὴν δὲ εἶναι φασὶ τῇ Κρανάῃ, περὶ ἧς Ὅμηρος. Ἰλ. Γ. στίχ. 445.

» Νήσῳ δ' ἐν Κρανάῃ ἐμίγην φιλότητι καὶ εὐνῇ.

Μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
Τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες,
Τῶν δ' ἀναριθμήτων μᾶλλόν εἰσιν οἱ πόνοι.
ΘΕ. Ὦ παῖδε Λήδας καὶ Διὸς, τὰ μὲν πάρος
Νεικη μεθήσω σφῶν κασιγνήτης πέρι.
Ἐγὼ δ' ἀδελφὴν οὐκέτ' ἂν κτάνοιμ' ἐμήν.
Κείνη δ' ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ.
Ἴστον δ' ἀρίστης, σωφρονεστάτης θ' ἅμα
Γεγῶτ' ἀδελφῆς μονογενοῦς ἀφ' αἵματος,
Καὶ χαίρεθ', Ἑλένης οὕνεκ' εὐγενεστάτης
Γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.
ΧΟ. Πολλαὶ μορφαὶ τῶν δαιμονίων,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί.
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη.
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

1678. Ἀναριθμήτων] τῶν πολλῶν, εὐκαταφρονήτων, τῶν μὴ ἀριθμουμένων

ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ.

νήσους κατοικεῖν παρὰ τῶν θεῶν ἐστιν εἱμαρμένον· οἱ γὰρ εὐγενεῖς ἀεὶ προσφιλεῖς εἰσι τοῖς θεοῖς· αἱ δὲ δυστυχίαι παρέπονται μᾶλλον τοῖς τὸν μοχθηρὸν διάγουσι βίον.

Ε. Ὦ παῖδες Λήδας καὶ Διὸς, ἅμοι πρόσθεν περὶ τῆς ὑμῶν πεφιλονείκηται ἀδελφῆς παρίημι πάντα· οὔτε γὰρ τὴν ἐμαυτοῦ ἀποκτενῶ ἀδελφήν· κἀκείνη ἴτω οἴκαδε εὐτυχῶς, οὕτω δόξαν τοῖς θεοῖς· ὑμεῖς δὲ, ἀδελφοὶ τοιαύτης γυναικὸς γεγονότες, χαίρετε ἕνεκα τῆς σωφροσύνης καὶ γνώμης ἐκείνης· ὃ σπάνιον ἐστιν εὑρεῖν ἐν γυναιξί.

Ο. Ἄλλοτ' ἄλλως ἡμῖν αἱ τῶν θείων πραγμάτων παρίστανται τύχαι· πολλάκις γὰρ οἱ θεοὶ πράττουσιν ἐναντία ταῖς ἡμετέραις γνώμαις τῶν μεν ἐλπιζομένων παλινδρομούντων, τῶν δὲ ἀνελπίστων περαινομένων· παράδειγμα δὲ, ὃ τήμερον συνέβη.

---

λόγῳ καὶ τιμῇ. 1688. Πολλαὶ μορφαὶ τῶν δαιμονίων] ὅρα τὰ αὐτὰ κἀν ῷ τέλει τῶν Βακχῶν· καὶ Μηδείας, καὶ ἀλλαχῇ.

## ΤΕΛΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ.

## ΤΟΥ ΚΕΙΜΕΝΟΥ ΚΑΙ ΠΑΡΑΦΡΑΣΕΩΣ.

Σελ. 11. Στίχ. 13. ἐναυτὸς — ἐνιαυτὸς. 12. 2. ἐννόμοισι — ἐν νόμοισι. 12 11. ἀπαλαχθεῖσα — ἀπαλλαχθεῖσα. 12. 20 ἦν — ἦν. 18. 12. εἶτε — εἶτα. 15. 20. ἀκροθόνια — ἀκροθίνια. 18. 11. οὐδεμοῦ — οὐδαμοῦ. 21. 8. νέων — νέον. 29. 25 ἔνθ' ἦν — ἔνθ' ἦν 31. 10. ἐγέλασαν — ἐγέλασεν. 34. 1. ὁ — ὁ. 39. 7. δάκρυ — δάκρυ'. 42. 5. πόλεις — πόλεις. 42. 13. ῥοθίτω — ῥοθίῳ. 70. 7. ἡ — ἢ 88. 4. ὁ δοὺς — ὀδούς. 82. 6. μεταδορμαῖς — μεταδρομαῖς. 90. 7. ἀνίαις — ἀνοίαις. 97. 2. περιέχουσα — περιεχουσαν. 106. 1. εἰς ὄψον — εἰς ὄψιν. 166. 17. τυρανίδος — τυραννίδος. 172. 18. ἀπαλαχθεὶς — ἀπαλλαχθείς. 176. 5. ἐνὴρ — ἀνὴρ. 178. 2. ποτᾶται — ποτᾶται. 180. 7. καπόπταν — κατόπταν. 195. 3. ἡ — ἡ. 197. 14. τὰ πρᾶγμα — τὰ πράγματα. 208. ὃς — ὅς. 231. 4. Τροία — Τροία. 235. 18 ἐν ἅδου — ἐν ᾅδου. 240. 11. Παιαμίδαις — Πριαμίδαις. 243. 16. ἀπαστεροεμένη — ἀποστερουμένη. 267. 17. φωσδόρ' — φωσφόρ' 272. 13. Δυνεῖν γὰρ ὄντοιν. — Δυοῖν γὰρ ὄντινα. 278. 22. λαυμπάδων — λαμπάδων. 279. 2. ὀν Ἰλίῳ — ἐν Ἰλίῳ. 280. 9. ἄγγελος — ἄγγελον. 281. 10. ὑπολελελειμμένος — ὑπολελειμμένος. 288. 15. θατόντος — θανόντος. 294. 12. κτηκὰ — κτητὰ. 298. 7. οἰκρὸν — οἰκτρὸν. 310. 20. ποκίλματα — ποικίλματα. 318. 1. κεμίξετε — κομίζετε. 334. 22. ἦν σοι — ἦν σοι. 346. 16. ναυφόροις — ναυφθόροις. 350. 23. δι' δ'

ΕΛΛΗΝΙΚΗ ΔΗ... ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

[illegible]

[illegible]